А. И. Пападопуло-Керамевсъ.

NOCTES PETROPOLITANAE.

Сборникъ византійскихъ текстовъ XII—XIII вѣковъ.

С.-ПЕТЕРБУРГЪ.
Типографія В. Ѳ. Киршбаума (отдѣленіе), Новоисаакіевская, 20.
1913.

Предисловіе.

Въ составъ настоящаго сборника византійскихъ текстовъ † А. И. Пападопуло-Керамевсъ включилъ вещи приблизительно одновременнаго происхожденія (XII—XIII вѣка), но неодинаковой важности. Особенно важное значеніе издатель придавалъ помѣщенному на первомъ мѣстѣ типику монастыря св. Іоанна Предтечи τοῦ Φοβεροῦ. Оригиналъ этого типика находится теперь въ Имп. Публ. Библ. греч. изъ собр. Пап.-Кер. № 671. Это пергам. рукопись XII вѣка (размѣры листа 244‴ × 192‴, текста на страницѣ 192‴ × 130‴) по 23 строки на страницѣ, лл. 115, порядокъ ихъ: 1—12, 14, 15, 13, 16—115; тетради α′—ιδ′ по 8 лл., а конечная ιε′ только 3 лл.

Почеркъ приписки на лл. 83ᵛ—84ʳ отличается и отъ почерка, которымъ вставлены слова Ἰωάννου и τὴν ιζ′ τοῦ δεκεμβρίου на л. 82ᵛ, и отъ приписки на л. 115ᵛ; также и эти двѣ приписки сдѣланы разными руками; но всѣ онѣ — XII вѣка.

Рукопись раньше принадлежала нѣкоему Димитріадису, жителю, Смирны, и по списку, сдѣланному около 1879 года, отдѣльные отрывки изъ нея съ обширнымъ введеніемъ и пояснительными примѣчаніями были сообщены покойнымъ въ 1884 году: Le Hiéron de Zeus-Urius et le monastère de St. Jean-Baptiste-Phobéros à l'embouchure du Pont-Euxin, d'après un manuscrit du XII siècle (Труды VI Археол. Съѣзда въ Одессѣ, т. II. Одесса 1888). Даваемое теперь впервые полное изданіе всего текста предполагалось снабдить новымъ обширнымъ введеніемъ; то же предполагалось и по отношенію къ цѣлому ряду печатаемыхъ теперь же писемъ. Но тяжкая болѣзнь и затѣмъ смерть разрушили всѣ замыслы неутомимаго труженика, и даже печатаніе нѣсколькихъ конечныхъ листовъ текста пришлось взять на себя пишущему эти строки; указатель личныхъ именъ (стр. 297—302) составленъ С. А. Жебелевымъ. Заглавіе придумано было самимъ покойнымъ издателемъ и удержано потому, что живо характеризуетъ манеру его работы, самоотверженной и воодушевленной.

В. Бенешевичъ.

I.

ΥΠΟΤΥΠΩΣΙΣ ΚΑΙ ΕΡΜΗΝΕΙΑ

ΠΕΡΙΕΧΟΥΣΑ ΩΣ ΕΝ ΣΥΝΤΟΜΩ [ΤΗΝ ΜΟΝΑΧΙΚΗΝ ΠΟΛΙΤΕΙΑΝ ΚΑΙ ΑΣΚΗΣΙΝ?]
ΑΠΑΣΑΝ, ΑΚΡΙΒΩΣ ΣΥΛΛΕΓΕΙΣΑ ΠΑΡΑ ΙΩΑΝΝΟΥ ΤΑΠΕΙΝΟΥ ΜΟΝΑΧΟΥ
5 ΚΑΙ ΠΑΡΑΔΟΘΕΙΣΑ ΤΟΙΣ ΑΔΕΛΦΟΙΣ ΑΥΤΟΥ ΤΟΙΣ ΕΝ ΤΩ ΟΡΕΙ ΤΗΣ ΜΟΝΗΣ
ΤΟΥ ΤΙΜΙΟΥ ΠΡΟΔΡΟΜΟΥ ΤΟΥ ΕΝ ΤΩ ΜΟΝΑΧΕΙΩ.

Εὔχεσθε οὖν, πατέρες ἅγιοι, οἱ ἐντυχάνοντες ταύτῃ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀμελοῦς, ὅπως εὕροιμι ἵλεων τὸν θεὸν ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως.

---

10 ***Εὐλόγησον πάτερ.***

α'. " Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν "; Δαβὶδ ὁ προφήτης καὶ βασιλεὺς διαπρυσίῳ καὶ προφητικῇ τῇ γλώττῃ προανακέκραγε. καὶ ἀληθῶς ἔχει τὰ ῥήματα καὶ προφητικῶς καὶ συναδόντως τῇ φύσει τῶν πραγμάτων αὐτῶν· οὐ γὰρ ἐπὶ τούτῳ γεγόναμεν
15 ἄνθρωποι, ἵνα μόχθοις καὶ τύρβαις ἐμμένωμεν καὶ φροντίσι βιωτικαῖς, καθ' ἃς καὶ δι' ἃς μυχὸς θαλάττης ἀνερευνᾶται καὶ πάντα τὰ κατὰ γῆν πολυπραγμονεῖται, ἀγροὶ καὶ πέτραι καὶ νάπαι καὶ ὑπώρειαι τῶν ὀρῶν, ἵν' ἐκεῖθεν ἔχῃ τὰ τῆς τρυφῆς ὁ ἄνθρωπος ὁ κατ' εἰκόνα πλασθεὶς καὶ δημιουργηθεὶς καὶ βασιλεύειν τῶν κάτω ταχθείς, ὁ περίγειος ἄγγελος καὶ ἐνσώματος καὶ κήρυξ
20 τις διαπρύσιος τῆς τοῦ θεοῦ μεγαλειότητος ἐν αὐτῷ, καθὼς καὶ λέγεται καὶ πιστεύεται θαυμαστοῦσθαι τὴν γνῶσιν τοῦ θεοῦ ἐξ αὐτοῦ, ὅτι τῷ ὄντι καὶ θαυμαστόν τι ζῷον ὁ ἄνθρωπος, πῶς ἐν ταὐτῷ συνδέδεται καὶ συνέχεται φύσις ἀσώματος, ἄυλος, ἀεικίνητος, συνεκτική τε καὶ ζωϊκὴ ἐν σώματι παχυτέρῳ καὶ ὑλικωτέρῳ τινί, φθειρομένῳ καὶ ῥέοντι, πάσχοντι καὶ ἀλλοιου-
25 μένῳ, μεταβαλλομένῳ καὶ τρεπομένῳ διὰ τὸ παχὺ τῆς ὕλης καὶ σκεδαστόν,

1 Μετὰ τὸ συντόμῳ τόπος ἐφθαρμένος 32 στοιχείων. 11 Ψαλμ. κθ', 10. 21 θαυμ. τὴν γνῶσιν] πρβλ. Ψαλμ. ρλη', 6.

διὰ τὸ παλίμβολον αὐτῆς καὶ τρεπτόν, διὰ τὸ ταύτης μεταβλητὸν καὶ ἀλλοιωτόν, ὅπως μικρότατόν τι ζῷον πέφυκεν ὁ αὐτός, ὡς ἐν βραχυτέρῳ θριγκίῳ περιειργόμενός που τῷ σώματι, μεταβλητικώτατόν τέ τι καὶ τὰ πάντα καταλαμβάνον τοῖς ταχυτέροις κινήμασι τοῖς τοῦ νοῦ, οὐ τόποις περιειργόμενος, οὐ τειχῶν στερροτέραις ἐπάλξεσιν, ὅπως ἐν αὐτῷ τὰ τῆς γενέσεως συμπαρέπεται καὶ ζῇ κατὰ ταὐτὸν καὶ συνέχεται, οὐράνιος νοούμενος καὶ ἐπίγειος θεωρούμενος, ἄφθαρτος ὁ αὐτὸς καὶ φθαρτός, θνητὸς καὶ ἀθάνατος, λόγῳ διοικονομούμενος καὶ ἀλογωτέραις πολλάκις ὀρέξεσι συγκινούμενος, τίμιος ἐν ταὐτῷ, καθόσον καὶ πέπλασται καὶ δεδημιούργηται χερσὶ τοῦ ποιήσαντος καὶ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν προσγέγονεν αὐτῷ τὰ τῆς πλάσεως, ἐπεὶ καὶ νοερόν τι τοῦτο τὸ ζῷον καὶ αὐτεξούσιον λόγῳ καὶ νῷ διοικονομούμενον, πλὴν ἀλλ' ἔστιν ὅπῃ καὶ ἀταξίας νόμοις καθυπαγόμενον κατὰ τὰ μέτρα τῆς ἀλογωτέρας καὶ παχυτέρας ζωῆς, ὅτε καὶ ἡ ὑλώδης κατάστασις ἄρχει πως ἐν αὐτῷ, καθ' ὃ μέρος καὶ τοῖς ἀλόγοις συμπαραβάλλεται. Δαβὶδ αὐτὸς ὁ μαρτυρηθεὶς παρὰ θεῷ πολλαχοῦ καὶ πολλάκις ἔν τισι τῶν αὐτοῦ θαμινώτερον λέγει· "καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς", ὅτι καὶ τῷ ὄντι, ἀγαπητοί, ὁπηνίκα κατάρχει λόγος ἡμῶν καὶ ζῶμεν κατὰ θεόν, τότε καὶ ὡραῖοί τινες γινόμεθα καὶ τοὺς πόδας ὡραϊζόμεθα κατὰ τὴν κυριακὴν ἀπόφασιν καὶ δεσποτικήν· εὐαγγελιζόμεθα γὰρ εἰρήνην οὐ μόνον τὴν ἔξω κατὰ τὸν πολὺν ἄνθρωπον, ἀλλὰ πολλῷ πλέον τὴν ἔνδον καὶ ψυχικήν. ἔστι γάρ τις καὶ πόλεμος καὶ διάστασις κατὰ ψυχήν, ἣν ἐπεγείρουσι πάθη ἀλλόκοτα. ἀκούετε Παύλου λέγοντος καὶ διαταττομένου περὶ τούτου τοῦ πολέμου τοῦ νοητοῦ, ὅτι "ὁ πόλεμος ἡμῖν οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, πρὸς τὸν ἄρχοντα τοῦ σκότους", τὸν παλαμναῖον λέγω καὶ ἀλιτήριον δράκοντα· τὸν μὲν γὰρ ἔξω καὶ σωματικώτερον πόλεμον ἐπισυνιστῶσι πολλάκις ἐσμὸς ἀλλοφύλων ἐφέσει πλειόνων κρατούμενος. καὶ σπάθη καὶ θώρακες εὐτρεπίζονται, δι' ὧν ἀντιτεχνᾶται πᾶν τὸ πολέμιον καταβάλλειν τὸν ἀντικαθιστάμενον. καὶ τὸ ξενίζον οὐδέν· οἱ γὰρ τῇ παχύτητι προσεμμένοντες ἄνθρωποι τὰ τῆς παχύτητος ἐπιδείκνυνται· ἐνταῦθα δέ, ὅτε καταστρατεύεται τὰ πάθη κατὰ τῆς ψυχῆς, ἐλεεινὸν τοῦτο καὶ ἄξιον δακρύων πολλῶν· ἐμοὶ γὰρ ἤδη καὶ δάκρυον ἐκχεῖται τῶν ὀφθαλμῶν τὴν ὑπερβολὴν ἐννοοῦντι τοῦ πάθους καὶ τοῦ συμπτώματος· πάσχοιτε δὲ τοῦτο καὶ ὑμεῖς, ὅσοι φιλοθέως ζῆτε καὶ φιλευσεβῶς καὶ οἷς τὸ ζητούμενον τέλος καὶ κυριώτατον σωτηρία ψυχῆς, ὅπως ὁρᾶν πάρεστι τὸν ἄνθρωπον νῦν μὲν ζῶντα

16 Ψαλμ. μη' 13. 19 ὡραῖοι — ὡραϊζόμεθα] πρβλ. Ῥωμ. ι' 15. 24 ὁ πόλεμος— σκότους] πρβλ. Ἐφεσ. ς' 12.

τὴν κατὰ θεὸν ζωὴν καὶ εἰρήνην τινὰ περιφέροντα, νῦν δὲ τῷ ἀλιτηρίῳ δράκοντι ὑποτεταγμένον, συσκευάζοντι πόλεμον καὶ συναγείροντι τὰ πάθη κατὰ ψυχῆς ὡσεί τινα βαρβάρων ἐσμὸν καὶ καταστρατευομένῳ τοῦ νοῦ· ὅτε καὶ πίπτοντα τοῦτον ὁρᾶν πάρεστι καὶ νεκρούμενον ἐλεεινήν τινα πτῶσιν καὶ νέκρωσιν καὶ θάνατον δακρύων πολλῶν ἄξιον, ὅτε καὶ πᾶσα δύναμις ἀπρακτεῖ τῆς ψυχῆς καὶ ἀκινητίζει τὴν ἐπὶ τὰ θειότερα κίνησιν· ὅτε καὶ ἵππος ὁρᾶται καὶ ἀσυνετοῦντι παρέοικεν ὁ λόγῳ διοικονομούμενος ἄνθρωπος κατὰ τὸ εἶδος τῆς ἀλογωτέρας ζωῆς, ὅτε καὶ χρεία πολλῶν εὐχῶν αὐτῷ καὶ δεήσεων ἰδεῖν πάλιν ἁπτόμενον ἐν αὐτῷ τὸ φῶς τὸ τῆς γνώσεως καὶ ἀναδρομὴν ἐφευρεῖν εἰς τὸ ἀρχαῖον εἶδος ἐκεῖνο τὸ τῆς ζωῆς. ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως ὑπεσύρην τῷ ῥεύματι τοῦ λόγου καὶ πόρρω φέρομαι τοῦ σκοποῦ. τοίνυν ἐπάξω τὸν λόγον ἐπὶ τὸ προτεθέν, ταῦτα τὰ τοῦ Δαβὶδ ῥήματα ἔναυλα φέρων, ἀγαπητοί, τοῖς ὡσὶ τοῖς ἔνδον καὶ ψυχικοῖς καὶ συναδόντως ἔχων καὶ Σολομῶντα κατὰ τὸν νοῦν, ὅτι παραρρεῖ τὸ πᾶν καὶ παρέρχεται, καθὼς αὐτὸς διατάττεται (παράγεται γάρ φησι τὸ σχῆμα τοῦ κόσμου καὶ ἴσως σκιαῖς τὰ τερπνὰ μετακλίνεται· "οὐ γὰρ ὠφελήσουσι θησαυροὶ ἀνόμους, δικαιοσύνη δὲ ῥύεται ἐκ θανάτου"), ἑτέρωθεν δὲ ἔχων αὐτὸν τὸν κυριακὸν λόγον ὑπηχοῦντά μοι τὰ σωτήρια ("τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ";)· παρεῖδον ἅπαντα τὰ φθειρόμενα πράγματα, αὐτὸν ἔχων τὸν κύριον παρόντα καὶ προσυπηχοῦντά μοι τὰ σωτήρια ῥήματα. τῷ ὄντι γάρ, ἀγαπητοί, καὶ τί ψυχῆς ἰσοστάσιον; πάντα μὲν γὰρ τὰ τοῦ σώματος καὶ ἃ ἂν εἴποι τις σωματικὰ ἀγαθά, ὅσα καὶ οἷα, εἴτε κάλλος, εἴτε τάχος, εἴτε ῥώμην, ἢ καὶ τὰ ἐκτὸς καὶ σωματικώτερα, πλοῦτον, εὐγένειαν, πλέθρα γαιῶν, πατρίδος ὑπεροχήν, ὅσοις καὶ οἵοις ἐλλάμπεται ὁ περὶ τὴν αἴσθησιν καταγινόμενος ἄνθρωπος, ἀπανθεῖ τάχιον ἤδη καὶ παραρρεῖ, τόσον λυόμενα ὅσον μηδὲ κρατούμενα· οὐ θᾶττον γὰρ ὀφθαλμὸς ἄνω βλέπων καταλαμβάνει τὸ πᾶν, εἶτα μύων συστέλλεται ἢ ταῦτα παρέρχεται. τί γὰρ καὶ τὸ μόνιμον ἐν τοῖς οὖσιν, ὁποῖα ἂν καὶ εἴη; ἐχέτω τις κάλλος σωματικόν· συμμέτρως ἐχέτωσαν τὰ ἐν αὐτῷ μέρη καὶ μέλη τοῦ σώματος· ἔντορνόν τι ζῷον ἀποτελείσθω ὁ ἄνθρωπος· ἐπανθείτω τι χρῶμα θαυμάσιον ταῖς χάρισι τοῦ προσώπου παρεμφαινόμενον, ἐν μέρει μὲν λευκαινόμενον, ἐν μέρει δὲ πορφυρίζοντι χρώματι χρωννύμενόν τε καὶ κεραννύμενον· κοσμείτω πως αὐτὸν ἐσμὸς τριχῶν, ξανθίζον ἔστω τὸ χρῶμα, κινείσθω πως ἠρέμα καὶ προσφυῶς ζεφύρῳ πραεῖ καὶ γαληνιῶντι τῷ πνεύματι· αἰρέτω καὶ τὰς ὀφρῦς ὁ οὕτωσὶ

9 ἐφευρεῖν Κ, κ ῶ δ. ἐφευρὸν. 14 παράγεται — σκιαῖς] πρβλ. Ψαλμ. ρμγ', 4. 15 παράγεται — τὸ σχῆμα τοῦ κόσμου] πρβλ. Κορ. 1, ζ', 31. 16 Παροιμ. ι', 2. 18 Ματθ. ις', 26.

κοσμούμενος ἄνθρωπος· καταναιδευέσθω τῶν πέλας ὑπὲρ ἄντυγας οὐρανίας ἐπαίρων τοὺς ὀφθαλμούς· ἐπισυνιστάσθω καὶ παρ' αὐτῷ τὰ τῆς δυσκρασίας συμπτώματα· λαῦροι πυρετοὶ τὸν ἄνθρωπον καταλαμβανέτωσαν· γινέσθω τῇ νόσῳ κατάκοπος, κλίνῃ προσμενέτω νόσων ἀνάγκαις· παράβαλε τὸν τότε πρὸς τόνδε ἄνθρωπον καὶ ἴδῃς τότε τὰ τῆς ἐπάρσεως παρ' αὐτῷ ὅπῃ χωρεῖ· μικροῦ καὶ δάκρυον κενώσεις τῶν ὀφθαλμῶν, τὸ οἴκτιστον τῆς φύσεως ἀναλογιζόμενος καὶ ὅπως ὁ πρώην θαυμαστός τις κατὰ τὴν ὅρασιν νῦν κεῖται πτῶμα ἐλεεινὸν καὶ ἄξιον δακρύων πολλῶν. εἰ δὲ καὶ τὰ τῆς διαλύσεως συμπαρέπεται καὶ ὁ ἄρρητος λυθῆναι κινδυνεύεται σύνδεσμος, τότε καὶ μᾶλλον τὰ τοῦ δράματος κατάδηλα γίνεται. ὁ πρώην εὐλάλῳ τῇ γλώττῃ προσχρώμενος, τὸ ταχυκίνητον ζῷον καὶ σύντονον ταῖς ὁρμαῖς, ἴνδαλμα ζῴου καὶ σκίασμα, τῇ δ' ἀληθείᾳ οὐδὲν οὐδαμοῦ. πῶς ὀφθαλμοὶ μὲν οὐδαμοῦ, οὐδὲ τὰ τῆς ὁράσεως ἐνεργεῖται, πῶς παρ' αὐτῷ αἱ χεῖρες οὐκέτι χεῖρες, οἱ πόδες οὐκέτι τὸν θώρακα μεταφέρουσιν, ἀλλὰ πάντα τὰ πρώην ὑγρὰ καὶ εὐκινητότερα μέλη καὶ μέρη τοῦ σώματος ἄψυχα καὶ νεκρὰ καὶ ἀκίνητα καὶ τὸ ὅλον ὀνόματι μόνον λεγόμενα, πράγματι δὲ οὐδαμοῦ! ταῦτά τις κατὰ νοῦν ἀναλογιζόμενος ἄνθρωπος οὐ κλαύσας τοῦ βίου ἀποφύγῃ τὸ μάταιον, οὐ μᾶλλον τῶν θανόντων θρηνήσει τοὺς ζῶντας ὡσεὶ νεκρούς, ὡς συμπεριφερομένους τῇ ματαιότητι, καθὼς αὐτὸς ὁ σωτὴρ διατάττεται λέγων; "ἄφετε τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς", ὅτι καὶ νεκρῶν οὐδὲν διαφέρουσιν οἱ ταῖς τῆς ματαιότητος τύρβαις προσεμμένοντες ἄνθρωποι· πέπλασται μὲν γὰρ ὁ ἄνθρωπος παρὰ τοῦ θεοῦ, ἵν' ἔχῃ πρὸς οὐρανὸν τὸ πολίτευμα, ἵν' ἐκεῖ ἀνατείνηται καὶ τὰ ἐν αὐτῷ κάλλη φαντάζηται· ἐπὶ τούτῳ καὶ σχῆμά πως ὄρθιον ἐν αὐτῷ, ἰθυτενῶς ἄνω προσβλέπον καὶ τὸν οὐρανὸν φανταζόμενον· ἐπὶ τούτῳ τὸ ὄνομα αὐτῷ ἄνθρωπος ὡς ἄνω ἀθρεῖν τεταγμένῳ καὶ τὰ ἐκεῖσε κατοπτρίζεσθαι κάλλη, τὰ ἡδέα δυναμένῳ ἕλκειν καὶ ἀποσοβεῖν τὰ ἀλγύνοντα. ἔνδειγμα πράξεως τὸ ὁρώμενον, πόδες βαδίζοντες καὶ ὑπηρετικόν τι τῆς βαδίσεως ὄργανον, δηλοῦντος τοῦ λόγου, ὅτι περ εὐθύνεσθαί πως ὀφείλει κατὰ τὴν εἰς θεὸν ἄγουσαν αὐτὸν πορείαν, παρ' οὗ γεγόναμεν καὶ πρὸς ὃν ἐπιστρέφομεν· τοῦτο γὰρ καὶ τέλος ζωῆς τῆς κατὰ τὸν ἄνθρωπον καὶ εἰς τοῦτο φέρει τὸ μυστήριον τῆς τοῦ ἀνθρώπου παραγωγῆς καὶ συστάσεως. γέγονεν ἄνθρωπος θεοῦ πλάσμα καὶ δημιούργημα, χεὶρ θεοῦ ἦν ἡ δημιουργήσασα· κἂν καὶ τὸ τῆς ὕλης χοῦς καὶ παχύτης καὶ γηίνη τις σύστασις, τέλος τῆς δημιουργίας καὶ σκοπὸς σκοπιμώτατος ἀναδρομὴ τοῦ πλάσματος πρὸς τὸν πλάστην καὶ κύριον, ἐπιστροφὴ πρὸς τὸν ποιήσαντα τοῦ ποιήματος διὰ τὸ τελειοποιὸν τῆς θεώσεως. φθό-

1 ἄντυγας K, κ ῶ δ. ἄντυγος. 19 Ματθ. θ' 22. Λουκ. θ'' 60. 22 πρὸς οὐρ. τὸ πολίτευμα] πρβλ. Φιλιπ. γ', 20.

νος ἐπὶ τούτοις καὶ συμβουλὴ καὶ ἔκπτωσις τῆς ζωῆς καὶ τὰ τῆς καταδίκης εὐθὺς δεινὰ καὶ ἀπευκταιότατα, θάνατος καὶ ἀποστροφὴ πρὸς αὐτὸν ἐκεῖνον τὸν χοῦν, ἀφ' οὗ καὶ τὴν σύστασιν ἔλαχεν. ἀλλ' ὅμως καὶ πάλιν ὁ πλάσας ἀναζωοποιεῖ τὸ πλάσμα καὶ τὸν θάνατον καταργεῖ. τοῦτο τὸ μέγα τῆς οἰκονομίας μυστήριον, ὅτι καὶ θεὸς ἄνθρωπος γίνεται καὶ μορφὴν ἀναλαμβάνει τὴν δουλικήν, ἵνα καὶ πάλιν θεῷτο ὁ ἄνθρωπος καὶ τὸ ἀρχαῖον ἀπολαμβάνῃ ἀξίωμα. εἰ ταῦτα πάντα στρέφει τις κατὰ νοῦν, πῶς οὐ παρόψεται τὰ φαινόμενα καὶ ὡς χόρτον ἀγροῦ λογίσεται, σήμερον ὄντα καὶ αὔριον μαραινόμενα καὶ οὐκ ὄντα; τοιαῦτα γὰρ τὰ ἐπίκηρα πράγματα πρὸς ὀλίγον φαινόμενα καὶ ταχέως ἐλεγχόμενά τε καὶ ἀμαυρούμενα, λυόμενα καὶ παρερχόμενα καὶ μόνην τὴν αἴσθησιν ὑποκλέπτοντα. ταῦτα καὶ τὰ τοιαῦτα τοῖς λογισμοῖς στρέφων παρεῖδον καὶ αὐτὸς τὰ ὁρώμενα καὶ εἱλόμην κατὰ μόνας ζῆσαι θεῷ, καθὼς αὐτὸς διετάξατο· "σχολάσατε" γάρ φησι "καὶ γνῶτε". τῷ ὄντι γάρ, εἰ μὴ ἀπαγάγῃ τις ἑαυτὸν πόρρω τῆς ὑλαίας καὶ τῆς γεώδους συγχύσεως, οὐκέτι καταλήψεται, τί τὸ τέλος ζωῆς τῆς κατὰ θεόν· ἔνθα γὰρ τύρβη καὶ σύγχυσις, μνήμη θεοῦ καθαρώτερον παρουσιάζειν οὐ δύναται. σμῆνος μελισσῶν, ὡς λέγουσιν οἱ περὶ τοὺς μελισσῶνας ἀσχολούμενοι ἄνθρωποι, διώκει καπνὸς καὶ σύγχυσις πραγμάτων βιωτικῶν ἀπὸ τῆς ψυχῆς τοῦ καθ' ἕκαστον μνήμην θεοῦ. οὕτως ἔχων κατὰ τὸν λογισμὸν κατέλαβον τόνδε τὸν τόπον ἐπὶ τοῦ μικροῦ ἐκείνου καὶ εὐτελοῦς σχήματος ἐν πεποιθήσει ψυχῆς γενναιοτέρας καὶ ἀρρεποῦς, τοῦ Ὀκτωμβρίου ἐνισταμένου τῆς ἕκτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ εἰκοστοῦ πρώτου ἔτους· ὃ μικρὸν οὕτω καὶ εὐτελέστατον εὑρὼν οἷον ἀνθ' οἵου θεοῦ συνεργίᾳ πεποίηκα ταῖς τοῦ τιμίου Προδρόμου πρεσβείαις καὶ ταῖς τοῦ ἁγίου μου πατρὸς εὐχαῖς, ὅπως τε ἀπὸ ἀφανοῦς καὶ ἀτελοῦς ἐπὶ τὸ μεγαλοπρεπέστατον τοῦτο ἦρα καὶ τελεώτατον, ναὶ μὴν ἀλλὰ καὶ ναὸς οἷος τῷ θεοκήρυκι καὶ βαπτιστῇ τῷ κυρίῳ μου ἐξ αὐτῶν ἀνηγέρθη τῶν βάθρων, κελλία τε οἷα πολλῷ τῶν πρώην ᾠκοδομήθησαν κρείττονα, βίβλοι τε ὁποῖαι καὶ πόσαι ὡσαύτως ἱερά τε σκεύη καὶ θεῖαι εἰκόνες, ἀλλὰ δὴ καὶ ἅγια πέπλα καὶ ἔπιπλα καὶ ἁπλῶς ἄλλη κόσμησις τοῦ πανιέρου ναοῦ, πρὸς δὲ καὶ κτήσεις ἀκίνητοι πρὸς σύστασιν τῆς μονῆς καὶ διαμονὴν ἐπεκτήθησαν, καὶ ὑμεῖς οἴδατε καὶ ἡ ἀλήθεια δείκνυσι περὶ ὧν ἡμᾶς μὲν λέγειν οὐκ ἀναγκαῖον, ἔξεστι δὲ τῷ βουλομένῳ μαθεῖν τῷ βρεβίῳ ἐγκύψαντι διδαχθῆναι σαφέστερον.

β'. ***Ἀρχαιολογία περὶ τῆς συμπήξεως τῆς μονῆς τοῦ Μοναχείου.*** — Νῦν δὲ ἀλλὰ πρὸς τὴν ἀκολουθίαν τὸν λόγον μετακλητέον καὶ περὶ τοῦ πα-

5 θεὸς—δουλικήν] πρβλ. Φιλιπ. β', 7. 6 κ ῶ δ. ο ὕ τ ω θεῶτο ἀ ν τ ὶ τ ο ῦ θεοῖτο. 8 χόρτον ἀγροῦ] πρβλ. Ἱερεμ. ιβ', 4. Βασιλ. 4, ιθ', 26. 13 Ψαλμ. με', 10. 23 εὑρὼν K, κ ῶ δ. εὗρον, οἷον· μ ή τ ο ι εὗρον (καὶ); 30 κ ῶ δ. κτίσεις.

ρόντος ἀρχαιολογητέον μοναστηρίου. τὸ δὲ ἄρα ἦν βραχύ τι μὲν μοναστήριον τὸ τηνικαῦτα, ἢ οὐδὲ μοναστήριον, πολλῷ δὲ πλέον ἡσυχαστήριον, τάχα δὲ καὶ ἔκπαλαι τῶν χρόνων οἰκοδομηθὲν ἐπὶ τῷ ὀνόματι τοῦ τιμίου Προδρόμου καὶ βαπτιστοῦ, καὶ εἰς οὐδὲν ὁ χρόνος καὶ αἱ τῶν ἐθνῶν ἐπελεύσεις αὐτὸ κατηγάγοσαν. ὡς γὰρ τῆς ἱστορίας ἔχει λόγος ἀνέκαθεν ἀγράφως καὶ μέχρι τῶν ἀκοῶν ἡμῶν πεφθακώς, ξενίζουσά τις ἦν ἡ σύστασις τῆς μονῆς. διὸ καὶ ἄξιον τὰ περὶ ταύτης γραφῇ παραδίδοσθαι, ἵνα μὴ συνδιαφθείροιτο τῷ χρόνῳ καὶ λήθης βυθοῖς παραδοθείη, οἷα τὰ πολλὰ συνδιαφθείρειν οἶδε καὶ κρύπτειν ὁ χρόνος. ἄγραφός τις ἦλθε λόγος καὶ πρὸς ἡμᾶς, ὃν ἡ μνήμη μέχρι καὶ τῆς δεῦρο ἐγκεῖσθαι παρεσκεύασε ταῖς τῶν ἀκουόντων ψυχαῖς, ὅτι περ ὁ τόπος οὗτος ὁ νῦν ἀφιερωθεὶς τῷ θεῷ ὡς εἰς μοναστήριον λόχμη τις ἐτύγχανε βαθυτάτη καὶ δένδρων μεστή, θηρσὶ μᾶλλον εὔκαιρος οἰκεῖσθαι, ἀλλ' οὐκ ἀνθρώποις ἀνατιθεῖσι θεῷ ξύμπαν τὸ τῆς ζωῆς· ψυχρὸς γὰρ ὁ τόπος καὶ δύσριγος θαλάττῃ περικλυζόμενος, περίρρυτος ὕδασιν ὡς ἐν φάραγξιν ἐπὶ ταῖς κοιλότησι τῶν ὀρῶν καὶ ἁπλῶς ὡς γήλοφός τις καὶ τόπος ἀπόκρημνος, ἄβατος οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς πλείοσι τῶν θηρῶν. ἀλλ' οἷα τὰ τοῦ θεοῦ θαυμάσια, ἔμελλεν ἄρα καὶ τόνδε τὸν τόπον ὡς ἀγριέλαιον ὄντα μετακεντρίζειν εἰς καλλιέλαιον καὶ τὸν ἄβατον καὶ θηρσὶ βατὸν ἀπεργάζεσθαι τόπον ποσὶν ὡραίοις ἁγίων ἀνδρῶν, ὧν αἱ τρίβοι οὐ σκολιαὶ καὶ καμπύλαι αἱ τροχιαί, ἀλλ' αἱ ὁδοὶ ὄρθιοι καὶ αἱ τρίβοι αὐτῶν εὐθεῖαι ἔναντι κυρίου Σαβαώθ. τίς οὖν ὁ τρόπος τῆς συσκευῆς καὶ ὅπως ὁ τῶν θαυμασίων θεὸς διὰ τῶν ἐναντίων οἰκονομεῖ πολλάκις τὰ θαυμαστὰ καὶ λόγου δύναμιν ὑπερβαίνοντα; ἐν τούτῳ γὰρ καὶ μᾶλλον τὸ μεγαλοπρεπὲς τῆς δόξης καταλαμβάνεται τοῦ πάντα διοικονομοῦντος καὶ διακυβερνῶντος θεοῦ. ἀνήρ τις τῶν ἄγαν ἐπιφανῶν καὶ τῶν οἰκειότητα φερόντων τῷ βασιλεῖ (κἂν παρέδραμε τὸ ὄνομα καὶ παρέλαθεν, οἷα τὰ πολλὰ προσαναλίσκειν οἶδεν ὁ χρόνος καὶ παραδιδόναι λήθης βυθοῖς) βάλλεται φθόνου βέλεσι καὶ αὐτὸς καὶ παρὰ ταῖς βασιλικαῖς ἀκοαῖς διαβάλλεται· ἕρπειν γὰρ οἶδεν ὁ φθόνος κατὰ τῶν μέγα δυναμένων ὡς τὰ πολλὰ καὶ κίρνυσι κόνδυ πικρίας καὶ θάνατον παρετοιμάζει τοῖς διαφθονουμένοις, ὡς αἱ τῶν πραγμάτων ἀποβάσεις συμμαρτυροῦσι τῷ λόγῳ τὸ ἀληθές. οἷον δή τι καὶ τῷδε προσγέγονε τῷ ἀνδρί, συσκευὴ καὶ διαβολὴ καὶ τέλος τὸ ἐπιτίμιον θάνατος καὶ κατὰ κυμάτων θαλαττίων ῥῖψις καὶ φθορὰ καὶ ἀφανισμός· τοιοῦτον γὰρ ὁ φθόνος καὶ τοιαῦτα τὰ τούτου ἐπίχειρα. ἤγετο τοίνυν ὁ ἄνθρωπος βραδυτέρῳ ποδὶ καὶ σχολαίῳ τὴν ἐπὶ θανάτου στελλόμενος, ἐδάκνετο τὴν ψυχήν, ἐπαθαίνετο, σύντρομος ἦν. καὶ τί γὰρ ἄλλο θανάτου δεινότερον καὶ βιαιοτάτου θανάτου καὶ θανάτου καταποντίου; ἀλλ' ὦ

20 ὧν αἱ τρίβοι — καμπύλαι αἱ τροχιαί] πρβλ. Παροιμ. β', 15.

τῶν ἀρρήτων κριμάτων τοῦ θεοῦ· πάλιν γὰρ ταῦτα θαυματουργεῖ καὶ ὁ πρώην κατασβεννὺς τὸν καμινιαῖον ἐκεῖνον φλογμόν, ὃν ὑπανῆψε βαρβαρική τις φρὴν καὶ ἀτάσθαλος, ὅτε καὶ ὁ τὰ μεγάλα φυσῶν Ναβουχοδονόσορ ἐπήρετο θρασυνόμενος. ὁ ταύτην εἰς δρόσον μεταβαλὼν καὶ τοὺς ἐμπυρίους ἐκείνους παῖδας διασωσάμενος ὡς ἐν ὕδατι δροσίζοντι τὴν φλόγα κατασβεννύς, ὁ αὐτὸς πάλιν θαυματουργεῖ ἄλλον τρόπον ξενίζοντα, ὅτι καὶ ποικίλη τις ὄντως ἡ πρόνοια ἄλλως καὶ ἄλλως οἰκονομοῦσα τὰ πράγματα. οἶκτος λαμβάνει τὸν ἄγοντα· τί γὰρ ἀνθρωπίνης φύσεως συμπαθέστερον; ἠρέμα προσεπικλᾶται, συντίθεται, διατίθεται, φιλίαν αἰδεῖται, τιμᾷ, τέλος τοῦ λόγου μέτρα πως αὐτῷ χαρίζεται τῆς ζωῆς καὶ παρεγγυᾶται ταῖς λόχμαις κρύπτεσθαι τῶν ὀρῶν καὶ διαβαίνειν δι' ἀβάτων τόπων. προσεπιπραγματευόμενος ἑαυτῷ τὰ μέτρα τὰ τῆς ζωῆς, γίνεται κατὰ τόνδε τὸν τόπον ὁ ἄνθρωπος· ἐλπὶς αὐτὸν περισαίνει περὶ ζωῆς καὶ ἤδη τὸν ἀρραβῶνα τῆς σωτηρίας δεξάμενος τῷ συνδένδρῳ τῶν τόπων ἐκρύπτετο. τί τὰ μετὰ τοῦτο; μία τις τῶν ἡμερῶν εἶχε τὸν ἄνθρωπον καθ' ἑαυτὸν πορευόμενον καὶ εὐθὺς (ἐμοὶ δὲ ἄρα τὸ ξενίζον διηγουμένῳ τοῦ πράγματος καὶ τρίχες ὀρθοῦνται· συννεύει γὰρ ἐν τοῖς τοιούτοις καθ' ἑαυτὴν ἡ ψυχὴ καὶ συστέλλεται καὶ γίνεται ἑαυτῆς σύννευσιν πάσχουσα κατά τινα φύσιν ὑγροῦ περὶ τὸ κοῖλον συρρέουσαν, ὅτι καὶ ξενίζον ἐστὶ τὸ ἄκουσμα καὶ ἄξιον γραφῇ παραδίδοσθαι) ἀνήρ τις βαθὺς τὴν τρίχα καὶ λάσιος, ἐρήμου θρέμμα, παρεῴκει γὰρ τοιούτῳ τὸ ὅραμα, ἐπιφαίνεται τῷ ἀνδρί, ξυνομιλεῖ κατὰ τὸ φαινόμενον καὶ τὴν σωτηρίαν εὐαγγελίζεται. οἶκον εὐκτήριον ὑποδείκνυσι καὶ τούτῳ προσκαθῆσθαι παρακελεύεται. τί τὸ μετὰ τοῦτο; οὐ πολὺς παρέρρυσεν ὁ καιρὸς καὶ τὸ ὅραμα πάλιν ἠδύ. αὐτὸς ἐκεῖνος ὁ μέγας ἐν προφήταις προσεπιφαίνεται. πυνθάνεται, εἰ σύνοιδε τὸν ὁρώμενον· ὁ δὲ τὸν ἀγνοοῦντα ὑποκρινόμενος "αὐτὸς ἐκεῖνός εἰμι", ἀκούει αὐτοῦ λέγοντος, "ὁ μέγας ἐν προφήταις Ἰωάννης ὁ βαπτιστής, καὶ τὰ σήμαντρα δῆλα· λυθήσεταί σοι τὰ τῆς δειλίας καὶ ἀρραβών σοι τοῦ λόγου καὶ σκῆπτρα Ῥωμαίων ἐγχειρισθήσεται, τοῦ θεοῦ οἰκονομοῦντος τὰ κατὰ σέ· μισθὸς δέ μοι τῆς τοιαύτης προρρήσεως, εὐκτήριος οἶκος οἰκοδομηθήσεται κατὰ τόνδε τὸν τόπον ἐπὶ τῷ ἐμῷ ὀνόματι". καὶ ἐπὶ τούτοις παράγγελμα δίδωσιν, οἷον καὶ αὐτὸς ὁ σωτὴρ τοῖς μαθηταῖς διετάξατο· ἐκεῖ τε γὰρ "Ἱεροσολύμων μὴ χωρίζεσθαι" διατάττεται, εἰ μὴ τὰ τῆς δυνάμεως τῆς θείας ἔνδηλα γένηται παρ' αὐτοῖς, κἀνταῦθα θαῦμα τὸ αὐτὸ καὶ ἐγγύη καὶ τῆς κατεχούσης πτοίας ἀφανισμός· καὶ θαυμαστὸν τὸ ἐπάγγελμα, ὅτι καὶ σκῆπτρα διευθυνεῖ τῆς τῶν Ῥωμαίων ἀρχῆς καὶ ἀμοιβὴ πρὸς ἐπὶ τούτοις αὐτῷ προστίθεται τῆς προρρήσεως οἴκου εὐκτηρίου ἐπὶ τῷ ὀνόματι αὐτοῦ

2/4 καμινιαῖον — κατασβεννὺς] πρβλ. Δαν. γ', 24—50. 31 διετάξατο] Πράξ. α', 4.

οἰκοδόμησις παρ' αὐτοῦ. οὐ πολὺ τὸ μέσον, ἀπαίρει τῆς ζωῆς ὁ προσαρτύων αὐτῷ τὸν θάνατον βασιλεύς· ἀνερευνᾶται, πολυπραγμονεῖται, μετακαλεῖται πρὸς βασιλείαν καὶ τὴν ὑπόσχεσιν ἐκπληροῖ καὶ τὸν εὐκτήριον οἶκον οἰκοδομεῖ, ἐπεὶ μηδὲ λαθεῖν εἰκὸς αὐτὸν τὴν ἄρρητον ἐκείνην ὀπτασίαν καὶ τὴν ἔκβασιν τῆς προρρήσεως. τοιαύτη τις ἡ σύστασις τῆς μονῆς, ὡς ἔχομεν ἐκ τῆς τῶν πολλῶν φήμης ὡς ἔκ τινος παραδόσεως· ἄλλοι δὲ καὶ ἄλλως τὰ τῆς ἱστορίας ἀποδεδώκασι καὶ τὸ καταληφθὲν ἐπ' αὐτῇ διηγήσομαι. ἐς ταὐτὸν γὰρ ὁρῶ συντρέχοντας ποταμοὺς ἀρχομένους μὲν ὡς ἀπὸ ἄλλης καὶ ἄλλης ἀρχῆς, συρρέοντας δὲ εἰς ἕν τι μέρος καὶ κοίλωμα· κἂν γὰρ καὶ τὸ τῆς ἀρχῆς διάφορον ἐπ' αὐτοῖς, ἀλλὰ τὸ τέλος συνᾷδον ὄντως καὶ σύμφωνον. ἄκρα τις ὑπερανέχει τῆς γῆς καί τι μὲν τῶν ἐξ αὐτῆς Ἄκρα Διὸς ὀνομάζεται, τὶ δὲ Ἱερόν. γῆ μὲν γὰρ καὶ αὕτη τις ὑψηλὴ ὑπεραιρομένη τῶν πεδινῶν καὶ πρὸς κορυφὴν ἀπονεύουσα καὶ ἐπὶ πολύ τι διήκει τὸ ὕψος τῆς κορυφῆς· ἔστι δ' ὅπῃ καὶ γηλόφοις συμπεριείργεται καὶ ἀποκρήμνοις τόποις τισίν. ἐν τούτῳ τῷ τόπῳ καὶ θυσίαι πολλαὶ ἀνέκαθεν τοῦ χρόνου τοῖς πλέουσι καὶ τελεταί τινες καὶ εὐχαί. τὸ δὲ ἄρα οὐκ ἄλλο τι ἦν ἢ ὅπως οὐριοδρομοίη τὰ τῆς νηὸς ἠρέμα φερομένης τῷ πνεύματι καὶ λειοκυμονοῦν ὁρῷτο τὸ ῥόθιον φορῷ τῷ πνεύματι καὶ πραεῖ προσεπικλυζομένων τῶν κυμάτων καὶ προσπαιζόντων ταῖς ἀκταῖς, οὐ κυρτουμένων τοῖς πνεύμασι κατ' ἴσον ὄρεσιν ὑψηλοῖς. χάσμα μέγα μεταξύ τι καθίσταται τῶν ὀρῶν. φοβερόν τι τὸ χάσμα· κοιλότης ὀρῶν ἐν αὐτῷ, κυμάτων ἐπικλυσμός. ἐκ τούτου τοῦ χάσματος ὁ πολὺς χρόνος προσκυροῖ τὸ ὄνομα τῇ μονῇ, νῦν μὲν Χασμάδιον ἐξ αὐτοῦ τοῦ χάσματος τὸ ὄνομα προστιθείς, νῦν δὲ καὶ διεφθαρμένον ἐπιφέρεταί πῃ τὸ ὄνομα Μαχάδιον ἢ Χαμάδιον κατὰ τὰς μεταθέσεις καὶ μετατάξεις τῶν στοιχείων αὐτάς. ἄλλοι κἀκ τῶν παρεπομένων τῷ πράγματι προσάπτουσι καὶ τὸ ὄνομα, Μονὴ Φοβεροῦ τῇ μονῇ προσκυροῦντες τὸ ὄνομα. ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως ἐνταῦθα πάλιν ἑτεροτρόπως ἡ σύστασις συνεισάγεται τῆς μονῆς. ποθεῖτε τὰ τῆς ἱστορίας μαθεῖν; καὶ ὁ λόγος ἐκεῖθεν ἀπολαβόμενος ὑποτυπώσει τὴν σύστασιν. ἄρτι μὲν γὰρ ὁ πόλεμος συνεκροτεῖτο Θεοφίλῳ τῷ βασιλεῖ τῷ δυσσεβεῖ κατὰ τῶν ἱερῶν εἰκόνων Χριστοῦ καὶ ὁ τὰ σκῆπτρα διέπων τῆς τῶν Ῥωμαίων ἀρχῆς οὐκ οἶδ' ὅπως ἐβασιλεύετο πάθεσιν ἀλλοκότοις καὶ ζήλῳ εὐσεβεῖ μὲν οὐδαμοῦ, δυσσεβεῖ δὲ καὶ κυκῶντι ξύμπασαν τὴν ὑπ' οὐρανόν· ἐδίωκε μὲν ὁ ἀσεβής, ἐδιώκοντο δὲ οἱ εὐσεβεῖς· θυμὸς ὑπερέζεε δυσσεβοῦς βασιλέως καὶ τὸ σύστημα κατεπιμπρᾶτο τῶν εὐσεβῶν· καὶ ἦν ὁρᾶν τότε διωκόμενον τὸ τῶν εὐσεβούντων, λιμαγχονούμενον, μυρί-

18 φορῷ] κ ῶ δ. φυρῶ.

αις ταῖς ὑπερορίαις ὑποβαλλόμενον καὶ κακώσεσι. τοιαύτη γάρ τις ἡ φύσις ἡ τῆς κακίας, ὁπηνίκα καὶ μᾶλλον ἀχαλινώτοις ὀρέξεσιν ὑποβάλλεται. θάλατταν μὲν γὰρ πολλάκις καὶ λαίλαπες ἐπεγείρουσι κατὰ τοὺς ἐκ κυμάτων ἐπισυνισταμένους ἀναβρασμούς, ἐπὶ δὲ ψυχῆς πολλάκις καταστρατευομένης ὑπὸ δόξης κατὰ ταὐτὸν καὶ μανίας ὑπερβάλλον εὑρίσκεται τὸ κακὸν καὶ ἀσύγκριτον· οἷον δή τι καὶ τότε τὸ σύμπτωμα γέγονε. μαρτυροῦσι τὸν τότε χειμῶνα τὸν σφοδρότερον ἐπεισφρήσαντα κατὰ τῆς ἐκκλησίας Χριστοῦ Θεόδωρος καὶ Θεοφάνης οἱ Γραπτοί, οἳ καὶ τὴν ὑπερορίαν ἐνταῦθα καταδικάζονται.

γ'. ***Περὶ τοῦ ζωγράφου Λαζάρου, τοῦ καὶ τὴν εἰκόνα τοῦ τιμίου Προδρόμου τυπωσαμένου ἐν ὑπερορίᾳ μετὰ τῆς ἀριστερᾶς χειρός.*** — Τότε καὶ Λάζαρός τις ζωγράφος τὴν τέχνην, καταλλήλως εἰδὼς συγκεραννύναι τὰ χρώματα καὶ ἀναλόγως ἀποδιδόναι τοὺς τύπους τῶν εἰκόνων καὶ τὰ μορφώματα, διαβάλλεται παρὰ ταῖς ἀκοαῖς τοῦ τότε τὰ σκῆπτρα διέποντος. τοιοῦτος γὰρ ὁ φθόνος· εὐπλάστους ὑποτίθησιν ἀφορμὰς καὶ κουφοτάτας φρένας πτεροῖ καὶ τὸν δόλον κατασκευάζει τῆς μηχανῆς· πῦρ μὲν γὰρ ὑπανάπτειν οἶδεν ὡς εἰς μέγα φλογμοῦ εὔπρηστος ὕλη καὶ τρέφουσα πῦρ, ψυχὴν δὲ βακχευομένην οἴστρῳ καὶ ἔρωτι δυσσεβείας διαβολαὶ καὶ συσκευαὶ πραγμάτων τινῶν. γίνεται γοῦν παρὰ τἀνθρώπῳ τὰ πεφυκότα ἐν τοῖς τοιούτοις συντίθεσθαι καὶ ὅτι χρώννυσι τὰς εἰκόνας καὶ μορφὰς εὐτυπώτους προσαποδίδωσι διαβάλλεται ὁ ἀνήρ, καὶ τὸ ἐπιτίμιον ὑπερορία κατὰ τόνδε τὸν τόπον καὶ κόλασις δεινὴ καὶ ἀξία γραφῇ παραδίδοσθαι. σίδηρος ἐκπυροῦταί τε καὶ πλατύνεται ὡς εἰς σχῆμα τετράγωνον· ἐξάπτεται τῆς χειρός, συνδεσμεῖται τῷ σιδήρῳ ἡ χεὶρ καὶ εὐθὺς προσαποβάλλει κατὰ ταὐτὸν τὴν χρῆσιν καὶ τὴν ἐνέργειαν, τοῦ πυρὸς ἤδη προσεπιδεικνυμένου τὸ ἑαυτοῦ. ὡς δέ τινες φασι, καὶ ἀμφοτέραιν ταῖν χεροῖν ἐξήφθη ὁ σίδηρος· πλὴν ἀλλ' ἡ μὲν ἀκινητίζει καὶ ἀπρακτεῖ, ἔργον παθοῦσα καὶ φθορᾶς καὶ νεκρώσεως, περισῴζεται δέ πως αὐτῷ ἡ λαιά· κἀντεῦθεν ταύτῃ προσχρώμενος καὶ ποικίλα συγκεραννὺς εἴδη χρωμάτων, καθὼς ὁ τεχνίτης λόγος ὑπαγορεύειν δοκεῖ, ἐν ξύλῳ βραχυτέρῳ τινὶ τὴν μορφὴν ἐκτυποῖ τοῦ μεγίστου τῶν προφητῶν. θαυμαστὴ δέ τις ἡ τῆς εἰκόνος, ὡς λέγεται, δύναμις· πηγὴ γὰρ ἐξ αὐτῆς πολλαχοῦ καὶ πολλάκις θαυμάτων ἀνέβλυσε καὶ ὁ πολὺς λόγος τῶν θαυμασίων μέχρι καὶ ἡμῶν διασέσωσται. ἀλλ' ἔοικεν ἀληθῶς ἔχειν τὸ πάλαι θρυλούμενον, ὅτι πανδαμάτωρ ὁ χρόνος καὶ πάντα συμφθείρειν καὶ μαραίνειν δοκεῖ, ἔνθα καὶ μᾶλλον σύνθεσις ἐκ μαχομένων τινῶν. οἷον δή τι καὶ τόδε τὸ σύμπτωμα γέγονεν· ἔφθαρται γὰρ ἡ ὕλη, κἂν ἡ χάρις ἀδάπανος. κἀντεῦθεν ἅπαν μὲν τὸ τῆς εἰκόνος

9 Λαζάρου] πρβλ. Theoph. Contin. σ. 102—103 Bek.

παρερρύη τῷ χρόνῳ φθειρόμενον, μόνη δὲ ἡ μορφὴ παρασέσωσται ἀδαπάνως τὴν χάριν ἐπιδεικνῦσα προσβλύζουσαν, ὅτι καὶ μέρος τοῦτο τῶν θαυμάτων τῆς εἰκόνος γνωρίζεται, ἐπεὶ μηδὲ συνέφθαρται τῷ χρόνῳ καὶ παραπόλλυται ὁ τύπος τῆς μορφῆς τῆς εἰκόνος αὐτῆς, ἀλλὰ σῶόν τι τὸ μόρφωμα καὶ ἀκέραιον μέχρι καὶ ἡμῶν παραλέλειπται. τὸ δὲ τόσου παραρρυέντος καιροῦ μὴ συνδιαφθαρῆναι τὰ τῆς μορφῆς, ἔμοιγε τοῦτο καὶ τῶν πάνυ θαυμασίων δοκεῖ καὶ θαῦμα τῆς προφητικῆς μεγαλειότητος ἄξιον. τοῦτό μοι τὸ μόρφωμα θηραθὲν ὡς θησαυρὸς κατεσχέθη, ὃ καὶ τέχναις ζωγράφων παραδοθὲν ἐξ ἐμοῦ νῦν ὡς ἐν καθαρωτέρῳ τύπῳ τὰς ἑαυτοῦ χάριτας τοῖς φιλοθεάμοσιν ἀκτινοβολεῖ. τὰ μὲν οὖν ἄλλα χαίρειν ἐάσθωσαν, ἡμῖν δὲ τὰ τῆς εἰκόνος ταύτης θησαυρὸς ἀδάπανος ἔγνωσται καὶ ὅτι ταύτῃ ζῶμεν ὃ ζῶμεν καὶ τὴν σωτηρίαν ἐπικαυχώμεθα.

δ'. *Ἀρχὴ τῆς πνευματικῆς σιδασκαλίας.* — Κήδεται μὲν οὖν ἁπάντων θεός, ἐπεὶ καὶ ῥύστης κοινὸς καὶ σωτὴρ πάντα ποιῶν καὶ πραγματευόμενος ἐπὶ τῷ σῶσαι τὸν ἄνθρωπον, ὅτι καὶ διὰ τὸν ἄνθρωπον ἔκλινεν οὐρανοὺς καὶ τὴν δουλικὴν μορφὴν ἐνεδύσατο, ἵνα τὸν ἄνθρωπον τυραννούμενον ῥύσηται τῆς πλάνης τοῦ βροτοκτόνου Σατάν. ἀκούομεν καὶ πιστεύομεν καὶ ὁ λόγος ἐστὶν ἀπαράγραπτος, ὅτι γίνεται χαρά τις μεγάλη ἐν οὐρανοῖς ἐπὶ ἑνὶ μετανοοῦντι· εἰ δὲ καὶ λύχνος ἐξάπτεται, τὸ τῆς διακρίσεως φῶς, καὶ σαροῦται τὸ ῥυπαρὸν τῆς οἰκίας, τοῦ παχυτέρου καὶ γεώδους καὶ σαρκικοῦ περιβλήματος, πόσον ὀφείλομεν καὶ ἡμεῖς σπουδάζειν ἑαυτοῖς τὰ τῆς σωτηρίας ἐπιπραγματεύεσθαι; "φωνὴ ἐν Ῥαμὰ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς" καὶ ὅτι "κλαίει Ῥαχὴλ τὰ τέκνα αὐτῆς καὶ οὐ προσδέχεται τὴν παράκλησιν". καὶ ἀληθῶς ἔχει τὸ λόγιον, ὅτι περ ἡμῶν ἁμαρτανόντων θρῆνος ἐν ὑψίστοις νεται, ὅτε καὶ ἡ νοητὴ Ῥαχήλ, αὐτὴ ἡ τῶν πρωτοτόκων ἐκκλησία, ζητεῖ τὰ τέκνα αὐτῆς, καὶ μὴ εὑρίσκουσα, ὡς ἤδη διάβρωμα μαχαίρας τῆς ἀλογωτέρας ὀρέξεως τῷ Ἡρώδῃ γινόμενα, τῷ βροτοκτόνῳ Σατάν, ἀποκλαίεται θαμινώτερον. λοιπὸν οὖν καὶ ἡμεῖς, ἀγαπητοί, ἐπειδὴ πολυειδής τις ὁ πόλεμος καθ' ἡμῶν τοῦ βροτοκτόνου Σατάν, ὀφείλομεν στρατεύεσθαι κατ' αὐτοῦ πνευματικῶς, ἐπεὶ καὶ πολυειδῶς πολεμούμεθα. τὰ δὲ τοῦ πολέμου πάντως οὐ σαρκικὰ καὶ φαινόμενα· εἰ γὰρ καὶ πέρας εἶχε τὰ τῆς συσκευῆς τε καὶ παρατάξεως, ἅπαξ ἀναρραγείσης τῆς μάχης καὶ τῆς νίκης ἐπισυμβαινούσης ἡμῖν, νῦν δὲ κατὰ Παῦλον οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὸν ἄρχοντα τοῦ σκότους, τὸν παλαμναῖον καὶ ἀλιτήριον. τοίνυν ἐπειδή περ ἑτερότροπα τὰ τῆς

15 ἔκλινεν οὐρανοὺς] πρβλ. Ψαλμ. ιζ', 9. ρμγ', 5. 16 δουλικὴν μ. ἐνεδύσατο] πρβλ. Φιλιπ. β', 7. 18 χαρὰ — μετανοοῦντι] πρβλ. Λουκ. ιε', 7, 19 λύχνος — σαροῦται] πρβλ. Λουκ. ιε', 8. 23 πρβλ. Ματθ. β', 18. 33 πρβλ. Ἐφεσ. ς', 12.

συσκευῆς, φέρε τὸ λοιπὸν καὶ τὸν τρόπον ὑμῖν ὑποθήσομεν τὸν τῆς παρατάξεως. στρατηγὸς μὲν γὰρ ἀνὴρ καὶ στρατάρχης, ὁπηνίκα πρὸς τὸν πόλεμον τὸ στράτευμα διεξάγεται, ὑποτοποῖ πολλάκις τὸν πόλεμον, διαγράφει καὶ τὰς σφαγάς, τὰς τῶν ἐχθρῶν ἐκδρομάς, τὰς προλοχίσεις, τὰς ἐνέδρας, τὰς συσκευάς, εὐθαρσῶς ἔχειν τὸ στράτευμα παρασκευάζων πρὸς τὴν τοῦ πολέμου σύρρηξιν καὶ παράταξιν. ἡμῖν δὲ ἀλλ' ἐπειδήπερ ὁ πόλεμος οὐ πρὸς αἴσθησιν ἀλλὰ τὸ ὅλον ἐστὶ νοητός, νῦν μὲν καταστρατευομένων καὶ ταραττομένων τῶν παθῶν κατὰ τῆς ψυχῆς αὐτῆς, νῦν δὲ καὶ τοῦ βροτοκτόνου Σατὰν ἐπεγειρομένου καθ' ἡμῶν καὶ τὸν πόλεμον συσκευάζοντος, φέρε τὸν τρόπον ὑποθήσομεν ὑμῖν τῆς πνευματικῆς ταύτης συσκευῆς καὶ παρατάξεως, ἵνα καὶ γενναιότατοι στρατιῶται καὶ δόκιμοι τοῦ καλοῦντος ἡμᾶς καὶ καλέσοντος Ἰησοῦ Χριστοῦ προδεικνύμεθα. γένοιτο δὲ ταῦτα τὰ ῥήματα ἐναργῆ τε καὶ ἔμπρακτα, τοῦ λόγου ποιοῦντος τὸ ἑαυτοῦ καὶ τὰ τῆς ὠφελείας εἰσφέροντος ταῖς ἡμετέραις εὐχαῖς. τοίνυν ὁ τρόπος δῆλος· βέλη μὲν γὰρ καὶ ξίφη καὶ σπάθη σωμάτων παχυτέρων ἁπτόμενα εἰσδύνουσιν ἔνδον σαρκὸς καὶ τὰς τομὰς ἀπεργάζονται καὶ τὰς διαλύσεις τῆς συνεχείας τοῦ σώματος κἀντεῦθεν ἔστιν ὅπῃ γε καὶ τὰ τῆς πληγῆς καιριώτατα θάνατος ἐπακολουθεῖ τῷ πλησσομένῳ πολλάκις. ἐνταῦθα δὲ ἐπὶ τῆς πνευματικῆς παρατάξεως βέλος τι καιριώτατον ἐπάγον φθορὰν καὶ ἀπώλειαν τῷ στρατευομένῳ καθ' ἡμῶν, τῷ βροτοκτόνῳ Σατάν, ἡ δύναμις τῆς ψαλμῳδίας αὐτῆς καὶ τῆς προσευχῆς, καθὼς ὁ ἀπόστολος ἐπιστέλλων πρὸς Τιμόθεον λέγει· "Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· τοῦτο γὰρ καλὸν καὶ ἀποδεκτὸν ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν". διά τοι τοῦτο φέρε ὡς ἐν εἰκόνι τινὶ καὶ προγράμματι τὸν τύπον αὐτὸν τῆς παραδόσεως ὑπογράψωμεν. ἀλλ' ἐπειδὴ διφυής τις ὁ ἄνθρωπος, ἐκ ψυχῆς καὶ σώματος λαχὼν τὴν σύστασιν (ἔστι γὰρ ἐν αὐτῇ καὶ σῶμα ῥοαῖς καὶ φθοραῖς ὑποκείμενον, ἀλλὰ καὶ ψυχὴ θειοτέρα τις καὶ ὑψηλοτέρα πάσης ὑπερκειμένη καὶ ῥοῆς καὶ συνθέσεως), διπλοῦν τινα καὶ τὸν τρόπον τῆς παραδόσεως ὑμῖν ὑποθήσομεν, νῦν μὲν κανόνα παραδιδόντες καὶ τύπον καὶ ὑπογραμμὸν περὶ τῆς ψαλμῳδίας αὐτῆς, ὡς καταρτιζούσης αὐτὴν τὴν ψυχὴν καὶ φωτιζούσης τὸν νοῦν, νῦν δὲ καὶ περὶ διαίτης δουλαγωγούσης τὸ σῶμα καὶ μὴ ἐώσης κατεξανίστασθαι τῆς ψυχῆς. πλὴν ἀλλὰ πρὸ τῆς ὑφηγήσεως τῶν κατὰ μέρος λεγομένων καὶ τοῦτο τῷ λόγῳ

4 κ ῶ δ. προλοχήσεις. 21 Τιμοθ. 1, β', 1—4.

προστίθημι, ὅτι κοινῆς ὠφελείας ὁ λόγος καταστοχάζετοι. ταῦτά τοι κἂν ἐλλιπῶς ἔχειν δοκῇ καὶ τῆς ἄγαν ἀκριβείας ἀποπίπτῃ μικρόν, τὸ ξενίζον οὐδέν· ἐπειδὴ γὰρ πολλή τις ἀνισότης τὸν βίον κατεμερίσατο κἀντεῦθεν οἱ μὲν ἄρρωστοι, οἱ δὲ ἀσθενεῖς, ἄλλοι δὲ καὶ εὔρωστοι καὶ γενναῖοι τὴν σύστασιν τὴν τοῦ σώματος, ἕτεροι δὲ καὶ ἐξ ὑπερβαλλούσης ἀσθενείας κοιμωμένοις ἀνάλογον ἔχουσι καὶ ἀκινητίζουσιν, ἐν τοῖς ἀνίσοις κατὰ τὴν ἕξιν καὶ διάφορον σύγκρασιν τὴν τοῦ σώματος ὁ λόγος κατὰ τὸ δυνατὸν τοῦ δέοντος στοχαζόμενος τὰ τῆς ἄγαν μὲν ἀκριβείας μακρὰν παρεᾷ, ταῖς ἀνθρωπίναις ἀσθενείαις συγκαταβαίνων καὶ τὰς ὑπερβαλλούσας καὶ παραλόγους νηστείας, ἃς οἱ πολλοὶ ἰδίῳ ῥυθμῷ καὶ θελήματι συντόμως δοκοῦσι κατορθοῦν, παρατρέχειν δοκεῖ· τὰ πολλὰ γάρ μοι τί καὶ πρὸς κανόνα διαίτης πνευματικῆς τὰ τοῦ δεῖνος ἢ τοῦ δεῖνος θελήματα; οὐ γὰρ ἐπέχειν δοκῶ τὸν βουλόμενον καὶ θελήματι ζέοντι τῷ κυρίῳ δουλεύοντα καὶ μᾶλλον ἐχόμενον συντονώτερον τῆς πρὸς θεὸν ἀγούσης πορείας αὐτόν· ἢ γὰρ ἂν καὶ στρατιώτης αἰτιῷτο παρὰ τῷ στρατηγῷ, εἰ γενναιότερον ἐξορμᾷ κατὰ τῶν ἐχθρῶν καὶ πλήσσει τοῖς βέλεσι τὸν ἀντιπαρατατόμενον; τάχα δὲ καὶ ἰατρὸς τὸν κάμνοντα ὑπ' αἰτίαν ἄγοι, ὅτι μᾶλλον αὐτῷ τοῦ νοσοκομείου τῆς θεραπείας συνεφάπτοιτο ὁ νοσῶν, ἀπάγων μὲν καὶ αὐτῶν νοσωδῶν αἰτιῶν καὶ παραλόγων ὀρέξεων, ἐκείνων δὲ μόνων ἐχόμενος σπουδαιότερον σιτίων ὁμοῦ καὶ ποτῶν τῶν πρὸς ἕξιν ὑγιεινὴν αὐτὸν ἐκεῖνον ἐκκαλουμένων τὸν πάσχοντα; οὐκ οὖν οὐδ' αὐτὸς ἐκεῖνον ἀπάγω (μὴ γένοιτο) τῆς καλῆς ταύτης καὶ ἐπωφελοῦς ἐγκρατείας καὶ συντονωτέρας ἀσκήσεως, μενοῦν γε καὶ εὐξαίμην αὐτῷ συντονώτερον τοῦ δρόμου τούτου τοῦ πνευματικοῦ συνεφάπτεσθαι καὶ στέφανός μοι καυχήσεως ὁ τοιοῦτος γενήσεται, ἀλλ' ὅτι τοῦτό μοι κατείληπται, ὅτι τό τισι ῥᾴδιον εἰς τὸ κτᾶσθαι τοῖς πολλοῖς οὐδοπωσοῦν ἀνυστόν. καλόν, ἀγαπητοί, καὶ σωτήριον, εἰ οὕτως εὑρήσει τις τὴν πρὸς σωτηρίαν αὐτὸν ἄγουσαν ὁδόν· ὁ τοιοῦτος ἀκούσοι καὶ ἀκούοι τοῦ σωτῆρος λέγοντος πρὸς αὐτόν· "κοπιῶν εἶ καὶ πεφορτισμένος, ἀδελφέ μου ἀγαπητέ· ἐλεύσῃ πρός με καὶ ἀναλόγως τὰ τῆς ἀναπαύσεως δέξῃ". ἀλλὰ τὸ ζητούμενον τοῦτο, πῶς ἐπίσης ὠφεληθήσονται εὔρωστοι καὶ ἀμελεῖς ἢ δυνατοὶ καὶ ἀδύνατοι. βαστάζεις τὸν καύσωνα τῆς ἡμέρας, ἀλλ' ἕτερος ἴσως οὐδὲ πρωϊνὴν φέρει κατάστασιν. φορητός σοι ὁ παγετὸς τῆς νυκτός, ἀλλ' ἑτέρῳ καὶ ἡ χλιδυῖα κατάστασις οὐκ ἔστι φορητή. ταύτῃ τὴν λεωφόρον ἐλαύνων ὁδὸν καὶ βασιλικὴν τὸν κανόνα καὶ τὸν τύπον ὑπογράφω τῆς μονῆς, σύντομον ὄντα καὶ σύνδρομον ταῖς ἀσθενείαις τῆς ἀδελφότητος. πλὴν τοῦτο καὶ

5 ἀνάλογον] οὕτως ὁ κῶδιξ, ὁ δὲ Κ προτιμᾷ ἀναλόγως. 19 ποτῶν Κ, κῶδ. πολλῶν. 27 πρβλ. Ματθ. ια', 28. 32 κῶδ. χλιδυιά.

μόνον προσδιοριζόμεθα, ὅτι οὐκ ἀφ' ἑαυτῶν τὰ λεγόμενα, ἀλλ' ἅπερ οἱ θεῖοι πατέρες καλῶς ποιοῦντες ἡμῖν διετάξαντο.

ε'. *Ὑποτύπωσις περὶ τῆς ἀληθοῦς νηστείας.* — Ἐκεῖνοι τοίνυν οὐχ ἕνα κανόνα νηστείας οὐδ' ἕνα τρόπον τῆς τῶν βρωμάτων μεταλήψεως οὐδὲ τὸ αὐτὸ μέτρον παραδεδώκασι, διὰ τὸ μηδὲ πάντας τὴν αὐτὴν ἰσχὺν ἔχειν ἢ δι' ἕξιν ἀστειοτέραν σώματος· ἕνα δὲ πᾶσι σκοπὸν παραδεδώκασι, τὸ φεύγειν τὴν πλησμονὴν καὶ ἀποστρέφεσθαι τὴν χορτασίαν τῆς γαστρός. τὴν αὐτὴν δὲ καὶ καθημερινὴν νηστείαν εἶπον καὶ δοκιμάσαντες ὠφελιμωτέραν ἔφασαν εἶναι καὶ συμβαλλομένην πρὸς καθαρότητα τῆς ἐν τρισὶν ἢ τέταρσιν ἢ ἕως ἑβδομάδος ἑλκομένης νηστείας· καὶ γάρ φησι τὸν ἀμέτρως ἐπεκτεινόμενον τὴν νηστείαν ὑπὲρ μέτρον πολλάκις τῇ τροφῇ κεχρῆσθαι, ὡς ἐκ τούτου ποτὲ μὲν τῇ ὑπερβολῇ τῆς ἀσιτίας ἀτονεῖν τὸ σῶμα καὶ πρὸς τὰς πνευματικὰς λειτουργίας ὀκνηρότερον γίνεσθαι, ποτὲ δὲ τῷ πλήθει τῶν τροφῶν καταβαρυνόμενον ἀκηδίαν καὶ χαύνωσιν ἐμποιεῖν τῇ ψυχῇ. καὶ πάλιν οὐ πᾶσιν ἁρμόδιον εἶναι ἐδοκίμασαν τὴν τῶν λαχάνων μετάληψιν, οὐδὲ πᾶσι τὴν τῶν ὀσπρίων, οὐδὲ πάντας δύνασθαι τῇ τοῦ ξηροῦ ἄρτου κεχρῆσθαι τροφῇ διηνεκῶς· καὶ ἄλλον μὲν εἶπον δύο λίτρας ἐσθίοντα ἄρτου ἀκμὴν πεινᾶν, ἄλλον δὲ ἐσθίοντα λίτραν ἢ ἓξ οὐγγίας χορτάζεσθαι. πᾶσιν οὖν, ὡς εἴρηται, ἕνα ὅρον ἐγκρατείας παραδιδόασι, τὸ μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας μηδὲ ἐξέλκεσθαι τῇ τοῦ λάρυγγος ἡδονῇ· οὐδὲ γὰρ ἡ διαφορὰ τῆς ποιότητος τῶν βρωμάτων μόνον, ἀλλὰ καὶ ἡ ποσότης τοῦ πλήθους τὰ πεπυρωμένα βέλη τοῦ ἐχθροῦ εἴωθεν ἀνάπτειν· οἵας γὰρ δήποτε τροφῆς πληρουμένη γαστὴρ ἀσωτίας σπέρματα τίκτει. καὶ πάλιν οὐ μόνον κραιπάλη οἴνου τὴν διάνοιαν μεθύσκειν εἴωθεν, ἀλλὰ καὶ πλησμονὴ ὕδατος καὶ πασῶν τροφῶν ὑπερβολὴ κεκαρωμένην καὶ νυστάζουσαν ταύτην ἀποτελεῖ. τοῖς Σοδομίταις οὐκ οἴνου καὶ διαφόρων βρωμάτων μετάληψις καταστροφῆς γέγονεν αἰτία, ἀλλ' ἄρτου πλησμονὴ κατὰ τὸν προφήτην. ἡ γὰρ ἀσθένεια τοῦ σώματος πρὸς τὴν καθαρότητα τῆς καρδίας οὐκ ἀντίκειται, ὅταν παράσχωμεν τῷ σώματι ἅπερ ἡ ἀσθένεια ἀπαιτεῖ, οὐχ ἅπερ ἡ ἡδονὴ θέλει. ἡ τῶν βρωμάτων χρῆσις, ὅσον πρὸς τὸ ὑπουργῆσαι τὰ πρὸς τὸ ζῆν, εἰ παραλαμβάνεται, οὐχ ὅσον δουλεῦσαι ταῖς ὁρμαῖς τῆς ἐπιθυμίας, οὐ κωλύεται. ἡ σύμμετρος καὶ μετὰ λόγου τῶν τροφῶν μετάληψις τῆς ὑγείας φροντίζει τοῦ σώματος, οὐ τὴν ἁγιωσύνην ἀφαιρεῖται. ὅρος ἐγκρατείας καὶ κανὼν παραδεδομένος παρὰ τῶν πατέρων ἀκριβὴς οὗτός ἐστι, τὸ μεταλαμβάνοντα τροφῆς, ἔτι τῆς ὀρέξεως ἐγκειμένης, ταύτης ἀπέχεσθαι καὶ μὴ ἀναμένειν τὸν κόρον. καὶ ὁ ἀπόστολος δὲ εἰπὼν "τῆς σαρκὸς πρόνοιαν μὴ

21 πεπυρωμένα β. τοῦ ἐχθροῦ] πρβλ. Ἐφεσ. ς', 16. 26 ἄρτου πλησμονὴ] πρβλ. Ἐξόδ. ις', 3. 35 Ῥωμ. ιγ' 14.

ποιεῖσθε εἰς ἐπιθυμίας", οὐ τὴν ἀναγκαίαν τῆς ζωῆς κυβέρνησιν ἀπηγόρευσεν, ἀλλὰ τὴν φιλήδονον ἐπιμέλειαν ἀπηγόρευσεν. ἄλλως τε πρὸς καθαρότητα τελείαν ψυχῆς μόνη ἡ ἀποχὴ τῶν βρωμάτων οὐκ ἰσχύει, εἰ μὴ καὶ αἱ λοιπαὶ ἀρεταὶ συνδράμωσι. τοιγαροῦν ἡ ταπείνωσις διὰ τῆς ὑπακοῆς τοῦ ἔργου καὶ τῆς τοῦ σώματος καταπονήσεως μεγάλα ἡμῖν συμβάλλεται. ἡ ἀποχὴ τῆς φιλαργυρίας, οὐ μόνον τοῦ ἔχειν χρήματα ἀλλὰ μηδὲ ἐπιθυμεῖν κεκτῆσθαι, πρὸς καθαρότητα ψυχῆς ὁδηγεῖ. τῆς ὀργῆς ἡ ἀποχή, τῆς λύπης, τῆς κενοδοξίας, τῆς ὑπερηφανίας ἐξαιρέτως ἐγκράτεια καὶ νηστεία κατορθοῖ· ἀδύνατον γὰρ τὸν τὴν γαστέρα κεκορεσμένον πολεμῆσαι κατὰ διάνοιαν τῷ πνεύματι τῆς πορνείας. καὶ γάρ, καθὼς λέγουσιν οἱ πατέρες καὶ ἡμεῖς ἀπὸ τῆς πείρας αὐτῆς ἐμάθομεν, αἱ ἀκροτῆτες ἑκατέρων τῶν μερῶν ἐπίσης βλάπτουσι, καὶ ἡ τῆς νηστείας ὑπερβολὴ καὶ ἡ τῆς γαστρὸς χορτασία καὶ ἡ τῆς ἀγρυπνίας ἀμετρία καὶ ὁ τοῦ ὕπνου κόρος καὶ αἱ λοιπαὶ ὑπερβολαί. καὶ γὰρ ἔγνωμέν τινας διὰ γαστριμαργίας μὲν μὴ ἡττηθέντας, διὰ δὲ ἀμέτρου νηστείας καταβληθέντας καὶ πρὸς τὸ αὐτὸ πάθος τὸ τῆς γαστριμαργίας ὀλισθήσαντας διὰ τὴν προσγινομένην ἐκ τῆς ἀμετρίας ἀσθένειαν. κἀγὼ δὲ μέμνημαί ποτε τοιοῦτόν τι πεπονθὼς καὶ ἐπὶ τοσοῦτον ἐγκρατευσάμενος, ὥστε με ἐπιλαθέσθαι τῆς ὀρέξεως τῆς τροφῆς, καὶ ἐπὶ δύο καὶ τρεῖς ἡμέρας μένοντα ἄσιτον καὶ μηδὲ ὅλως τροφῆς ἐπιθυμοῦντα ἄλλοι ἐπὶ ταύτην διήγειραν. καὶ πάλιν ἐξ ἐπιβουλῆς τοῦ διαβόλου οὕτως ὁ ὕπνος ἀπέστη ἀπ' ἐμοῦ, ὡς ἐπὶ πλείστας νύκτας ἄυπνον διατελοῦντα ἱκετεύειν τὸν κύριον μικροῦ ὕπνου μεταλαβεῖν με. καὶ βαρύτερον ἐκινδύνευσα ἐπὶ τῇ ἀμετρίᾳ τῆς ἀσιτίας καὶ τῆς ἀγρυπνίας ἤπερ ἐπὶ τῇ γαστριμαργίᾳ καὶ καρώσει τοῦ ὕπνου. τοιγαροῦν πρῶτος ὑμῖν ἔστω ἀγὼν τὸ κρατεῖν γαστρὸς καὶ δουλαγωγεῖν τὸ σῶμα οὐ μόνον διὰ νηστείας, ἀλλὰ καὶ δι' ἀγρυπνίας καὶ κόπου καὶ ἀναγνώσεως καὶ τοῦ συνάγειν τὴν καρδίαν εἰς τὸν φόβον τῆς Γεέννης καὶ εἰς τὸν πόθον τῆς βασιλείας τῶν οὐρανῶν.

ς'. ***Περὶ τοῦ πῶς δεῖ ἀποκρούεσθαι τὸ πνεῦμα τῆς ἀκηδίας.*** — Ἔστω δὲ ὑμῖν καὶ ἀγὼν διηνεκὴς κατὰ τοῦ πνεύματος τῆς ἀκηδίας, τοῦ συνεζευγμένου καὶ συνεργοῦντος τῷ πνεύματι τῆς λύπης. δεινὸς οὗτος καὶ βαρύτατος δαίμων καὶ τοῖς μοναχοῖς ἀεὶ πολεμῶν, ὅστις ἕκτην ὥραν ἐμπίπτει τῷ μοναχῷ ἀτονίαν καὶ φρίκην αὐτῷ ἐμποιῶν καὶ μῖσος ἐργαζόμενος καὶ πρὸς αὐτὸν τὸν τόπον καὶ πρὸς τοὺς συνδιατρίβοντας ἀδελφοὺς καὶ πρὸς πᾶσαν ἐργασίαν καὶ πρὸς αὐτὴν τῶν θείων Γραφῶν τὴν ἀνάγνωσιν, ὑποβάλλων αὐτῷ λογισμοὺς μεταβάσεως καὶ ὡς, εἰ μὴ μεταστήσει ἑαυτὸν πρὸς ἑτέρους τόπους, μάταιος αὐτῷ ἅπας ὁ χρόνος καὶ ὁ τόπος γενήσεται. πρὸς τούτοις πᾶσι καὶ πεῖναν ἐντίθησι περὶ ὥραν ἕκτην, ὅση οὐκ ἂν αὐτῷ συμβαίνῃ ἐκ

10 ἀκρότητες K, κῶδ. ἀκροτῆρες.

τριημέρου νηστείας ἢ μακροτάτης ὁδοῦ ἢ βαρυτάτου κόπου. ἔπειτα λογισμοὺς αὐτῷ ἐπιβάλλει, ὡς οὐδενὶ ἄλλῳ τρόπῳ δυνήσεται τῆς νόσου ταύτης καὶ τοῦ βάρους ἀπαλλάττεσθαι, εἰ μὴ διὰ τοῦ ἐξέρχεσθαι συνεχῶς καὶ παραβάλλειν ἀδελφοῖς χάριν ὠφελείας δῆθεν καὶ ἐπισκέψεως ἀσθενούντων. ὅταν δὲ μὴ δυνηθῇ ἐν τούτοις αὐτὸν ἀπατῆσαι, τὸ τηνικαῦτα ὕπνῳ βαρυτάτῳ καταβαπτίσας αὐτὸν σφοδρότερος γίνεται, οὐκ ἄλλως ἀνατρεπόμενος, εἰ μὴ διὰ προσευχῆς καὶ ἀποχῆς τῶν ἡδέων καὶ τῆς ἀργολογίας καὶ διὰ μελέτης τῶν θείων λογίων καὶ τῆς ἐν τοῖς πειρασμοῖς ὑπομονῆς. ἐὰν γὰρ μὴ τούτοις τοῖς ὅπλοις ἠσφαλισμένον αὐτὸν εὕρῃ, κατατοξεύσας τοῖς αὐτοῦ βέλεσιν ἄστατον αὐτὸν ἀποδείκνυσι καὶ ῥεμβὸν ἀποτελεῖ καὶ ῥᾴθυμον καὶ ἀργὸν καὶ μοναστήρια πολλὰ περιέρχεσθαι παρασκευάζει καὶ οὐδενὸς ἄλλου φροντίζειν ἢ τοῦ περισκοπεῖν, ποῦ ἄριστα καὶ πότοι γίνονται· οὐδὲν γὰρ ἄλλο ἡ διάνοια τοῦ ἀκηδιαστοῦ φαντάζεται ἢ τοὺς ἐκ τούτων μετεωρισμούς. καὶ λοιπὸν ἐκ τούτων καὶ εἰς κοσμικὰ πράγματα αὐτὸν ἐνδεσμεῖ καὶ κατ' ὀλίγον δελεάζει ταύταις ταῖς ἐπιβλαβέσιν ἀσχολίαις, ἐφ' ὃ ἂν τούτου τοῦ μοναδικοῦ ἐπαγγέλματος τελείως αὐτὸν ἐκβάλῃ. ταύτην τὴν νόσον βαρυτάτην οὖσαν ὁ θεῖος ἀπόστολος ἐπιστάμενος καὶ βουλόμενος ἐκ τῶν ἡμετέρων ψυχῶν πρόρριζον ἀνασπάσαι τὰς αἰτίας, ἀφ' ὧν μάλιστα τίκτεται, δείκνυσι δι' ὧν γράφων Θεσσαλονικεῦσι τάδε φησί· "Παραγγέλλομεν ἡμεῖς, ἀδελφοί, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν· αὐτοὶ γὰρ οἴδατε, πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς· καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι, εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως καὶ μηδὲ ἐργαζομένους· τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν ἐν κυρίῳ Ἰησοῦ Χριστῷ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν". ἀκούσωμεν, πῶς σοφῶς ὑποδείκνυσι τὰς αἰτίας τῆς ἀκηδίας ὁ ἀπόστολος· ἀτάκτους γὰρ καλεῖ τοὺς μὴ ἐργαζομένους, ἐνὶ τούτῳ τῷ ῥήματι πολλὴν κακίαν ἐμφαίνων· ὁ γὰρ ἄτακτος καὶ ἀνευλαβὴς τυγχάνει καὶ προπετὴς περὶ λόγον καὶ εἰς λοιδορίαν πρόχειρος, καὶ λοιπὸν καὶ εἰς μοναστηρίου ὑποταγὴν ἀνεπιτήδειος καὶ τῆς ἀκηδίας δοῦλος. παραγγέλλει οὖν στέλλεσθαι ἀπ' αὐτοῦ, τουτέστιν ἀφορίζεσθαι ὡς ἀπὸ λοιμικῆς νόσου. εἶτα τί φησι; "καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν", διὰ τῆς λέξεως ταύτης ἐμφαί-

12 κῶδ. ἄριστοι. 19 Θεσσ. 2, γ', 6—12.

νων ὑπερηφάνους αὐτοὺς εἶναι καὶ καταφρονητὰς καὶ τῶν ἀποστολικῶν παρα-
δόσεων καταλύτας. καὶ πάλιν "δωρεάν" φησιν, "οὐκ ἐφάγομεν ἄρτον παρά
τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ
ἐπιβαρῆσαί τινα". ὁ διδάσκαλος τῶν ἐθνῶν, ὁ κήρυξ τοῦ εὐαγγελίου, ὁ με-
τάρσιος ἕως τρίτου οὐρανοῦ, ὁ λέγων τὸν κύριον προστεταχέναι τοὺς τὸ εὐ- 5
αγγέλιον καταγγέλλοντας ἐκ τοῦ εὐαγγελίου ζῆν, ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς
καὶ ἡμέρας ἐργάζεται πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα. τί τοίνυν ἡμεῖς ποιή-
σομεν ἀκηδιῶντες ἀπὸ ἔργου καὶ τὴν σωματικὴν ἀνάπαυσιν διώκοντες, οἷς
οὔτε κήρυγμα εὐαγγελίου ἐνεχειρίσθη, οὔτε τῶν ἐκκλησιῶν ἡ μέριμνα, ἀλλὰ
τῆς ἰδίας μόνον ψυχῆς ἡ φροντίς; εἶτα σαφέστερον δεικνύων τὴν τικτομένην 10
βλάβην ἐκ τῆς ἀργίας ἐπιφέρει· "μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομέ-
νους". ἀπὸ ἀργίας περιεργία καὶ ἀπὸ περιεργίας ἀταξία καὶ ἀπὸ ἀταξίας
πᾶσα κακία. κατασκευάζων δὲ πάλιν τὴν θεραπείαν αὐτοῖς ἐπιφέρει· "τοῖς
δὲ τοιούτοις παραγγέλλομεν ἐν ἡσυχίᾳ ἐργαζομένοις τὸν ἑαυτῶν ἄρτον ἐσθί-
ειν". καὶ ἐπιπληκτικώτερον λέγει· "εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθι- 15
έτω". τούτοις τοῖς ἀποστολικοῖς διδάγμασιν οἱ κατὰ τὴν Αἴγυπτον ἅγιοι πα-
τέρες πεπαιδευμένοι οὐδένα καιρὸν ἀργοὺς εἶναι τοὺς μοναχοὺς ἐπιτρέπουσι,
καὶ μάλιστα τοὺς νεωτέρους, εἰδότες, ὡς διὰ τῆς ὑπομονῆς τοῦ ἔργου καὶ
ἀκηδίαν ἀπελαύνουσι καὶ τὴν ἑαυτῶν τροφὴν προσπορίζουσι καὶ τοῖς δεομέ-
νοις βοηθοῦσιν· οὐ μόνον γὰρ τῆς ἑαυτῶν χρείας ἐργάζονται ἕνεκεν, ἀλλὰ 20
καὶ ξένοις καὶ πτωχοῖς καὶ τοῖς ἐν φυλακαῖς ἐκ τοῦ ἰδίου ἔργου ἐπιχορη-
γοῦσι, πιστεύοντες τὴν τοιαύτην εὐποιΐαν θυσίαν ἁγίαν εὐπρόσδεκτον τῷ θεῷ
γίνεσθαι. καὶ τοῦτο δὲ λέγουσιν οἱ πατέρες, ὅτι ὁ ἐργαζόμενος ἑνὶ δαίμονι
πολλάκις πολεμεῖ καὶ ὑπ' αὐτοῦ θλίβεται, ὁ δὲ ἀργὸς ὑπὸ μυρίων πνευμά-
των αἰχμαλωτίζεται. καλὸν δὲ πρὸς τούτοις καὶ λόγων ἐπιμνησθῆναι τοῦ ἀββᾶ 25
Μωϋσέως, τοῦ δοκιμωτάτου ἐν τοῖς πατράσι, οὗς πρὸς τὸν μέγαν Κασιανὸν
ἀπεφθέγξατο. καθεσθεὶς γὰρ ὁ εἰρημένος θεῖος Κασιανὸς ὀλίγον χρόνον ἐν
τῇ ἐρήμῳ καὶ ὀχληθεὶς ὑπὸ ἀκηδίας παρέβαλε τῷ ἁγίῳ Μωϋσεῖ καὶ εἶπεν
αὐτῷ, ὅτι "Χθὲς δεινῶς ὀχληθεὶς ὑπὸ ἀκηδίας καὶ ἐξασθενήσας σφοδρῶς
οὐ πρότερον ἀπηλλάγην αὐτῆς, εἰ μὴ παρέβαλλον τῷ ἀββᾷ Παύλῳ". ἀπε- 30
κρίθη δὲ αὐτῷ ὁ ἀββᾶς Μωϋσῆς καὶ εἶπε· "Θάρσει· οὐ σεαυτὸν ἀπὸ ταύ-
της ἠλευθέρωσας, ἀλλὰ μᾶλλον ἔκδοτον καὶ δοῦλον ἑαυτὸν ταύτῃ παρέδωκας.
γίνωσκε τοίνυν, ὅτι βαρυτέρως ὡς λιποτάκτην καταπολεμήσει, εἰ μὴ τοῦ λοι-
ποῦ δι' ὑπομονῆς καὶ προσευχῆς καὶ τοῦ ἔργου τῶν χειρῶν ταύτην κατα-
παλαῖσαι σπουδάσεις". ταῦτα δὲ πάντα, ἀδελφοί μου ἠγαπημένοι, ἀναμι- 35
μνήσκω, ὅτι ὑπομονῆς χρεία πολλῆς· οὐ γὰρ ὁ ἀπαρξάμενος τοῦ καλοῦ μακά-

5 ὁ λέγων — ἐκ τοῦ εὐαγγελίου ζῆν] πρβλ. Κορ. 1, θ', 14.

ριος, ἀλλ' ὅστις ἕως τέλους ἐν τούτῳ διαμεμένηκεν· ὁ γὰρ ἐπὶ γῆς συρόμε-
νος ὄφις τὴν ἡμετέραν ἀεὶ πτέρναν τηρεῖ, τουτέστι τῇ ἡμετέρᾳ ἐξόδῳ ἐπι-
βουλεύει καὶ ἕως τέλους τῆς ζωῆς ἐπισκελίζειν ἡμᾶς ἐπιχειρεῖ, καὶ τούτου
χάριν τὸ ἀπάρξασθαι καλῶς οὐδὲν ὠφελήσει οὐδὲ ἡ ἐν ἀρχῇ τῆς ἀποταγῆς
θερμότης, εἰ μὴ καὶ τὸ τέλος οὕτως γένηται. καὶ ἡ τοῦ Χριστοῦ δὲ ταπεί- 5
νωσις, ἣν νῦν ἐπηγγείλασθε ἐνώπιον αὐτοῦ, οὐκ ἄλλως βεβαιωθήσεται, εἰ
μὴ ἕως τέλους ταύτην ἐπιδείξετε. διό, ἵνα δυνηθῆτε ταύτην τελείως κτήσα-
σθαι καὶ συντρῖψαι τὴν κεφαλὴν τοῦ δράκοντος, σπουδάζετε, ὅταν ἐπέρχων-
ται ὑμῖν λογισμοί, εὐθέως τούτους ἐξαγγέλλειν τῷ ἰατρῷ τῶν ψυχῶν ὑμῶν,
τῷ πατρὶ ὑμῶν· οὕτω γὰρ δημοσιεύοντες τὰς ἀρχὰς τῶν ὀλεθρίων τοῦ δρά- 10
κοντος λογισμῶν καὶ μὴ αἰσχυνόμενοι ἐκφαίνειν αὐτοὺς συντρίψετε τὴν τού-
του κεφαλήν. διὸ δή, κατὰ τὴν Γραφήν, εἰ προσήλθετε τοῦ δουλεύειν τῷ κυ-
ρίῳ, ἑτοιμάσατε τὰς καρδίας ὑμῶν μὴ πρὸς ἀμεριμνίαν, μὴ πρὸς ἀνέσεις καὶ
τέρψεις, ἀλλὰ πρὸς πειρασμούς, πρὸς θλίψεις· "διὰ πολλῶν γὰρ θλίψεων δεῖ
ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν" καὶ στενὴ καὶ τεθλιμμένη ἡ 15
ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ "ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν". προσέχετε
τοίνυν τοῖς σπουδαίοις καὶ καλοῖς καὶ ἐκ παραδείγματος αὐτῶν κανονίζετε τὸν
ἑαυτῶν βίον· μὴ προσέχετε τοῖς ῥαθύμοις καὶ καταφρονηταῖς, κἂν πολλοὶ ὦσι·
"πολλοὶ γάρ" φησι "κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί"· καὶ μικρὸν τὸ ποίμνιον, ᾧ
εὐδόκησεν ὁ πατὴρ δοῦναι τὴν βασιλείαν. μὴ μικρὸν εἶναι νομίσητε ἁμάρτημα 20
τὸ ἐπαγγέλλεσθαι τελειότητα καὶ τοῖς ἀμελεστέροις καὶ ῥαθύμοις ἀκολουθεῖν,
ἀλλ' ἵνα δυνηθῆτε τῆς τελειότητος ἐπιβῆναι, ταύτῃ κέχρησθε τῇ τάξει.

ζ' ***Περὶ τῆς κατὰ πνεῦμα τελειότητος καὶ ὅπως δεῖ πρὸς ταύτην ἀνάγεσθαι.*** — Πρῶτος βαθμὸς ἀρετῆς καὶ ἀρχὴ τῆς ἡμετέρας ἀσφαλείας καὶ σω-
τηρίας ὁ φόβος ἐστὶ τοῦ θεοῦ· διὰ τούτου γὰρ καὶ τῶν ἁμαρτημάτων κάθαρ- 25
σις καὶ τῶν ἀρετῶν φυλακὴ καὶ ὁδὸς ἐπὶ τὴν τελείωσιν γίνεται· ὅταν γὰρ
ὁ τοῦ θεοῦ φόβος εἰσέλθῃ εἰς ψυχήν, καταφρονεῖν πάντων πείθει τῶν τοῦ
κόσμου πραγμάτων καὶ λήθην τῶν κατὰ σάρκα συγγενῶν καὶ αὐτοῦ ὅλου τοῦ
κόσμου ἐμποιεῖ. ἐκ δὲ τούτων ταπείνωσις τὸ κεφάλαιον καὶ πλήρωμα πάν-
των τῶν καλῶν κατορθοῦται· καταφρονήσει γὰρ καὶ στερήσει πάντων τῶν τοῦ 30
κόσμου πραγμάτων ἡ ταπείνωσις προσγίνεται· ἡ ταπείνωσις δὲ τοῖς τοιού-
τοις γνωρίσμασι δοκιμάζεται καὶ δείκνυται, εἰ νεκρωθέντα τις ἐν ἑαυτῷ ἔχει
τὰ ἴδια θελήματα· δεύτερον, εἰ μὴ τῶν οἰκείων πράξεων μόνον, ἀλλὰ καὶ
ἐνθυμήσεων μηδέν τις ἀπὸ τοῦ ἰδίου κρύπτει πατρός· τρίτον, εἰ μηδὲν τῇ
ἰδίᾳ συνέσει ἀλλὰ πάντα τῇ τοῦ ἰδίου πατρὸς διακρίσει πιστεύει, διψῶν ἀεὶ 35

2 πτέρναν τηρεῖ] πρβλ. Γεν. γ', 15. 3 ἐπισκελίζειν] οὕτως ἐν τῷ κώδ., Κ. ὑποσκελίζειν.
14-16 Πράξ. ιδ', 22. Ματθ. ζ', 14. 19 Ματθ. κ', 16. κβ', 14.

καὶ ἡδέως ἀκούων τῆς τούτου νουθεσίας· τέταρτον, εἰ ἐν πᾶσιν ὁλοψύχως δουλεύει τοῖς τοῦ πατρὸς προστάγμασι· πέμπτον, εἰ μὴ μόνον αὐτὸς οὐ τολμᾷ ὑβρίσαι τινά, ἀλλὰ καὶ τὰς ὑπ' ἄλλων ἐπαγομένας αὐτῷ ὕβρεις μετὰ χαρᾶς προσδέχοιτο· ἕκτον, εἰ μηδὲν ἐπιχειρήσει καινότερόν τι πρᾶξαι, ὅπερ οὐχ ὁ κοινὸς κανὼν ἐπιτρέπει οὐδὲ τῶν πατέρων αἱ παραδόσεις· ἕβδομον, εἰ πάσῃ εὐτελείᾳ ἀρκούμενος καὶ ἐπ' αὐτοῖς τοῖς διδομένοις εὐχαριστῶν ἀνάξιον ἑαυτὸν ἡγεῖται καὶ τούτων· ὄγδοον, εἰ ἑαυτὸν κατώτερον καὶ μὴ ὑπερέχοντά τινος ἐξ ἀληθινῆς καρδίας ἡγεῖται· ἔνατον, εἰ γλώσσης κρατεῖ καὶ μὴ ᾖ προπετὴς ἐν λόγοις καὶ ταχὺς ἐν φωνῇ· δέκατον, εἰ μὴ ἔστιν εὐχερὴς καὶ πρόχειρος ἐν γέλωτι.

η'. ***Περὶ ταπεινώσεως.*** — Τούτοις γὰρ καὶ τοῖς ὁμοίοις τούτων σημείοις ἡ ταπείνωσις γνωρίζεται, ἥτις, ὅταν ἐν ἀληθείᾳ κατορθωθῇ, ταχέως πρὸς τὸ ὕψος τῆς ἀγάπης ἀπάγει, ἐν ᾗ φόβος οὐκ ἔστι κολάσεως καὶ δι' ἧς τὰ πάντα οὐκέτι μετ' ἀνάγκης καὶ κόπου φυλάσσονται, ἀλλὰ πόθῳ διαπύρῳ καὶ ἐπιθυμίᾳ τοῦ καλοῦ· πρὸς ἥνπερ ἀρετὴν ἵνα ἰσχύσητε εὐχερέστερον φθάσαι, ὑποδείγματα ὑμῖν πρὸς μίμησιν ἔστωσαν ὀλίγοι τῶν συμμενόντων καὶ εὐλάβειαν κεκτημένων ἀδελφῶν, μὴ οἱ πλείους καὶ ῥαθυμότερον ζῶντες· καὶ γὰρ ἐκ τοῦ μιμεῖσθαι καὶ ζηλοῦν τοὺς σπουδαίους μεγίστη ἀσφάλεια προσγίνεται τοῖς βουλομένοις πρὸς τελειότητα φθάσαι. εἰ τοίνυν θέλετε δυνηθῆναι πᾶσι τούτοις ἐξακολουθῆσαι καὶ ὑπὸ τοῦτον τὸν πνευματικὸν κανόνα τοῦ κοινοβίου ἄχρι τέλους διακαρτερῆσαι, ταῦτα, ἃ εἶπεν ὁ Δαυίδ, ἀναγκαῖα ὑμῖν πρὸς φυλακὴν ἔστωσαν· "ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ". καὶ μὴ μιμεῖσθε τοὺς ἀπίστους καὶ ἀνηκόους καὶ προπετεῖς καὶ ὑβριστὰς τῶν ἀδελφῶν, ἀλλ' ὡς κωφοὶ καὶ μὴ ἀκούοντες τούτους παραπέμπεσθε. ἐάν σοί τις ἐλέγχῃ ἢ ὀνείδῃ ἢ ὕβρεις ἐπιπέμπῃ, ἀκίνητος ἔσο ὡς πεφιμωμένος καὶ ἄλαλος, ἀεὶ τὸν στίχον τοῦτον τοῦ ψαλμοῦ ἐπιλέγων ἑαυτῷ· "Εἶπα φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου· ἐθέμην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου". ἔτι μὴν πρὸς τούτοις καὶ τοῦτο πρὸ πάντων μελετᾶτε διηνεκῶς καὶ φυλάσσετε, τὸ μωροὺς καὶ ἄφρονας, κατὰ τὸ τοῦ ἀποστόλου παράγγελμα, ἑαυτοὺς ποιῆσαι ἐν τούτῳ τῷ αἰῶνι, ἵνα γένησθε σοφοὶ δηλονότι, μηδὲν διακρινόμενοι ἢ διστάζοντες ἐν οἷς ἂν προσταχθῆτε ὑπὸ τοῦ πατρὸς ὑμῶν ποιῆσαι, ἀλλὰ μετὰ πάσης ἁπλότητος καὶ πίστεως τὴν ὑπακοὴν ποιεῖτε, ἐκεῖνο μόνον ἅγιον τῶν ἁγίων λογιζόμενοι καὶ σοφὸν καὶ συμφέρον πιστεύοντες, τὸ ὑπὸ τοῦ πατρὸς προσταχθὲν ὑμῖν· τοιαύτῃ γὰρ διαθέσει ἀσφαλισάμενοι τὰς ὑμῶν καρδίας δυνήσεσθε ἕως τέλους ὑπομεῖναι τὸν χρηστὸν ζυγὸν τῆς ὑποταγῆς καὶ οὐδὲν ὑμᾶς τῶν τοῦ διαβόλου πειρατηρίων καὶ τεχνασμάτων δυνήσεται σαλεῦσαι ἐκ τῆς ἐπιστήμης τοῦ κοινοβίου. καὶ τὴν ὑπομονὴν δὲ καὶ τὴν μακροθυμίαν ὑμῶν μὴ ἐκ τῆς τῶν ἄλλων ἀρετῆς προσδοκᾶτε κατορθοῦσθαι, οἷον, ὅταν ὑπ' οὐδενὸς παροξύνησθε ἢ οὐκ ἐξουδενῆσθε, ἢ οὐκ ἀτιμάζησθε, ἐπείπερ οὐδὲ τῆς ὑμῶν ἀρετῆς δεῖγμα τοῦτο οὔτε ἐν τῇ ὑμῶν ἐξουσίᾳ κεῖται· ἀλλ' ὅταν λοιδορῆσθε ἢ ἀτιμάζησθε ἢ ἐξουθενῆσθε, πράως φέρετε· τοῦτο γὰρ ἐν τῇ ὑμῶν προαιρέσει κεῖται. ἵνα τοίνυν ταῦτα πάντα, ἅπερ πλατύτερον εἴρηκα, συναθροίσας τι σύντομον εἴπω πρὸς τὸ εὐκόλως τὴν ὑμῶν διάνοιαν τούτων μνημονεύειν, ἀκούετε πάλιν κατὰ τάξιν, πῶς δυνήσεσθε ἐπιβαίνειν τῆς τελειότητος.

η' (sic). ***Ἑτέρα κλῖμαξ πνευματικῆς ἀναβάσεως.*** — Ἀρχὴ τῆς ἡμετέρας σωτηρίας ἐστὶν ὁ φόβος τοῦ θεοῦ. ἐκ τούτου γεννᾶται ἀγαθὴ ὑπακοή. ἐκ ταύτης τῆς ὑπακοῆς τίκτεται ἡ ὑποταγὴ καὶ ἡ καταφρόνησις πάντων τῶν τοῦ κόσμου πραγμάτων, ἐκ ταύτης δὲ ἡ ταπείνωσις, ἐκ δὲ τῆς ταπεινώσεως γεννᾶται τῶν οἰκείων θελημάτων ἡ νέκρωσις, ἐκ δὲ τῆς νεκρώσεως τῶν θελημάτων αἱ τῶν ἡδονῶν ῥίζαι μαραίνονται, ἐκ δὲ τούτων πάντα τὰ ἐλαττώματα τῆς ψυχῆς ἀποβάλλονται· τῇ δὲ ἀποβολῇ τούτων αἱ ἀρεταὶ καρπὸν ποιοῦσι καὶ αὐξάνονται, τῇ δὲ αὐξήσει τῶν ἀρετῶν ἡ καθαρότης τῆς καρδίας, ἤγουν ἡ ἀποστολικὴ τελειότης, προσγίνεται. πλὴν ἀλλ' εἰ τὰ ῥήματα ταῦτα ἐμπράκτως φυλάττοιτο ταῖς τῶν ἀκουόντων ψυχαῖς καὶ τὴν τοῦ ὄρους τούτου κατοίκησιν καὶ μονίαν μετὰ χαρᾶς ὑπομείνοιτε, θαρρῶν ἀποφαίνομαι τῇ τε πρεσβείᾳ τοῦ μεγαλοκήρυκος τῆς ἀληθείας καὶ βαπτιστοῦ καὶ ταῖς πρεσβείαις τῆς ὑπεραμώμου παρθένου θεοτόκου καὶ θεομήτορος, ὡς εὔοδα ταῦτα καὶ ἀναγωγὰ γενήσεται πάσῃ τῇ ἀδελφότητι εἰς αὐτὴν τὴν βασιλείαν τῶν οὐρανῶν. ἀλλ', ὦ θεὲ καὶ κύριε τοῦ παντὸς καὶ ὦ πανύμνητε μῆτερ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ὦ πρόδρομε καὶ βαπτιστὰ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, γένοιτο ταῦτα ἐνεργά τε καὶ ἔμπρακτα ἡμῖν τε καὶ τοῖς μεθ' ἡμᾶς ἄχρι τέλους τοῦ παρόντος αἰῶνος ταῖς τιμίαις εὐχαῖς τοῦ ὑμετέρου θεράποντος, ἡμῶν δὲ ἁγίου πατρός. προσεκτέον τοιγαροῦν ἤδη τοῖς λεγομένοις, ἐπεὶ ἄρξασθαι βούλομαι ὅθεν ἄμεινον, ἄμεινον δὲ ἀπὸ τῆς τὸ φῶς ὑφαπλούσης ὥρας, ἥτις ἡ πρώτη τῆς ἡμέρας ἐστίν· δεῖν δὲ οἶμαι πάντως τοὺς περίεργον φωτὸς τὴν ἐξήγησιν ποιησομένους ἀκολούθως ἀπὸ φωτὸς ἄρξασθαι.

θ'. ***Περὶ τῆς κατὰ τὴν ψαλμῳδίαν εὐταξίας καὶ περὶ γονυκλισιῶν.*** — Χρὴ τοίνυν μετὰ τὴν ὀρθρινὴν δοξολογίαν συνημμένως ψάλλεσθαι ὑφ' ἡμῶν τὴν πρώτην ὥραν ὡς σύνηθες, ἐπιλέγεσθαί τε μετὰ τὸ τέλος αὐτῆς τὴν εὐ-

22 Ψαλμ. λζ', 14. 27 Ψαλμ. λη', 1–2. 30 ἀποστόλου] πρβλ. Κορ. Ι, γ', 18.

χὴν ταῦτα ἐχόμενα· " Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ " καὶ τὰ ἑξῆς. μετὰ δὲ τὴν εὐχὴν γίνεσθαι τὰς εἰθισμένας γονυκλισίας ἀπὸ ψιλοῦ τοῦ ἐδάφους τοῖς δυναμένοις, τοῖς δὲ ἀσθενοῦσι μικρά τινα εἶναι ὑποστηρίγματα. τούτων τὰς μὲν τρεῖς σχολαιότερον τελεῖσθαι κατὰ τοσοῦτον, καθόσον ἄρα ἱσταμένων ἡμῶν τρὶς τὸ " Ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ " λέγειν ἐν ἑαυτοῖς ἐκτεταμένας ἔχουσι τὰς χεῖρας, κλίνουσι δὲ τὰ γόνατα καὶ τὰς κεφαλὰς ἕως γῆς τὸ " Ἥμαρτόν σοι, Κύριε· συγχώρησόν μοι " ἐκ τρίτου ὁμοίως. τὰς δέ γε λοιπὰς δώδεκα σπουδαιότερον, ὡς ἐφάπαξ ἑκάστῃ γονυκλισίᾳ καὶ στάσει τὰ εἰρημένα προφέρειν ἱκετικὰ λόγια, ἐν ἰσότητι γοῦν καὶ τῇ προσηκούσῃ εὐταξίᾳ καὶ μὴ τῶν μὲν προηγουμένων, τῶν δὲ ὑστεριζόντων, ἀλλ' ὁδηγῷ πάντων χρωμένων τῷ ἐκκλησιάρχῃ ἢ τῷ τὴν ἐφημερίαν ἔχοντι ἱερεῖ, πλησίον τῶν ἱερῶν ἱσταμένῳ κιγκλίδων καὶ τὴν τάξιν ὑποδεικνύοντι· ταῦτα δὲ μὴ τοῦ " Θεὸς κύριος " ἐν τῷ ὄρθρῳ ψαλλομένου· εἰ δὲ τοῦτο, σχολαστέον τὸ ταύτας ἐν τῷ ναῷ ἐκτελεῖν, τὰ δὲ βαθέα προσκυνήματα ποιητέον ἐν τῷ καθ' ἑαυτούς, ὡς εἴρηται, τρισσῶς ἕκαστον αὐτῶν τὰ προλεχθέντα ἱκετήρια φάσκειν. μετὰ τοίνυν ταύτας τὰς γονυκλισίας ἢ τὰ προσκυνήματα συνημμένως ψάλλειν τὸ μεσώριον τῆς πρώτης ὥρας, τίθεσθαί τε αὐτίκα καὶ τὴν ἀπὸ τῶν πατρικῶν λόγων μικρὰν κατήχησιν, τὴν παρὰ τοῦ προεστῶτος ἀναγινωσκομένην, καθὼς παρὰ τοῦ παμμάκαρος πατρὸς ἡμῶν παρελάβομεν· ἥν, εἰ μὴ ἐκ τοῦ συναξαρίου κωλύοιτο, οὐ χρὴ καταλιμπάνειν ποτέ· ἐπὶ δὲ τούτοις τὸ τετυπωμένον ἡμῶν τρισάγιον τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ κτήτορος μετὰ τὴν ἀνάγνωσιν γίνεσθαι. τὰς μέντοι πάσας εὐχὰς χερσὶ λέγειν ἀνατεταμέναις κατὰ τὸ " Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον ", καὶ τὸ " Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή ", καὶ τὸ " Ἐν παντὶ τόπῳ ", ἐπαίροντας ὁσίας χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν. τελειωθείσης δὲ τῆς εἰρημένης εὐχῆς καὶ τοῦ ἱερέως τὴν ἐξ ἔθους ἐπειπόντος, αὐτίκα πίπτειν ἐπὶ πρόσωπον πάντας καὶ τοῦ προεστῶτος ἀκούειν οὕτω πως εὐχὴν αἰτοῦντος ὑμᾶς " Εὔξασθε ὑπὲρ ἐμοῦ ἐν κυρίῳ, ἀδελφοί, ἵνα ῥυσθῶ ἐκ τῶν παθῶν καὶ τῶν σκανδάλων τοῦ πονηροῦ ", καὶ ὑμᾶς ἀποκρίνασθαι " Ὁ θεὸς σώσαι σε, τίμιε πάτερ· εὖξαι καὶ σὺ ὑπὲρ ἡμῶν, πάτερ ἅγιε, ἵνα ῥυσθῶμεν ἐκ τῶν παθῶν καὶ τῶν σκανδάλων τοῦ πονηροῦ ". εἶτ' αὖθις τὸν καθηγούμενον ἐπευχόμενον λέγειν " Ὁ θεὸς δι' εὐχῶν τῶν πατέρων ἡμῶν σώσαι πάντας ἡμᾶς ", καὶ οὕτως ἀνισταμένους ἐν τοῖς κελλίοις ἡμῶν ἀπιέναι, πάσης ἀφιεμένους συνελεύσεώς τε καὶ ματαίας ἀπασχολίας, ἀργολογίας τε καὶ γέλωτος ἀτάκτου· ἀφ' ὧν τί συμβαίνει; τὸ εἰς

1 Ὁ ἐν παντὶ κέ.] οὕτως ἄρχεται νῦν ἡ πρώτη εὐχὴ τοῦ καθ' ἡμέραν μεσονυκτικοῦ. 23 Ψαλμ. ρλγ', 2. 24 Ψαλμ. ρμ', 2. 25 Ψαλμ. ρβ', 22.

αἰσχρολογίας δηλονότι παρεκπεσεῖν καὶ λοιδορίας καὶ κατακρίσεις, ὡς ἐνταῦθα τὸν νοῦν χαυνωθέντας λήθην τε λαμβάνειν τῶν ὄντως καλῶν καὶ νωθεῖς καὶ ῥαθύμους πρὸς τὰς ἑαυτῶν ἀπαντήσαντας κέλλας τῷ τῆς ἀκηδίας ὕπνῳ εὐθέως καταβυθίζεσθαι καὶ σχεδὸν πᾶσαν τὴν ἡμέραν ἀργοὺς καὶ ἀμετόχους τῆς οἱασοῦν ὠφελείας ἐσάπαν ἀποκαθίστασθαι, καθώς φησι καὶ ὁ μέγας Βασίλειος· " Τὸ τοίνυν ἐκπεσεῖν τῆς ἁρμοζούσης αὐτὸν καταστάσεως εὔκολον, τῆς ψυχῆς πρὸς γέλωτα χεομένης, καὶ διαλυθῆναι τὴν τοῦ καλοῦ μέριμναν καὶ εἰς αἰσχρολογίας ἐκπεσεῖν εὐκολώτερον ". ὃ μὴ εἴη τοῖς ἐμοῖς πατράσι καὶ ἀδελφοῖς, ἀλλ' ἀπίοι πρὸς τὴν ἑαυτοῦ κέλλαν ἕκαστος νηφάλεός τε ὁμοῦ καὶ γρηγορώτατος καὶ τὰ τῷ θεῷ φίλα διαπραττόμενος πάντοτε. εἰ δέ τινες ἴσως εὑρίσκοιντο τῷ τοιούτῳ ἁλώσιμοι, κἂν νέοι εἶεν, κἂν γέροντες, κἂν προωδευκότες ἐν τῷ σχήματι, κἂν ἀρχάριοι, ἀγάπης νόμοις νουθετείσθωσαν παρὰ τοῦ ἐπιστημονάρχου· οἱ δὲ μὴ διορθούμενοι καὶ ἐπιτιμάσθωσαν· οὐ γὰρ τοὺς ἀρχαρίους ἀμελῶς ἔχοντας ἐπιτιμᾶσθαι ἁρμόδιον, ἀλλὰ δὴ καὶ τοὺς πολλοὺς μὲν ἀνύσαντας χρόνους ἐν τῷ σχήματι, ἀμελῶς δὲ καὶ ῥαθύμως διάγοντας, καθά που περὶ τούτου φησὶν ὁ τῆς Κλίμακος ὑποφήτης. ἀπιόντας δὲ ἐν τοῖς κελλίοις ὑμῶν ἐκτελεῖν ἀκολουθίαν ἀπὸ τοῦ Ψαλτῆρος μετὰ καὶ γονυκλισιῶν κατὰ τὴν δοθεῖσαν ἑνὶ ἑκάστῳ παρὰ τοῦ προεστῶτος διάταξιν, εἴπερ οἱ τοιοῦτοι διακονίας βαρείας οὐ κέκτηνται. τὴν δέ γε τρίτην ὥραν καὶ ἕκτην καὶ ἐνάτην κοινῶς ὀφείλετε ψάλλειν ἐν τῇ ἐκκλησίᾳ μετὰ τῶν μεσωρίων αὐτῶν, κρουομένου τοῦ σημάντρου κατὰ τὸ ἔθος· τὰς γάρ τοι γονυκλισίας ἐν τῷ ναῷ παραφυλακτέον μόνῳ, ὅτε δὴ τὸ " Θεὸς κύριος " ψάλλεται, ἐπὶ τοίνυν τοῖς κελλίοις ὑμῶν ἀεὶ τὸ γόνυ κλιτέον εὐχομένους.

ι'. ***Περὶ τοῦ μὴ χρῆναι γόνυ κλίνειν ἐν τῷ Δωδεκαημέρῳ ἢ ἐν τῇ Πεντηκοστῇ.*** — Φυλαξόμεθα δὲ τοῦτο κἀν τοῖς κελλίοις, ὅταν ἀγρυπνία ᾖ διὰ τὸν ἐκείνης κόπον, πρὸς δὲ κατὰ τὸ Δωδεκαήμερον καὶ τὴν Πεντηκοστὴν πᾶσαν· φησὶ γὰρ ὁ μέγας Ἀθανάσιος οὕτως· " Μή τίς σε πλανήσῃ ἐν Κυριακῇ νηστεύειν ὅλως τὸ παράπαν, μήτε γονυπετεῖν ἐν Κυριακῇ, μήτε ἐν τῇ Πεντηκοστῇ· οὐ γάρ ἐστι θεσμὸς ἐκκλησίας ". καὶ πάλιν γέγραπται· " καὶ μετὰ τὴν Πεντηκοστὴν ἑορτάζομεν καὶ ἑτέραν μίαν ἑβδομάδα ". ἔστι δὲ καὶ κανὼν εἰκοστὸς τῆς ἐν Νικαίᾳ συνόδου λέγων οὕτωσί· " Ἐπειδὴ δέ τινές εἰσιν ἐν τῇ Κυριακῇ γόνυ κλίνοντες καὶ ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις, ὑπὲρ τοῦ πάντα ἐν πάσῃ παροικίᾳ ὁμοίως παραφυλάττεσθαι ἑστῶτας ἔδοξε τῇ ἁγίᾳ συνόδῳ τὰς εὐχὰς ἀποδιδόναι τῷ θεῷ ". ὁ δέ γε ἐνενηκοστὸς κα-

9 νηφάλεος = ιος] πρβλ. *F. A Sophocles*, Greek. lex. σ. 783. 28 Migne τ. 28, σ. 842. 32 Σύνταγμα τῶν θ. καὶ ἱ. κανόνων, τ. 2, σ. 162. 35 αὐτόθι σ. 516.

νῶν τῆς ἕκτης συνόδου οὕτωσὶ διαλαμβάνει· " Ταῖς Κυριακαῖς μὴ γόνυ κλίνειν ἐκ τῶν θεοφόρων ἡμῶν πατέρων κανονικῶς παρελάβομεν, τὴν τοῦ Χριστοῦ τιμώντων ἀνάστασιν. ὡς ἂν οὖν μὴ ἀγνοῶμεν τὸ σαφὲς τῆς ἐπὶ τούτῳ παρατηρήσεως, δῆλον τοῖς πιστοῖς καθιστῶμεν, ὥστε μετὰ τὴν ἐν τῷ Σαββάτῳ ἑσπερινὴν τῶν ἱερωμένων πρὸς τὸ θυσιαστήριον εἴσοδον κατὰ τὸ κρατοῦν ἔθος μηδένα γόνυ κλίνειν μέχρι τῆς ἐφεξῆς κατὰ τὴν Κυριακὴν ἑσπέρας, καθ' ἣν μετὰ τὴν ἐν τῷ λυχνικῷ εἴσοδον αὖθις τὰ γόνατα κάμπτοντες οὕτω τὰς εὐχὰς κυρίῳ προσάγομεν· τῆς γὰρ τοῦ σωτῆρος ἡμῶν ἐγέρσεως πρόδρομον τὴν μετὰ τὸ Σάββατον νύκτα παραλαμβάνοντες τῶν ὕμνων ἐντεῦθεν πνευματικῶς ἀπαρχόμεθα, εἰς φῶς ἐκ σκότους τὴν ἑορτὴν καταλήγοντες, ὡς ἐν ὁλοκλήρῳ ἐντεῦθεν νυκτὶ καὶ ἡμέρᾳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν ". τοίνυν προσέχετε, ἀδελφοί μου, τῇ τοῦ κανόνος τούτου ἀκριβείᾳ καὶ ὥσπερ ἐν τῇ Πεντηκοστῇ καὶ τῇ Ἁγίᾳ Κυριακῇ καὶ τῷ Δωδεκαημέρῳ καὶ ταῖς λοιπαῖς ἑορτασίμοις ἡμέραις τὴν ἀνάπαυσιν τῶν γονυκλισιῶν ἔχετε ἀπὸ τῶν ἁγίων κανόνων, οὕτως ἐκ τοῦ κανόνος τούτου μάθετε ἀκριβῶς πάλιν μὴ καταλιμπάνειν ταύτας ποτὲ ἄνευ αἰτίας εὐλόγου, ἵνα μὴ κατακριθῆτε. τὰ μὲν οὖν περὶ τῆς πρώτης καὶ τρίτης καὶ ἕκτης καὶ ἑνάτης ὥρας ἐν ταῖς ἀπολελυμέναις ἡμέραις τοῦ ἐνιαυτοῦ ὧδέ πως ἐχέτω.

ια'. ***Περὶ τῆς ἁγίας μεταλήψεως.*** — Ῥητέον δὲ ἄρα καὶ περὶ τῆς θείας μυσταγωγίας, ἥτις χρεωστικῶς ὀφείλει καθ' ἑκάστην τελεῖσθαι ἐν τῷ ναῷ· πλὴν ἀλλ' ἐν αὐτῇ προσεκτέον ὑμῖν ἑαυτοῖς ἀσφαλῶς, ἀδελφοί, ὅτι τε θεῖα τὰ ἐν αὐτῇ τελούμενα καὶ φρικώδη καὶ ὅτι ταύτῃ μᾶλλον τῶν ἄλλων τὸ φρικτὸν καὶ ὑπέρμεγα τῆς ἐνδόξου καὶ θείας ἡμῶν πίστεως τελεσιουργεῖται μυστήριον, ἡ θειοτάτη φημὶ καὶ ὑπέρτιμος ἱερούργησις τοῦ παναχράντου σώματός τε καὶ αἵματος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐν αὐτῇ γοῦν, ὡς εἴρηται, προσεκτέον ἑαυτοῖς ἀκριβῶς, ἀδελφοί, καὶ πάντα λογισμὸν ζιζανιώδη καὶ ἀκάθαρτον καὶ ἀνάξιον τῆς φρικτῆς ἐκείνης τελεσιουργίας ἀφ' ὑμῶν ἐκδιωκτέον καὶ παντὶ τρόπῳ ἑαυτοὺς καθαρτέον, οὕτω τε τῶν θείων ἁγιασμάτων μεταληπτέον τοῖς ὅσοις ἄρα καὶ μεταλαμβάνειν παρὰ τοῦ προεστῶτος συγκεχώρηται· οὐδὲ γὰρ ἔξεστί τινι ὑμῶν ἀδεῶς οὕτως καὶ ἀκρίτως καθ' ἑκάστην μεταλαμβάνειν. ἐβουλόμεθα μὲν δὴ τοῦτο· τὸ γὰρ πολλαχῶς τῶν θείων μετέχειν ἁγιασμάτων πολλαχῶς ἐστι μετέχειν καὶ τῆς ζωῆς, καθὼς φησι καὶ αὐτὸς ὁ Χριστός· " ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ ". καὶ πάλιν· " ἐὰν μὴ φάγητέ μου τὴν σάρκα καὶ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς "·

34 Ἰωάν. ς', 56. 35 Ἰωάν. ς', 53.

καὶ ὁ θεῖος ἀπόστολος· " ὁ προσκολλώμενος τῷ κυρίῳ ἓν σῶμά ἐστιν ". ὥσπερ καὶ τὸ ἐναντίον· " οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται ", Δαυὶδ φησὶν ὁ πραότατος·—ἐβουλόμεθα μὲν οὖν, ὡς εἴρηται, τοῦτο, ἀλλὰ διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν καὶ τὸ τοῦ πράγματος δυσχερὲς οὐκ ἐπιτρέπομεν· " ὁ γὰρ ἀναξίως ἐσθίων καὶ πίνων τὸ σῶμα καὶ τὸ αἷμα τοῦ κυρίου ἔνοχός ἐστι τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος ", φησὶν ὁ θεῖος πνευματορρήτωρ καὶ πρῶτος τῶν ἀποστόλων Παῦλος. φοβερόν, ἀδελφοί μου, τὸ ῥῆμα καὶ τρέμειν τὴν μετάληψιν οὐ μόνον τοὺς κατ' ἐμὲ ἁμαρτωλούς, ἀλλὰ καὶ τοὺς λίαν ἑαυτοῖς θαρροῦντας πείθει. ἐκείνους τοιγαροῦν μόνους τρὶς τῆς ἑβδομάδος μεταληπτέον, ὅσοι περ ἑαυτοὺς ἴσασι καθαρεύοντας τῶν αἰσχρῶν λογισμῶν καὶ τῆς τούτων συγκαταθέσεως, ὀργῆς τε μὴν καὶ γογγυσμοῦ, λύπης τε καὶ καταλαλιᾶς, ψεύδους καὶ γέλωτος ἀτάκτου, ἔτι τε μνησικακίας καὶ θυμοῦ, αἰσχρολογίας τε καὶ τῶν ὁμοίων. τοὺς δέ γε τοῖς εἰρημένοις περιπίπτοντας πάθεσι, δι' ἐξαγορεύσεως δὲ καὶ μετανοίας πρὸς τὴν τούτων σπεύδοντας ἀποχὴν ἅπαξ τῆς ἑβδομάδος μεταληπτέον ἢ οὐδ' ὅλως, κατὰ τὴν τοῦ προεστῶτος δηλονότι διάκρισιν· ἐκείνῳ γὰρ φροντιστέον περὶ τῶν τοιούτων· ἀκοινώνητον δέ τινα ἑαυτὸν ἡγεῖσθαι ἄνευ τῆς ἐκείνου εἰδήσεως οὐκ ἐπαινετόν· ὁ γὰρ οὕτω ποιῶν ὡς ἴδιον ἐκπληρῶν θέλημα κατακριθήσεται. τοὺς μέντοι μεταλαμβάνειν ὀφείλοντας ἐνδεχόμενόν ἐστι τὴν τετυπωμένην ἐν τῇ ἁγίᾳ μεταλήψει ψάλλειν ἀκολουθίαν, κοινήν τε κοινῶς γονυκλισίαν ἀλλήλοις ποιοῦντας διδόναι συγχώρησιν καὶ οὕτω τῶν ζωοποιῶν εὐχαρίστως μεταλαμβάνειν ἁγιασμάτων· οὕτω δὴ οὕτω καὶ ταῦτα ἐχόντων.

ιβ'. ***Περὶ τῆς ἀκολουθίας τῆς ἑνάτης ὥρας καὶ τοῦ ἑσπερινοῦ ὕμνου καὶ τῶν ἀποδειπνίων.*** — Τὴν δὲ ἑνάτην κατὰ τὰς προλαβούσας ὥρας ψάλλεσθαι χρή· καὶ τὸν ἑσπερινὸν δὲ ὕμνον ἡ τοῦ συναξαρίου διάταξις ὅπως ὀφείλει γίνεσθαι ἀριδήλως παρίστησιν, αὐτήν τε τὴν παννυχίδα καὶ καθεξῆς συνημμένως, ὡς καὶ τὰ ἀπόδειπνα μετὰ τὸ δεῖπνον, ἐν οἷς καὶ γονυκλιτέον κατὰ τὸν τύπον, ὁπότε μὴ ἑορταστέον. ἑορτὴν δὲ λέγομεν Τρίτην καὶ Πέμπτην ἡμέραν, ἐν αἷς καὶ " Θεὸς κύριος " κατὰ τὸν ὄρθρον ψάλλειν ὀφείλομεν, τοῦ Ἀλληλούια ψαλλομένου, ἤγουν ἐναλλασσομένης τῆς Δευτέρας καὶ τῆς Τετράδος καὶ τῆς Παρασκευῆς. καὶ τοῦ ἀποδείπνου δὲ ψαλέντος, τοῦ τε ἱερέως τὴν συνήθη ἐπειπόντος εὐχήν, πίπτειν ὑμᾶς ἐπὶ γόνυ χρή, καθάπερ ἐν τῷ τέλει τῆς πρώτης ὥρας, καὶ τῷ προεστῶτι τὸ οὖς ὑποκλίνειν καλὸν λέγοντι " Συγχωρήσατέ μοι ἐν κυρίῳ, ἀδελφοί· ἥμαρτον γὰρ καὶ ἔργῳ

1 πρβλ. Κορ. 1, ς', 16—17. 2 Ψαλμ. οβ', 27. 7 Παῦλος] πρβλ. Κορ. 1, ια', 27—28. 11 γογγυσμοῦ] ἐν τῷ κειμένῳ ὁ κῶδιξ ἔχει τὸ διαλογισμοῦ, ἀλλ' ὁ καλλιγράφος ἐπὶ τῆς ὥας τὸ γρ. γογγυσμοῦ σεσημείωται.

καὶ λόγῳ καὶ κατὰ διάνοιαν ", καὶ ὑμᾶς διδόναι αὐτῷ τὴν συγχώρησιν λέγοντας· " Ὁ θεὸς συγχωρήσει σοι, πάτερ "· ἀλλὰ καὶ ἐξαιτεῖν αὐτίκα ταύτην παρ' ἐκείνου προστιθέντας· " Συγχώρησον καὶ ἡμῖν αὐτός, τίμιε πάτερ· ἡμάρτομεν γὰρ καὶ ἔργῳ καὶ λόγῳ καὶ κατὰ διάνοιαν ". εἶτ' αὖθις ἐπεύχεσθαί τε ἡμῖν ἐκεῖνον καὶ λέγειν· " Ὁ θεὸς δι' εὐχῶν τῶν ἁγίων πατέρων συγχωρήσει πᾶσιν ἡμῖν ". οὕτω τε ἀνισταμένους καὶ τὴν προσήκουσαν προσκύνησιν αὐτῷ ἀπονέμοντας ἐν τοῖς κελλίοις ἀπιέναι τὴν νυκτερινὴν ὑμῶν ἀκολουθίαν κατὰ τὸν τύπον ἐκτελοῦντας καὶ οὕτως ὅλους εὐχαριστίας γινομένους καὶ εὐφροσύνης πνευματικῆς ἐφ' ὕπνον τρέπεσθαι, ἄχρις ἂν ὁ τοῦ ὡρολογίου φροντίζων τὴν ἁρμόζουσαν ἐκεῖθεν ὥραν μαθών, τῷ προεστῶτι καὶ τὴν προσήκουσαν ἐξ ἐκείνου λαβὼν εὐχήν, εἶτα καὶ γεγωνοτέρᾳ φωνῇ τὸ " Εὐλογεῖτε, ἅγιοι ", εὐρύθμως κεκραγώς, κρούσας τε τηνικαῦτα κατὰ τὸ ἔθος τὸ σήμαντρον καὶ φῶτα πᾶσι διδοὺς ἐξεγερεῖ πρὸς λειτουργίαν ὑμᾶς, τῆς μεσονύκτου ἀκολουθίας ἐν τοῖς κελλίοις ὑμῶν ψαλλομένης (ἔστι δὲ τὰ τρία καθίσματα, τὸ ἕνατον, τὸ ἑξκαιδέκατον καὶ τὸ ὀκτωκαιδέκατον), ἣν δὴ καὶ αὐτὸς ψαλεῖται πάντως, ποιῶν καὶ τὴν ὀφειλομένην τοῦ ναοῦ φωταψίαν.

ιγ'. ***Περὶ τῆς ἀκολουθίας τοῦ ὄρθρου.*** — Καὶ οὕτω τὸ μέγα σήμαντρον διασημάνας, πρὸς δὲ καὶ τὸ χαλκοῦν, καλέσει πάντας ὑμᾶς πρὸς τὴν ἑωθινὴν δοξολογίαν, ἥσπερ τὴν ἔναρξιν οὕτω δέον ποιεῖν. μετὰ γάρ τοι τὴν τοῦ Ἀμώμου ἐκπλήρωσιν ἔξωθεν εἰς τὸν νάρθηκα τοῦ ναοῦ γίνεσθαι τὴν ἀπόλυσιν παρὰ τοῦ τὴν ἐφημερίαν ἔχοντος ἱερέως εἰκός, εἶθ' οὕτως, εἰσερχομένων ἡμῶν ἔσωθεν τοῦ ναοῦ, ψάλλειν τρισάγιον εὐθέως μετὰ καὶ τῶν συνήθων τροπαρίων, τὸ " Ἐπακοῦσαί σου Κύριος " καὶ τὸ " Κύριε ἐλέησον ", προσέχοντας ἐξισοῦν ἐφ' ὅσον τε εἰκός, τούτων ψαλλομένων, αὐτόν τε τὸν ἱερέα περιιέναι τὸν θεῖον ναὸν ἅπαντα καὶ πάντας θυμιᾶν, καὶ τηνικαῦτα τῶν ἁγίων ἐπίπροσθεν στάντα κιγκλίδων καὶ τὸν τύπον αὖθις τοῦ τιμίου σταυροῦ τῷ θυμιατηρίῳ σφραγίσαντα ἅμα τῇ σφραγῖδι δόξαν ἀναπέμπειν τῇ παναγίᾳ τριάδι, οὕτωσὶ λέγοντα εἰς ἐπήκοον· " Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ τριάδι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ". ἀφ' οὗ τὸ Ἀμὴν ἐκδεχόμενον τὸν ἐκκλησιάρχην τοῦ ἑξαψάλμου εὐθὺς ἀπάρχεσθαι σχολαίως τε καὶ ἡσύχως καὶ προσεκτικῶς, μικρὸν ἄγαν ὑποφωνοῦντα τὰ ῥήματα τῶν ψαλμῶν, ἵν' ἐντεῦθεν ἔχοιεν ἅπαντες ἀπροσκόπως καὶ ἀπλανῶς αὐτὰ διεξέρχεσθαι καὶ οὕτω μετὰ τὴν τοῦ ἑξαψάλμου συμπλήρωσιν ἀκολούθως πᾶσαν ἐκτελεῖσθαι ἀκολουθίαν τοῦ ὄρθρου, καθὼς τὸ συναξάριον διέξεισιν. οὕτω μὲν οὖν ἡ περὶ τῆς ἡμερονύκτου ἀκολουθίας ἡμῶν

10 τῷ προεστῶτι (ἐλθὼν); 12 κεκραγώς] κ ῶ δ. κεκραγὼν.

ὑποτύπωσις· λεκτέον δὲ ὑμῖν καὶ περὶ τῆς ψυχοσώστου ἐξαγορεύσεως, ὁ δὲ περὶ τῆς τραπέζης λόγος τέως ἀναμεινάτω.

ιδ'. ***Περὶ τῆς ἐξαγορεύσεως.*** — Χρὴ τοίνυν τὸν προεστῶτα δὶς τῆς ἡμέρας ἐν ἰδιάζοντι καθῆσθαι τόπῳ καὶ παντὸς οὐτινοσοῦν ἀφέμενον ἑτέρου ἔργου καὶ πάσης οἰκονομικῆς ὀχλήσεώς τε καὶ διατάξεως φροντίδα ποιεῖσθαι ἐμμελεστάτην ἀκροᾶσθαι τῶν βουλομένων ἐξομολογεῖσθαι καὶ ἑκάστῳ ἁρμοδίαν τὴν ἰατρείαν ἐπιτιθέναι· εἶναι δὲ τὸν ἕνα καιρὸν ἐπιτρέπομεν μετὰ τὸ ἄρξασθαι τῆς ὀρθρινῆς δευτέρας ἀναγνώσεως, ἐν ᾧ τοὺς διηνεκῶς διάγοντας ἐν τῇ μονῇ καὶ μή τισι διακονίαις ἀπασχολουμένους θεραπεύσοι, μετὰ δὲ τὰ ἀπόδειπνα τοὺς ἔξω τε καὶ ἔσω διακονητὰς ἰατρεύσοι πάντας. ἐφείσθω δὲ τούτῳ, μὴ ἀδειάζοντι ἴσως, ἐπεὶ καὶ ἡ ἀδελφότης πεπλήθυνται, προτρέπειν καὶ οἷς ἂν βούλοιτο τῶν ἱερέων καὶ διακόνων, ἔτι δὲ καί τισι τῶν εὐλαβεστέρων ἀδελφῶν, τῶν πλειόνων τε καὶ ἀγροικοτέρων τοὺς ἰδίους λογισμοὺς δέχεσθαι, λογισμοὺς δὲ τοὺς ὁσημέραι καὶ ὥραι παρενοχλοῦντας, οὓς δεῖ πάντως τῶν εὐδιαλύτων ὄντας καὶ μὴ τὴν ὄχλησιν στερροτέραν πεποιημένους καὶ ἀφιέναι τούτοις καὶ συγχωρεῖν· τοὺς δέ γε ἰατρείας τινὸς δεομένους καὶ ἐπιμελείας πρὸς τὸν προεστῶτα τοὺς δεχομένους ἀναφέρειν, κἀκεῖνος κατάλληλον τὴν θεραπείαν ἐργάσαιτο. οἱ τοίνυν ἐξομολογούμενοι οὐδὲν ἀποκρύψουσιν ἐνδοιάζοντες ἴσως, εἰ τοὺς σφῶν λογισμοὺς ἐπιμελείας δεομένους εἰδεῖεν, ἀλλὰ πάντα καθαρῶς πρὸς τὸν λαχόντα ἐκκαλύψουσι· πλὴν ἀλλὰ καὶ πρὸς αὐτοὺς εἰπεῖν τὰ εἰκότα ἡμᾶς καλόν. τοιγαροῦν καὶ ὑμεῖς, ἀδελφοί, τὸν προεστῶτα βλέποντες πρὸς τὸ καλὸν τοῦτο καὶ λίαν ψυχωφελὲς διακόνημα σπεύδοντα τρέχοιτε καὶ αὐτοὶ τρέχοιτε καὶ τὸν γαληνότατον τοῦτον καὶ ψυχοσώστην λιμένα σπουδαίως καταλαμβάνοιτε καὶ πᾶν τοῦ νοὸς ὑμῶν κίνημα καὶ ψυχοβλαβὲς ἐνθύμιον καθαρῶς καὶ ἀπεριπαλύπτως ἀποκαλύπτοιτε ὡς εἰς ἐνώπιον θεοῦ καὶ οὐκ ἀνθρώπου ποιοῦντες τὴν ἐξομολόγησιν. θεῷ δὲ πάντως ὁ σπουδάζων ψεύδεσθαι δίκην ἀπαιτηθήσεται· " ἀπολεῖς ", γάρ φησιν ὁ ψαλμῳδός, " πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος ". ἀδόλως τοίνυν ἐξομολογούμενοι καὶ πάσης γνωσιμαχίας, πάσης ἀκαθαρσίας, πάσης ταραχῆς καὶ ὀχλήσεως τὰς ἑαυτῶν διανοίας ἀπαλλάττοντες, χαίροντες εἴητέ μοι καὶ ἀγαλλόμενοι ὡς τὸ εὔελπι κομισάμενοι, τοῦ μὴ ἀστοχῆσαι τῆς σωτηρίας. ἐξομολογήσεσθε δὲ μὴ ἀλλήλους αἰτιώμενοι, παροξυσμοῦ τυχὸν παρεμπίπτοντος ἤ τινος ἑτέρας ἀμφιβολίας, ἑαυτοὺς δὲ ἀναιτίους τιθέμενοι καὶ κρίσεις μᾶλλον ζητοῦντες οὐκ ἐξαγορεύοντες, μηδὲ περὶ τῶν συμπιπτόντων ὑμῖν χρειῶν λέγοιτε σωματικῶν. τούτων γὰρ ἅπας

28 Ψαλμ. ε', 7.

καιρός, νυνὶ δὲ καιρὸς ἐξαγορεύσεως καὶ ἰατρείας τῶν ψυχικῶν ὑμῶν παθῶν καὶ εἰ μὲν περί τινος παροξυσμοῦ λέγειν ὀφείλετε, πᾶσαν τὴν μέμψιν καὶ τὰς αἰτίας τοῦ σφάλματος, ὁποῖον ἂν καὶ εἴη, ἑαυτοῖς ἐπιγράφειν σπουδάζετε καὶ ἐπιρριπτεῖν· εἰ δὲ περί τινων ἄλλων παθῶν, καὶ ταῦτα καθαρῶς ἐκπομπεύοιτε, ἵν' ἔχοιτε καρποῦσθαι καὶ τὴν ἐντεῦθεν διττὴν ὠφέλειαν, τό τε πρὸς καθαρὰν τῆς ψυχῆς ἶέναι ὑγείαν καὶ τὸ τὴν ὑψοποιὸν ταπείνωσιν περιβάλλεσθαι· ἣν ἔχοντες ὅμοιοι ὄντως ἐσόμεθα τῷ θεῷ, τῷ "μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ" λέγοντι. τί δ' ἂν ἄλλο τεκμήριον εἴη ἐναργέστερον τοῦ πράου καὶ ταπεινοῦ τῇ καρδίᾳ, ἢ δηλονότι τὸ φέρειν πᾶσαν θλῖψιν γενναίως καὶ ἑαυτῷ ἐν παντὶ ἐπιμέμφεσθαι; τοσούτων ἄρα καλῶν αἰτία ἡ ἀληθὴς καθέστηκε ἐξαγόρευσις, ἧς ἄνευ οὐκ οἶμαί τινα σωτηρίας τυχεῖν. τὸν τοίνυν μὴ ἐξαγορεύοντα ἀκοινώνητον εἶναι ἀπὸ κυρίου θεοῦ παντοκράτορος ἐντελλόμεθα, ἕως ἂν ἑαυτοῦ γενόμενος καὶ τοῦ κρείττονος πάντα τὰ σφαλερά τε καὶ βλαβερὰ ἐξομολογήσοιτο μελετήματα. ἔδει μὲν τοῦτον καὶ τῆς μονῆς ἐξωθεῖν καὶ οἷόν τι σεσηπὸς ἀποκόπτειν μέλος καὶ ὥσπερ τραῦμα δυσίατον ἢ παντελῶς ἀνίατον ἐξαιρεῖν τε καὶ ἀπορρίπτειν, ἀλλ' ἡ τοῦ μέλλοντος ἀδηλία καὶ τοῦ ἴσως ποτὲ ἐπιγνῶναι ἑαυτὸν προσδοκία τοῦ τοιούτου βουλήματος ἡμᾶς ἀνεχαίτισεν. ὑποκεῖσθαι μέντοι αὐτὸν τῷ τῶν ἀκοινωνήτων ἐπιτιμίῳ καὶ λίαν ἐπωφελὲς ὡς ἀνυσιμώτατον· ποῖον γὰρ αὐτῷ κέρδος τῆς ἐνταῦθα διατριβῆς; τί δὲ καὶ τὸ ὄφελος ἐκ τοῦ μὴ ἐξαγορεύειν; ἢ οὐχὶ μᾶλλον βλάβη καὶ ὄλεθρος καὶ διηνεκὴς τοῦ κακοῦ μελέτη καὶ πᾶν ὁτιοῦν τῇ ψυχῇ φέρον ἀπώλειαν ἐπιγίνεται; ὡς τοίνυν ἀρρωστοῦντά τινα ἢ τραύματα ἔχοντα κρύπτοντά τε ταῦτα τῷ ἰατρῷ, δύσκολον πρὸς ὑγείαν ἐπανελθεῖν, οὕτω δὴ καὶ πολλῷ μᾶλλον χαλεπώτερον τὴν τῆς ψυχῆς ὑγείαν λήψεσθαί ποτε τὸν μὴ ἐξαγορεύοντα· καὶ τούτου μάρτυς ὁ θεῖος Βασίλειος οὕτω πως λέγων· «Χρὴ τὸν ὑποταττόμενον, εἴ γε μέλλοι ἁρμόζουσαν προκοπὴν ἐπιδείξασθαι καὶ εἰς ἕξιν γενέσθαι τῆς κατὰ πρόσταγμα τοῦ κυρίου ζωῆς, μηδὲν φυλάσσειν ἀπόκρυφον κίνημα τῆς ψυχῆς, ἀλλὰ γυμνὰ πάντα παριστᾶν τὰ κρυπτὰ τῆς καρδίας τῷ προεστῶτι αὐτοῦ". οὕτω γοῦν ποιοῦντες, ἀδελφοί, οὐ μόνον τῶν οἰκείων σφαλμάτων ἀπολυτρούμεθα, ἀλλὰ καὶ τὸ ἑξῆς βεβαιότερον ἕξομεν· φησὶ γὰρ ὁ τῆς Κλίμακος· "μώλωπες θριαμβευόμενοι οὐ προκόψουσιν ἐπὶ τὸ χεῖρον". καὶ αὖθις· "ψυχὴ ἐξαγόρευσιν ἐννοουμένη ὡς ὑπὸ χαλινοῦ ὑπ' αὐτῆς κατέχεται μὴ ἐξαμαρτάνειν". οὕτως ἄγαν ὠφέλιμος ἡ τῶν ἰδίων σφαλμάτων φανέρωσις, λοιπὸν πρόθυμοι προθύμως ἅπαντες ἐπ' αὐτὴν τρέχωμεν. τὴν μὲν οὖν καθημερινὴν ἐξαγόρευσιν οὕτω διαταττόμεθα

7 Ματθ ια', 29. 25 Βασίλειος] Regulae 26. Migne τ. 31, σ. 985. 31 ἐκδ. Σωφρονίου Ἐρημίτου σ. 30, § ιγ'. 32 αὐτόθι σ. 40, § μς'.

γίνεσθαι, αὐτῷ τε δηλονότι τῷ προεστῶτι καὶ τοῖς ὅσοι αὐτῷ ἐπιτήδειοι πρὸς τὸ δέχεσθαι λογισμοὺς δόξαιεν.

ιε'. ***Περὶ τῆς κατὰ τὴν ἀπόκαρσιν ἐξαγορείας.*** — Τὴν δέ γε πρώτην καὶ μεγάλην ἐξαγόρευσιν, ἣν ἄρα τὴν κοσμικὴν ἀποβαλλόμενοι τρίχα ἐξαγορεῦσαι ὀφείλομεν, τῷ προεστῶτι μόνῳ καὶ μή τινι ἄλλῳ ἀναθετέον, ἵν' ἔχοι πάντας αὐτὸς εἰδέναι καὶ ἁρμοδίως τὰ φάρμακα κεραννύειν ἑκάστῳ. καὶ ταῦτα μὲν δὴ οὕτω.

ις'. ***Περὶ τῆς ἔν τε ταῖς Τεσσαρακοσταῖς καὶ Τετράσι καὶ Παρασκευαῖς νηστείας.*** — Περὶ δὲ τῆς τῶν ἁγίων νηστειῶν ἀκολουθίας καὶ τῆς Τετράδος καὶ τῆς Παρασκευῆς ἡμέρας, ὡς οἱ κανόνες τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἁγίων θεοφόρων πατέρων παραδιδόασι, τὸ συναξάριον ἡμῖν ἀκριβέστατα ὑποθήσει, καθὼς καὶ ποιητέον ἐν αὐταῖς πάντοτε· γόνυ τε κλιτέον ἀκολούθως τῇ ἁγίᾳ Τεσσαρακοστῇ καὶ ἡ δίαιτα ὁμοία ἔσται, ἐξ ὀσπρίων βρεκτῶν ἢ καὶ ὀπωρῶν καὶ λαχάνων ὠμῶν καὶ πόματος, ὕδατος ἢ θερμοῦ κυμίνῳ συνηρτυμένου, ἑνάτης ὥρας ἐνισταμένης. καὶ γὰρ οἱ πάνσοφοι καὶ θεῖοι διδάσκαλοι ἐν τοῖς κανόσιν αὐτῶν οὕτωσι κατὰ ῥῆμα διεξιόντες λέγουσιν· "Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, ἢ ἀναγνώστης ἢ ψάλτης τὴν ἁγίαν Τεσσαρακοστὴν οὐ νηστεύει ἢ Τετράδα ἢ Παρασκευήν, καθαιρείσθω, ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο· ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω". καὶ εἰς τὰς διατάξεις δὲ τῶν ἁγίων πατέρων μετὰ τὸ νομοθετῆσαι τὴν τῶν ἁγίων ἀποστόλων νηστείαν λέγουσιν, ὅτι "μετὰ δὲ τὴν νηστείαν ταύτην πᾶσαν Τετράδα καὶ Παρασκευὴν προστάσσομεν ὑμῖν νηστεύειν καὶ τὴν περίσσειαν ὑμῶν τοῖς πένησιν ἐπιχορηγεῖν". καὶ ἐν τῷ Λαυσαϊκῷ γέγραπται, ὅτι εἶπεν ὁ ἅγιος Ἀπολλώ· "Τὰς καθολικὰς νηστείας μὴ ἐξεῖναι λύειν ἄνευ πάσης ἀνάγκης· ἐν γὰρ τῇ Τετράδι ὁ Χριστὸς παραδίδοται καὶ ἐν Παρασκευῇ σταυροῦται. ὁ οὖν λύων ταύτας συμπαραδίδωσι τὸν σωτῆρα καὶ συσταυροῖ". καὶ τῆς ἐν Γάγγρᾳ συνόδου κανών ἐστι δωδέκατος λέγων οὕτωσί· "εἴ τις τῶν ἀσκουμένων χωρὶς σωματικῆς ἀνάγκης ὑπερηφανεύοιτο καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν καὶ φυλασσομένας ὑπὸ τῆς Ἐκκλησίας παραλύει, ὑποικουροῦντος αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω". καὶ ἐν τῷ περὶ πίστεως λόγῳ ἐκ τῶν Παναρίων τοῦ ἁγίου Ἐπιφανίου οὕτως γέγραπται· "Δι' ὅλου μὲν τοῦ ἔτους ἡ νηστεία φυλάττεται ἐν τῇ ἁγίᾳ Καθολικῇ Ἐκκλησίᾳ, φημὶ Τετράδα καὶ πρὸ σαββάτων ἕως ὥρας ἑνάτης, δίχα μόνης τῆς Πεντηκοστῆς". καὶ ὁ σοφὸς καὶ μέγας Ἀθανάσιος ἐν τῷ συντάγματι αὐτοῦ οὕτως ἀριδήλως φησί· "Μὴ παράβαινε νηστείαν κυρίου, τουτέστι Τετράδα καὶ

17 Σύνταγμα τῶν θ. καὶ ἱ. κανόνων, τ. 2, σ. 88, ἀποστ. κανὼν ξθ'. 27 αὐτόθι τ. 3, σ. 115, κανὼν ιθ' 31 Epiphanii opera, τ. 3, σ. 583, 26-29 Dind. 34 Ἀθανάσιος,] Migne τ. 28, σ. 837.

Παρασκευήν, εἰ μή τι ἐπὶ νόσῳ βεβάρησαι, χωρὶς τῆς Πεντηκοστῆς μόνης καὶ τῶν Ἐπιφανίων". καὶ πάλιν παρακατιὼν μικρὸν λέγει οὕτως· "Λῦε τὴν νηστείαν, ἐπὰν ἀδελφὸς πρὸς σὲ ἐπιδημήσῃ, νηστείαν δὲ οὐ τὴν τεταγμένην, ἤγουν Τετράδα καὶ Παρασκευήν, ἀλλὰ τὴν ἀπὸ ἰδίας προαιρέσεως, τουτέστι Δευτέραν καὶ Τρίτην καὶ Πέμπτην· ἡ δὲ τῆς Τετράδος καὶ Παρασκευῆς ὥρα τῆς νηστείας ἕως ἐνάτης ὥρας τεταγμένη ἐστί". τοιαῦτα πολλὰ ἐν τῇ θείᾳ Γραφῇ ἔγκειται οὐ μόνον εἰς τοὺς μοναχούς, ἀλλὰ καὶ εἰς τοὺς κοσμικούς, ἅτινα οἱ βουλόμενοι ἐρευνᾶν εὑρήσετε· εἰς δὲ τοὺς μοναχοὺς ἄλλη ἀκρίβειά ἐστι, καθὼς καὶ ὁ ἅγιος Συμεὼν ὁ θαυματουργὸς εἰς τὸν αὐτοῦ βίον λέγει, ὅτι "Νηστευέτω ὁ μοναχὸς μὴ ἔλαττον τῆς ἐνάτης ὥρας". ὁμοίως καὶ πάντες οἱ ἅγιοι πατέρες ἡμῶν οὕτω λέγουσι καὶ δίχα τῶν δεσποτικῶν νηστειῶν πάντοτε. ἐγὼ δὲ διὰ τοῦτο ταῦτα συνέλεξα καὶ ἐδήλωσα ὑμῖν, ἀδελφοί μου, ἐν τῷ παρόντι τυπικῷ, ἵνα μετὰ προθυμίας καὶ ὁλοψύχου προαιρέσεως ὑμῶν ἀγωνίζησθε ποιεῖν τὰ διαταχθέντα ὑμῖν· οὐδὲ γὰρ ἐξ οἰκείας προαιρέσεως ἢ θελήματος ἢ ἰδιορρυθμίας ἔγραψα, ἀλλ' ὅσα ἐκ τῶν ἁγίων πατέρων ἡμῶν ἐγγράφως παρελάβομεν καὶ ἀπὸ τῆς πείρας αὐτῆς ἐμάθομεν ἀληθῆ ὄντα καὶ ἄτρεπτα καὶ ἀναλλοίωτα καὶ ὧν χωρὶς τὴν ὁδὸν τῆς μοναχικῆς πολιτείας ἀδύνατον πολιτεύεσθαι.

ιζ'. ***Περὶ τοῦ πότε χρὴ λύειν τὴν νηστείαν.*** — Εἰ μή πω τύχῃ δεσποτικὴ καὶ μεγάλη ἑορτή, ἢ μνήμη τινὸς τῶν ἁγίων δώδεκα ἀποστόλων, ἢ ἑτέρου τινὸς τῶν μεγάλων ἁγίων καὶ ἐπιφανῶν, ἐν ταῖς νηστίμοις ταύταις ἡμέραις, ἤγουν ἐν τῇ Τετράδι καὶ ἐν τῇ Παρασκευῇ, ἅ εἰσιν ἀδελφοὶ ἄρρωστοι καὶ ἀσθενεῖς· ὑπὲρ γὰρ τῶν τοιούτων ἐντέλλομαι τῷ προεστῶτι φροντίζειν μάλιστα ὁλοψύχως καὶ ἐν ταῖς ἡμέραις τῶν νηστειῶν καὶ ἐν οἴνῳ καὶ ἐν ἑψητῷ τοὺς ἀρρώστους χειραγωγεῖσθαι καὶ ὁλοψύχως ἀγωνιᾶν εἰς τὴν τούτων ἀνάπαυσιν καὶ τῆς ἀρρωστίας ἀνάκτησιν· ἄλλως γὰρ καταλύειν τὰς νηστείας ταύτας ἀδύνατον· οἱ γὰρ παραβαίνοντες ταύτας ὡς παραβάται παρὰ θεοῦ κριθήσονται.

ιη'. ***Περὶ μέτρου βρώσεως καὶ πόσεως καὶ καιροῦ αὐτῶν καὶ ποιότητος.*** — Ἐπεὶ δὲ ἀναγκαῖόν ἐστιν ὑμῖν παραδοῦναι καὶ τῶν ἑορτῶν τὰς διαφοράς, ποίας τε ἐξ αὐτῶν δεῖ ἑορτάζειν καὶ ποίας οὐχί, καὶ περὶ τῆς διαφορᾶς τῶν βρωμάτων, ἰδοὺ καὶ τοῦτο ἐντέλλομαι. ἐν ταῖς ἀρχαῖς τῶν ψηφιῶν τῶν ἐν ταῖς μνήμαις τῶν ἁγίων λαχουσῶν ἐν ταῖς νηστίμοις ἡμέραις, ἤγουν Τετράδα καὶ Παρασκευήν, ἐὰν εὑρήσετε κεντήματα, νηστεύομεν κατὰ τὴν παράδοσιν τῶν θείων κανόνων· εἰ δὲ σταυρούς, καταλύομεν ἐν ὀσπρίοις ἑψητοῖς, λαχάνοις τε καὶ ἐλαίῳ καὶ πλεῖον οὐδέν· περὶ δὲ τοῦ οἴνου, ὡς ἅπαντα τὰ συναξάρια τῶν ἁγίων ἐρευνήσας εὗρον καὶ τὰ τυπικὰ τῶν μονα-

στηρίων, τοῦ τε Ἁγίου Ὄρους καὶ τῶν λοιπῶν, τρία λέγουσι πίνειν ἐν τῷ γεύματι καὶ δύο ὀψέ, ὅτε καὶ πίνουσιν αὐτόν. ἀναγκαῖον δέ ἐστι καὶ περὶ τῶν διακονητῶν ἡμῶν διαθέσθαι, οὐκ ὀλίγην ὠφέλειαν ἐμποιούντων ἡμῖν· ὅτι δεῖ τοὺς μεγάλους διακονητάς, τοὺς βαρέας διακονίας ποιοῦντας, ὅτε οἱ μὴ ἐργαζόμενοι ἐσθίουσιν ἅπαξ τῆς ἡμέρας, ἐκείνοις διδόναι δεύτερον, ὅτε καὶ διακονοῦσι καὶ κοπιῶσιν. ὅταν δὲ οὐκ ἐργάζωνται, ὁμοίως καὶ αὐτοὶ ἔστωσαν τοῖς λοιποῖς· μοναχὸς γὰρ νηστευτὴς ἔοικε τῷ τοῦ φοίνικος ἄνθει, τῷ λεγομένῳ ἀλατίῳ, ὅτι ἔξωθεν μέν ἐστι στυγνόχροον, ἔσωθεν δὲ χιονῶδες καὶ πολύκαρπον. ὡσαύτως καὶ ὁ νηστεύων ἔξωθεν μὲν στυγνάζει, ἔσωθεν δὲ φωτοειδὴς ὑπάρχει. νηστεία οὖν ἐστιν οὐ μόνον τὸ βραδυφαγῆσαι, ἀλλὰ καὶ τὸ βραχυφαγῆσαι· καὶ οὐ τὸ διὰ δύο ἐσθίειν τοῦτο ἄσκησις, ἀλλὰ τὸ μὴ ποικιλοφαγῆσαι· ἄσκησις γάρ ἐστι τράπεζα ἐν μονοειδεῖ τροφῇ συνεσταλμένη, νηστεία δὲ ἄλογος ἡ τὸν ὡρισμένον καιρὸν ἀναμένουσα, ἐν δὲ τῇ ὥρᾳ τῆς τροφῆς ἀχαλινώτως πρὸς τὴν τράπεζαν ὁρμῶσα καὶ μετὰ τῆς σαρκὸς καὶ τὸν νοῦν πρὸς ἡδονὴν τῶν παρακειμένων δεσμοῦσα. οἶδα δὲ ἀκριβῶς, ὅτι πολλοὶ ἐξ ὑμῶν βαρέως τὰς τοιαύτας παραδόσεις δέχεσθε, καὶ μάλιστα οἱ ἀμελεῖς, λέγοντες, ὡς "Δωρεὰν καὶ εἰκῇ κοπιᾷς· οὐδεὶς ταύτας τὰς παραδόσεις ποιήσει, σοῦ τὸν βίον ἀπολιπόντος". καὶ ἰδοὺ λέγω ὑμῖν, ὁ λόγος ὁ τοῦ ἀποστόλου καταναγκάζει με ταῦτα ποιεῖν καὶ λέγειν· γέγραπται γάρ· "πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες". καὶ εἰ πρότερον εἶπον, ἀλλ' οὐδὲ νῦν σιωπήσομαι· ὁ γὰρ φόβος ταύτης τῆς ἀπειλῆς συνεχῶς κατασείει μου τὴν ψυχήν· εἰ γὰρ τῷ μόνον ἕνα σκαδαλίσαντι καὶ ἐλάχιστον συμφέρει, ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ εἰς τὴν θάλασσαν, καὶ πάντες οἱ τὴν συνείδησιν τῶν ἀδελφῶν τύπτοντες εἰς αὐτὸν ἁμαρτάνουσι τὸν Χριστόν, οἱ μὴ μόνον ἕνα ἢ δύο καὶ τρεῖς ἀλλὰ πλήθη τοσαῦτα ἀπολέσαντες, τί ποτε ἄρα πείσονται καὶ ποίαν δώσουσι δίκην; οὐδὲ γὰρ ἀπειρίαν ἐστὶν αἰτιάσασθαι, οὐδὲ εἰς ἄγνοιαν καταφυγεῖν, οὐδὲ ἀνάγκην προβαλέσθαι καὶ βίαν, ἀλλὰ θᾶττον ἄν τις τῶν ἀρχομένων εἴ γε ἑνὸν ἐν ταῖς οἰκείαις ἁμαρτίαις ἐχρήσατο ταύτῃ τῇ καταφυγῇ, ἢ ἐν ταῖς ἑτέρων ὁ προεστώς. τί δήποτε; ὅτι ταχθεὶς τὰς τῶν ἄλλων ἀγνοίας ἐπανορθοῦν καὶ τὸν διαβολικὸν κίνδυνον προμηνύειν ἐρχόμενον, οὐ δυνήσεται προβαλέσθαι τὴν ἄγνοιαν οὐδὲ εἰπεῖν "Οὐκ ἤκουσα τῆς σάλπιγγος οὐδὲ ἤδειν τὸν πόλεμον". ἐπὶ τούτῳ γὰρ ἐκάθισεν Ἰεζεκιήλ, φησίν, ἵνα καὶ τοῖς ἄλλοις σαλπίζῃ καὶ προμηνύῃ τὰ μέλλοντα δυσχερῆ, καὶ διὰ τοῦτο ἀπαραίτητος ἡ κόλασις,

4 βαρέας=εἰας] πρβλ. *Sophocles*, Greek. lex. σ. 300. 19 Ἑβρ. ιγ', 17. 23 εἰ γὰρ — θάλασσαν] πρβλ. Ματθ. ιη', 6. 25 συνείδισιν—Χριστόν] πρβλ. Κορ. 1, η', 12. 33 πρβλ. Ἰεζεζ', 14.

κἂν εἷς ἀπολωλὼς τύχῃ· "ἐὰν γὰρ τῆς ῥομφαίας ἐρχομένης μὴ σαλπίσῃ τῷ λαῷ μήτε σημανεῖ, φησίν, ὁ σκοπὸς καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ψυχήν, τὸ αἷμα αὐτῆς ἐκ τῆς χειρὸς τοῦ σκοποῦ ἐκζητήσω· αὐτὴ δὲ διὰ τὰς ἀνομίας αὐτῆς ἐλήφθη". διά τοι τοῦτο, κἂν ἄρα μείνωσι καὶ μετὰ τὴν παραίνεσιν οἱ μαθητευόμενοι ἀκερδεῖς ἐκ τῆς μαθητείας, οὐδὲ οὕτως ἡμεῖς ἀποστησόμεθα τῆς πρὸς αὐτοὺς συμβουλῆς· καὶ γὰρ αἱ κρῆναι, κἂν μηδεὶς ὑδρεύηται, ῥέουσι· καὶ αἱ πηγαί, κἂν μηδεὶς ἀρύηται, ἀναβλύζουσι· καὶ οἱ ποταμοί, κἂν μηδεὶς πίνῃ, τρέχουσι. δεῖ τοίνυν καὶ τὸν λέγοντα, κἂν μηδεὶς προσέχῃ, τὸ ἑαυτοῦ ἀποπληροῦν· καὶ γὰρ νόμος ἡμῖν τοῖς τοῦ λόγου τὴν διακονίαν ἐγκεχειρισμένοις παρὰ τοῦ φιλανθρώπου θεοῦ μηδὲν τῶν παρ' ἑαυτῶν ἐλλιμπάνειν ποτέ, μηδὲ σιγᾶν, κἂν ἀκούῃ τις, κἂν παρατρέχῃ. ὁ γοῦν Ἱερεμίας, ἐπειδὴ πολλὰ τοῖς Ἰουδαίοις ἀπειλῶν καὶ τὰ μέλλοντα προαναφωνῶν δεινὰ παρὰ τῶν ἀκουόντων ἐκωμῳδεῖτο καὶ δι' ὅλης ἐγελᾶτο τῆς ἡμέρας, ἐβουλεύσατό ποτε τῆς προφητείας ἐκείνης ἀποστῆναι, ἀνθρώπινόν τι παθὼν καὶ τὰ σκώμματα καὶ τὰς λοιδορίας οὐκ ἐνεγκών· καί φησιν· "Ἐγενόμην εἰς γέλωτα ὅλην τὴν ἡμέραν. εἶπον οὐ μὴ λαλήσω, οὐδ' οὐ μὴ ὀνομάσω τὸ ὄνομα κυρίου, καὶ ἐγένετο ἐν ἐμοὶ ὡς πῦρ καιόμενον καὶ φλεγμαῖνον ἐν τοῖς ὀστέοις μου καὶ παρεῖμαι πάντοθεν καὶ οὐ δύναμαι φέρειν". ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐβουλευσάμην ἀποστῆναι τῆς προφητείας, φησίν, ἐπειδὴ οὐκ ἤκουον οἱ Ἰουδαῖοι, καὶ ἅμα τοῦτο ἐβουλευσάμην καὶ καθάπερ πῦρ εἰς τὴν ψυχὴν ἐνέπεσε τὴν ἐμὴν ἡ τοῦ πνεύματος ἐνέργεια καὶ πάντα τὰ ἔνδον κατέφλεγεν ἐπιδαπανῶσά μου τὰ ὀστᾶ καὶ κατεσθίουσα οὕτως, ὡς μὴ δύνασθαί με ὑπενεγκεῖν τὸν ἐμπρησμόν. εἰ δὲ ὁ γελώμενος καὶ χλευαζόμενος καὶ καθ' ἑκάστην λοιδορούμενος τὴν ἡμέραν, ἐπειδὴ ἐβουλεύσατο σιγῆσαι, τοσαύτην ὑπέστη τιμωρίαν, τίνος ἂν εἴημεν συγγνώμης ἄξιοι ἡμεῖς τοιοῦτον μὲν οὐδέπω παθόντες οὐδέν, διὰ δὲ τήν τινων ῥαθυμίαν μικροψυχήσαντες καὶ τῆς διδασκαλίας ἀποστάντες τῆς πρὸς τοὺς λοιπούς, καὶ μᾶλλον ὅταν οἱ πλείους ὦσι προσέχοντες; ταῦτα δὲ λέγω οὐκ ἐμαυτὸν παραμυθούμενος οὐδὲ παρακαλῶν· καὶ γὰρ πέπεικα τὴν ἐμαυτοῦ ψυχήν, ἕως ἐμπνέω καὶ δοκεῖ τῷ θεῷ κατὰ τὸν παρόντα βίον ἡμᾶς εἶναι καὶ ταύτην πληροῦν τὴν διακονίαν, ἄν τε προσέχῃ τις, ἄν τε μὴ προσέχῃ, τὸ ἐπιταχθὲν ποιεῖν. ἀλλ' ἐπειδή τινές εἰσιν οἱ τὰς τῶν πολλῶν ἐκλύοντες χεῖρας καὶ πρὸς τῷ μηδὲν αὐτοὺς χρήσιμον εἰς τὸν βίον εἰσάγειν τὸν ἡμέτερον καὶ τὴν τῶν ἑτέρων παραλύοντες σπουδήν, χλευάζοντές τε καὶ διακωμῳδοῦντες καὶ λέγοντες "Ἀπόστηθι συμβουλεύων, παῦσαι παραινῶν· οὐ βούλονταί σοι προσέχειν· μηδὲν κοινὸν ἔχε πρὸς

1 ἐὰν γὰρ τῆς ῥομφ. ἐρχομένης — αὐτῆς ἐλήφθη] πρβλ. Ἰεζ. λγ'. 2—6. 15 Ἐγενόμην — δύναμαι φέρειν] πρβλ. Ἱερεμ. κ', 7-9. 29 ἕως K, κ ω δ. ὡς. 32 τῷ K, κ ω δ. τὸ.

αὐτούς",—ἐπειδή τινές εἰσιν οἱ ταῦτα λέγοντες, τὴν ἀπάνθρωπον ταύτην γνώμην καὶ διαβολικὴν ἐπιβουλὴν τῆς ψυχῆς ἐκκόψαι βουλόμενος τῶν πολλῶν, μακρότερον ποιῶ τὸν λόγον· καὶ γὰρ οἶδα εἰρηκότας ταῦτα τὰ ῥήματα πολλούς, ἐπειδὴ εἶδόν τινας ἐξ ὑμῶν μὴ δεχομένους μετὰ προθυμίας τὰ παρ' ἐμοῦ διδασκόμενα, ἀλλὰ γελῶντας καὶ χλευάζοντας, εἰπόντας πρός με· "Πάνυ ἐπείσθησαν ὅλως· οὐδεὶς τῶν σῶν διατάξεων καταφρονεῖ· πάντες ἐσωφρονίσθησαν". τί λέγεις, ἄνθρωπε, τοῦτο; ὑπεσχόμεθα ἐν μιᾷ ἡμέρᾳ πάντας σαγηνεῦσαι; εἰ γὰρ δέκα μόνοι ἐπείσθησαν, εἰ πέντε, εἰ εἷς, οὐχ ἱκανὸν ἡμῖν εἰς παραμυθίαν; ἐγὼ δὲ καὶ ὑπερβολὴν ποιοῦμαι· κείσθω μηδένα πεπεῖσθαι τοῖς ἡμετέροις λόγοις, ὅπερ ἀδύνατον. εἰ εἰς τοσαύτας ἀκοὰς σπείρομεν λόγον, ἄκαρπον ἐνδέχεται τοῦτον γενέσθαι ποτέ; πλὴν ἀλλὰ κείσθω αὐτὸ τοῦτο· οὐδ' οὕτως ἀκερδὴς ἡμῶν ὁ λόγος· εἰ γὰρ καὶ μετὰ προθυμίας οὐ παραδέξονται, εἰ καὶ πολλάκις τὰ κεκανονισμένα παραβήσονται ἐν ταῖς διαίταις, ὅπερ οὐ πέπεισμαι γενέσθαι, ἀλλ' οὐ μετὰ τῆς αὐτῆς ἀναισχυντίας, ἀλλ' ἐπὶ τῆς τραπέζης αὐτῆς τῶν ἡμετέρων μνησθήσονται λόγων, τῆς ἐπιτιμήσεως, τῆς ἐπιπλήξεως, καὶ μνησθέντες αἰσχυνθήσονται, ἐρυθριάσουσι κατὰ διάνοιαν, οὐ μετὰ τῆς αὐτῆς ἰταμότητος τὰ εἰωθότα πράξουσι. τοῦτο δὲ ἀρχὴ σωτηρίας, καὶ τὸ καταγνῶναι μόνον τῶν γινομένων. πρὸς τούτοις δὲ οὐκ ἔλαττον καὶ ἕτερον γενήσεται κέρδος. ποῖον δὴ τοῦτο; τὸ καὶ τοὺς σωφρονοῦντας σεμνοτέρους ποιῆσαι καὶ πεῖσαι διὰ τῶν εἰρημένων, ὅτι ἄριστα πάντων εἰσὶ βεβουλευμένοι τοῖς πολλοῖς. οὐκ ἀνέστησα τοὺς νοσοῦντας, ἀλλὰ τοὺς ὑγιεῖς ἀσφαλεστέρους ἐποίησα. οὐκ ἀπήγαγε τῆς κακίας ὁ λόγος, ἀλλὰ τοὺς ἐν ἀρετῇ ζῶντας ἀκριβεστέρους εἰργάσατο. εἴπω τι πρὸς τούτοις τρίτον· οὐκ ἔπεισα σήμερον, ἀλλ' αὔριον ἴσως δυνήσομαι πεῖσαι· ἀλλ' οὐδὲ αὔριον ἢ καὶ μετ' ἐκείνην· ἴσως ὁ σήμερον ἀκούσας καὶ διακρουσάμενος αὔριον ἀκούσει καὶ δέξεται καὶ ὁ σήμερον καὶ αὔριον καταφρονήσας μετὰ πλείους ἴσως ἡμέρας προσέξει τοῖς λεγομένοις· καὶ γὰρ ἁλιεὺς πολλάκις δι' ὅλης τῆς ἡμέρας κενὸν ἀνασπάσας τὸ δίκτυον, ἐν ἑσπέρᾳ δὲ ἀναχωρεῖν θέλων, τὸν δι' ὅλης ἡμέρας διαφυγόντα ἰχθὺν ἁλιεύσας ἀπῆλθεν. εἰ δὲ μέλλοιμεν διὰ τὰς ἀεὶ γινομένας ἀποτυχίας ἐν ἀργίᾳ εἶναι καὶ τῶν πραγμάτων ἀφίστασθαι πάντων, ἅπας ἡμῖν ὁ βίος ἀπολεῖται καὶ οὐχὶ τὰ πνευματικὰ οἰχήσεται μόνα· καὶ γὰρ ὁ γεωργὸς εἰ μέλλοι διὰ τὰς ἅπαξ καὶ δὶς καὶ πολλάκις γινομένας τῶν ἀέρων ἀνωμαλίας τῆς γεωργίας ἀποπηδᾶν, λιμῷ ταχέως ἀπολλύμεθα πάντες. καὶ κυβερνήτης δὲ εἰ διὰ τὸν ἅπαξ καὶ δὶς καὶ πολλάκις ἐπισυμβάντα χειμῶνα φύγῃ τὴν θάλασσαν, ἄπλετον ἡμῖν ἔσται τὸ πέλαγος καὶ ἄχρηστος ὁ βίος γενήσεται, καὶ ἄρδην πάντα ἀπολεῖται καὶ ἀοίκητος ἔσται ἡ γῆ. ἅπερ οὖν ἅπαντα εἰδό-

36 κ ω δ. απαντα, K ἅπαντες.

τες, κἂν ἅπαξ, κἂν δίς, κἂν πολλάκις ἀποτύχωσι τοῦ τέλους τῶν πραγμάτων, ἐν οἷς εἰσι καὶ διατρίβουσι, πάλιν αὐτῶν ἐπιλαμβάνονται μετὰ τῆς αὐτῶν προθυμίας. διά τοι τοῦτο μὴ ταῦτα φθεγγώμεθα μήτε λέγωμεν, ὅτι λόγων ἡμῖν τοσούτων καταβαλλομένων οὐδὲν ἐκ τῶν λόγων τούτων ὄφελος γενήσεται· καὶ γὰρ ὁ γηπόνος ἅπαξ καὶ δὶς καὶ πολλάκις τὴν αὐτὴν σπείρας ἄρουραν καὶ ἀποτυχὼν τοῦ τέλους πάλιν αὐτὴν εἰργάσατο καὶ ἐν ἑνὶ πολλάκις ἐνιαυτῷ τοῦ παντὸς χρόνου τὴν ζημίαν ἀνέσωσε. καὶ ἔμπορος δὲ ναυάγια πολλάκις ὑπομείνας οὐκ ἀπέστη τοῦ λιμένος, ἀλλὰ καὶ πλοῖον καθείλκυσε καὶ ναύτας ἐμισθώσατο καὶ χρήματο δανεισάμενος τῶν αὐτῶν ἥψατο πραγμάτων, καίτοι τοῦ μέλλοντος ὁμοίως ὄντος ἀδήλου. καὶ ἕκαστος δὲ τῶν ὁτιοῦν μετιόντων οὕτω ποιεῖν εἰώθασιν, ὥσπερ ὁ γεωργὸς καὶ ὁ ἔμπορος. εἶτα ἐκεῖνοι μὲν τοσαύτῃ χρήσαιντο περὶ τὰ βιωτικὰ σπουδῇ, ἡμεῖς δέ, ἂν εἰπόντες μὴ ἀκουσθῶμεν, εὐθέως ἀποστησόμεθα; καὶ ποίαν ἕξομεν συγγνώμην, τίνα δὲ ἀπολογίαν; καίτοι ἐν ταῖς ἀποτυχίαις ἐκείνοις μὲν οὐδείς ἐστιν ὁ τὴν ζημίαν παραμυθούμενος· οἷον, ἐὰν ἐπικλύσῃ τὸ πλοῖον ἡ θάλασσα, οὐδεὶς τὴν πενίαν τῶν ναυαγούντων διορθώσεται· ἂν καταχώσῃ τὴν ἄρουραν ἐπόμβριον καὶ ἀποπνίξῃ τὰ σπέρματα, ἀνάγκη κεναῖς τοὺς γεωργοὺς οἴκαδε ἀναχωρῆσαι χερσίν. ἐφ' ἡμῶν δὲ τῶν λεγόντων καὶ παραινούντων οὐχ οὕτως, ἀλλὰ κἂν καταβάλω τὰ σπέρματα καὶ ὑμεῖς μὴ δέξησθε μηδὲ ἐνέγκητε τὸν καρπὸν τῆς ὑπακοῆς, ἐγὼ τὸν μισθὸν ἔξω παρὰ θεοῦ τῆς συμβουλῆς καὶ τοσαύτην ἀπολήψομαι τὴν ἀμοιβήν, ὅσην ἔλαβον, ἂν ὑπηκούσατε· τὸ γὰρ ἐμὸν ἅπαν ἐπλήρωσα. τοῦ γὰρ μὴ πεῖσαι τοὺς ἀκούοντας οὐκ ἐσμὲν ἡμεῖς ὑπεύθυνοι, ἀλλὰ συμβουλεῦσαι μόνον· τὸ μὲν γὰρ παραινέσαι ἡμέτερον, τὸ δὲ πεισθῆναι ὑμῶν· καὶ καθάπερ ἡμῶν μὴ παραινεσάντων, κἂν μυρία κατορθώσητε ὑμεῖς, μόνοις ὑμῖν ὁ μισθὸς κείσεται, ἡμῖν δὲ οὐδέν ἐστι τὸ κέρδος, ἐπειδὴ μὴ συνεβουλεύσαμεν, οὕτως, ἂν ἡμῶν παραινεσάντων ὑμεῖς μὴ προσέχητε, ἅπασα ὑμᾶς ἡ τιμωρία λήψεται, ἡμῖν δὲ οὐδὲν ἔσται ἔγκλημα, ἀλλὰ καὶ πολὺς ὁ μισθὸς ἀπαντήσει παρὰ θεοῦ· τὸ γὰρ ἐμὸν ἅπαν ἐπλήρωσα· καταβαλεῖν γὰρ κελευόμεθα τὸ ἀργύριον ἡμῶν ἐπὶ τοὺς τραπεζίτας. φησὶ δὲ καὶ ὁ χρυσορρήμων Ἰωάννης· " Εἰπέ, παραίνεσον. ἀλλ' οὐκ ἤκουσαν; ἀλλὰ σὺ τὸν μισθὸν ἔχεις ἀπηρτισμένον. μὴ πρότερον ἀποστῇς, ἕως ἂν ἐκπνεύσῃς. πέρας ἔστω τῆς συμβουλῆς ἡ ὑπακοὴ τοῦ τὴν παραίνεσιν δεχομένου. ὅταν οὖν ἴδῃς σκληρὸν τὸν ἀδελφὸν καὶ ἀπηνῆ, μὴ προσέχοντα, λέγε πρὸς ἑαυτόν: μήποτε χρόνῳ δυνηθῶμεν πεῖσαι; οὕτω καὶ Παῦλος ἐκέλευσε: Δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἥπιον εἶναι πρὸς πάντας, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῴη αὐτοῖς ὁ

2/3 κ ῶ δ. αὐτῶν, Κ αὐτῆς. 35 Τιμ. 2, β', 24—25.

θεὸς μετάνοιαν ἀληθείας ". φησὶ δὲ καὶ πάλιν ὁ αὐτὸς Χρυσορρήμων ἔν τισι τῶν αὐτοῦ λόγων οὕτωσί· " Τὰ φλεγμαίνοντα τῶν τραυμάτων οὐκ ἐπιβολὴν χειρὸς ἀνέχεταί τινα οὐδὲ ἀφὴν ὑπομένει τραχυτέραν· διὰ τοῦτο οἱ σοφοὶ τῶν ἰατρῶν μαλακῇ τινι σπογγιᾷ τὰ τοιαῦτα καταψῶσιν ἕλκη. ἐπεὶ οὖν καὶ τοῖς ἁμαρτάνουσιν ἕλκος ἐστὶ φλεγμαῖνον ἐν τῇ ψυχῇ, ὥσπερ ἁπαλῇ τινι σπογγιᾷ προσηνὲς ὕδωρ καὶ πότιμον σπῶντες, οὕτω τὰ εἰρημένα ἅπαντα καταντλοῦντες πειρώμεθα καταστέλλειν αὐτῶν τὸ φύσημα καὶ τὸν ὄγκον καθαιρεῖν ἅπαντα. κἂν ὑβρίζωσι, κἂν ἐμπτύωσι, κἂν λακτίζωσι, κἂν ὁτιοῦν ποιῶσι, μὴ καταλίπῃς τὴν ἰατρείαν, ἀγαπητέ· τοὺς γὰρ ἄνθρωπον παραπλῆγα θεραπεύοντας ἀνάγκη πολλὰ τοιαῦτα ὑπομένειν· ἀλλ' ὅμως οὐδὲ οὕτως ἀφίστασθαι χρή ". καὶ ταῦτα μὲν περὶ τούτων. χρὴ δὲ εἰδέναι, ὅτι εἰς τὰς ἔμπροσθεν ταύτας τεταγμένας ἑορτὰς τῶν μεγάλων ἁγίων, ὅπου ἂν εὑρήσετε σταυρὸν ἐν τῇ ἀρχῇ τῶν ψηφίων, νηστεῖαι ὅλως οὐκ εἰσίν, ἀλλὰ καταλύομεν, εἰ τύχῃ μία ἐξ αὐτῶν ἐν ταῖς νηστίμοις τῶν ἡμερῶν· ἤγουν Τετράδι καὶ Παρασκευῇ ἐν ἑψητοῖς καὶ μόνοις, ἤγουν ὀσπρίοις καὶ λαχάνοις ἠλαιωμένοις, καταλύομεν.

ιθ'. ***Περὶ τοῦ μὴ χρῆναι καταλύειν τὴν ἐν Τετράσιν ἢ Παρασκευαῖς νηστείαν.*** — Κἂν ἡ Χριστοῦ τοῦ θεοῦ ἡμῶν γέννησις ἐπιστῇ, τυρὸν ἢ ἰχθὺν ἢ ᾠὸν οὐκ ἐσθίομεν, καὶ ταῦτα ἐν τῇ πρώτῃ ἡμέρᾳ τῆς ἑορτῆς· εἰς δὲ τὰ μεθέορτα ἡ τοιαύτη νηστεία φυλάττεται. πᾶσαν τοίνυν Τετράδα καὶ Παρασκευὴν νηστεύομεν, καὶ τὸν τυρὸν καὶ τὸ ᾠὸν καὶ τὸν ἰχθύν· καὶ ἐν αὐταῖς καὶ Τετράσι καὶ Παρασκευαῖς τῆς Πεντηκοστῆς καὶ τοῦ Δωδεκαημέρου καὶ τῆς πρὸ τῆς Κρεωφάγου καὶ τῆς Τυρινῆς διὰ τὸν κανόνα τῶν ἁγίων ἀποστόλων, τὸν ἀνωτέρω ῥηθέντα, καὶ διὰ τὸν παρὰ τοῦ ἁγίου Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος ἐκτεθέντα κανόνα· ἐκεῖνος γὰρ ἐν τῷ πεντεκαιδεκάτῳ αὐτοῦ κανόνι οὕτως φησίν· " Οὐκ ἐγκαλέσει τις ἡμῖν παρατηρουμένοις Τετράδα καὶ Παρασκευήν, ἐν αἷς καὶ νηστεύειν κατὰ παράδοσιν εὐλόγως προστέτακται, τὴν μὲν Τετράδα διὰ τὸ γενόμενον συμβούλιον ὑπὸ Ἰουδαίων ἐν τῇ προδοσίᾳ τοῦ κυρίου, τὴν δὲ Παρασκευὴν διὰ τὸ πεπονθέναι αὐτὸν ὑπὲρ ἡμῶν ". οὕτως οὖν ποιεῖν ἀγωνίζεσθε διά τε τὰς τῶν ἁγίων παραινέσεις καὶ διὰ τὴν ἐνοῦσαν ἐν ἡμῖν τοῖς ἀγωνιζομένοις σωματικὴν ἀσθένειαν καὶ τοὺς γαργαλισμοὺς τῆς σαρκός· οἱ γὰρ δι' ἄσκησιν τούτων ἀπεχόμενοι καὶ σπεύδοντες ὑποτάξαι τὴν σάρκα τῷ πνεύματι καλῶς ποιοῦσι. φησὶ γὰρ ὁ μέγας ἀπόστολος Παῦλος· " οὐκ ἔστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη " καὶ ἄσκησις καὶ ἁγιασμός. καὶ πάλιν γέγραπται· " πάντα τὸν

1 τ ι σ ι ἀντὶ τοῦ τινι. 14 κ ῶ δ. τετράδα· πρβλ. καὶ σ. 35,2. 26 Σύνταγμα, τ. 4, σ. 43. 27 κ ῶ δ. νηστ. καὶ παράδοσις. 34 Ῥωμ. ιδ', 17.

χρόνον ἡ νηστεία ὠφέλιμός ἐστι καὶ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· οἱ γὰρ οὕτω δουλεύοντες τῷ Θεῷ, ἐκεῖνοι εὐαρεστοῦσιν αὐτῷ ". καὶ ὁ κανὼν δὲ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων πᾶσαν Τετράδα καὶ Παρασκευὴν προστάσσει ἡμῖν νηστεύειν καὶ οὐχὶ τὴν μέν, τὴν δὲ οὔ, ἀλλὰ πᾶσαν. οὐ μόνοις δὲ τοῖς μοναχοῖς φυλάττεται οὗτος ὁ κανών, ἀλλὰ καὶ τοῖς κοσμικοῖς· εἰ δὲ καὶ κοσμικοὶ οὕτως νηστεύουσι, τί πλέον ἐκείνων ὑμεῖς ἀπαιτεῖσθε; πιστεύσατε γάρ μοι, ὦ ἠγαπημένοι ἀδελφοί, ἀληθεύοντι, ὅτι, ἐάν τις ἀκριβῶς ὀφείλει ἀκολουθῆσαι τῷ νοῖ τῶν ἁγίων κανόνων, οὐδέποτε συγκαταβήσεταί τινα χριστιανὸν Τετράδα ἢ Παρασκευὴν ὅλου τοῦ ἐνιαυτοῦ καταλῦσαι εἰς ἑψητὸν καὶ μόνον, χωρίς τινος σωματικῆς ἀσθενείας. ἐγὼ δὲ προέκρινα κατακριθῆναι παρὰ θεοῦ διὰ τὴν ἀσθένειαν ὑμῶν καὶ παραδίδωμι ὑμῖν καταλῦσαι εἰς ἑψητόν, ὅτε καὶ ἡμέρα ἑορτῆς μεγάλης ἐστίν· εἰ δὲ μὴ ἔστι μεγάλης ἑορτῆς, τὰς παραδοθείσας ὑμῖν νηστείας φυλάσσετε διὰ τὸν κύριον. ὅστις δὲ ἐξ ὑμῶν βούλεται πᾶσαν Τετράδα καὶ Παρασκευὴν δι' ὅλου τοῦ ἐνιαυτοῦ μηδὲ ἑψητοῦ ἅψασθαι καὶ ἐν αὐταῖς ταῖς μεγάλαις ἑορταῖς, μὴ κωλυέσθω, ἀλλ' ἐχέτω καὶ συνεργὸν εἰς τοῦτο καὶ τὴν εὐχὴν ἐμοῦ τοῦ ἁμαρτωλοῦ. εἰ δὲ μετὰ ταῦτα ἀνεφύησαν αἱρέσεις τῶν τε Ἀρμενίων καὶ τοῦ Ἰακώβου καὶ τῶν Τετραδιτῶν, τί πρὸς ἡμᾶς, ἡμῶν χάριτι Χριστοῦ τοῦ θεοῦ ἡμῶν ὀρθοδόξων τυγχανόντων καὶ πειθαρχούντων τοῖς κανόσι τοῖς παρὰ τῶν ἁγίων ἀποστόλων καὶ τοῖς παρὰ τῶν ἁγίων πατέρων παραδοθεῖσι τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ τοῦ θεοῦ ἐκκλησίᾳ; εἰ δέ τις παραβάλῃ τῇ ἡμῶν μονῇ ἐν ταῖς ἡμέραις ταῖς πρὸ τῆς Κρεωφάγου ἢ τῆς Τυρινῆς καὶ ἀμφιβάλῃ περὶ τοῦ τοιούτου κεφαλαίου, ὀλίγου τυροῦ πάντες ἀπογεύσασθε διὰ τὴν συνείδησιν, ὅπως μὴ σχῇ ὁ ἐξ ἐναντίας λέγειν τι περὶ ὑμῶν φαῦλον. λέγει δὲ καὶ ὁ ἀπόστολος· " Εἰ ἐγὼ χάριτι μετέχω, διατί ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἑτέρας συνειδήσεως "; γέγραπται δὲ καὶ ἐν τῷ βίῳ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Συμεὼν αὐταῖς λέξεσιν οὕτωσίν, ὅτι " Διηγήσατο ὁ ἅγιος τοῖς αὐτοῦ μαθηταῖς περὶ τῆς ἁγίας Τεσσαρακοστῆς τὰ δειχθέντα αὐτῷ, λέγων οὕτωσί, ὅτι· Νήπιος ὢν καὶ ἱστάμενος ἐν τῷ πρώτῳ τῆς στάσεώς μου τόπῳ ἤκουον, ὅτι οὐ φυλάττουσιν οἱ ἄνθρωποι τὴν ἁγίαν Τεσσαρακοστήν, ἀλλὰ τυρὸν ἐσθίουσι καὶ ᾠά· καὶ ἐξισταμένῳ μοι ἐπὶ τούτῳ παρέστη μοι ἄγγελος τοῦ θεοῦ ἔχων κρατῆρα καὶ ἔριφον αἰγῶν καὶ μάχαιραν· καὶ λαβὼν ἔσφαξεν ἐνώπιόν μου καὶ ὑπεδέξατο τὸ αἷμα ἐν τῷ κρατῆρι. καὶ εἶδον τὸ αἷμα καὶ ἰδοὺ ἦν πεπηγὸς καὶ τυρωθὲν ὡς γάλα· καὶ εἶπε πρός με· Ἰδοὺ ὁ τυρός, ὃν ἐσθίουσιν οἱ ἄνθρωποι ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ, τὸ αἷμα τῶν ἐρί-

4 ὁ κανὼν — ἀποστόλων] πρβλ. Σύνταγμα, τ. 2, σ. 88, καν. ξθ'. 25 πρβλ. Κορ. 1, ι', 29—30.

φων ἐστί. διὰ τοῦτο διατιθέμενος διάθου πρὸς τὴν ἐπισυναγομένην ἀδελφότητα πρὸς σέ, ἵνα τυρὸν ἢ ᾠὸν ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ, ἢ Τετράδι ἢ Παρασκευῇ, μηδεὶς ἐσθίῃ· ὄφεων γὰρ καὶ δρακόντων ἐστὶ ταῦτα παρόμοια, ἐκ πάσης ἀκαθαρσίας συνιστάμενα· καὶ γενόμενος εἰς ἑαυτὸν ἐμνήσθην Ἡσαΐου τοῦ προφήτου λέγοντος· Ὠὰ ἀσπίδος ἔρρηξε καὶ ἱστὸν ἀράχνης ὑφαινούσης καὶ ὁ μέλλων τῶν ᾠῶν αὐτῶν ἐσθίειν συντρίψας οὔριον εὗρε καὶ ἐν αὐτῷ βασιλίσκον. ταῦτα δὲ ἠναγκάσθην εἰπεῖν οὐ κοινὰ τὰ πράγματα ποιούμενος, ἃ ὁ θεὸς ἐκαθάρισεν (οὐ γὰρ δεῖ παντελῶς ἡγεῖσθαι κοινά, ἐπείπερ τοῖς πιστῶς μεταλαμβάνουσιν αὐτά, ὅτε δεῖ, ἁγιάζονται διὰ λόγου θεοῦ καὶ ἐντεύξεως), ἀλλ' ὠφελείας χάριν ὡς ⟨πρὸς⟩ μοναχοὺς ἐξηγησάμην ταῦτα, ἵνα ἐπὶ πλέον μάλιστα ἐν ταῖς ἡμέραις τῶν ἁγίων Νηστειῶν τὸν ἁγιασμὸν ἐπαυξήσετε, ὥσπερ καὶ τοὺς πρὸ ὑμῶν συμμείναντάς μοι φυλάξασθαι παρεσκεύασα ". καὶ ταῦτα μὲν τοῦ θαυματουργοῦ τὰ ῥήματα· γέγραπται δὲ καὶ ἐν τῷ Γεροντικῷ, ὅτι " Νεκροῦ σκήνωμα ἐφέρετο ἐν τῇ ὁδῷ, καὶ ἀπαντήσας αὐτῷ ὁ ἀββᾶς Παχώμιος ὁρᾷ δύο ἀγγέλους ἀκολουθοῦντας τῷ νεκρῷ ὀπίσω τοῦ κραββάτου, καὶ λογισάμενος περὶ αὐτοῦ παρεκάλεσε τὸν θεὸν ἀποκαλύψαι τὸ γεγονός. καὶ ἦλθον οἱ δύο ἄγγελοι καὶ εἶπεν αὐτοῖς· Διατί καὶ ὑμεῖς ἄγγελοι ὄντες ἀκολουθεῖτε τῷ νεκρῷ; καὶ εἶπον αὐτῷ οἱ ἄγγελοι· Ὁ εἷς ἡμῶν τῆς Τετράδος ἐστὶ καὶ ὁ εἷς τῆς Παρασκευῆς, καὶ ἐπειδὴ ἕως οὗ ἀπέθανεν ἡ ψυχὴ αὕτη, οὐ παρέλιπε νηστεύουσα Τετράδα καὶ Παρασκευήν, κατὰ τοῦτο καὶ ἡμεῖς παρηκολουθήσαμεν τῷ σκηνώματι αὐτῆς, ὅτι ἕως τοῦ θανάτου αὐτῆς ἐφύλαξε τὴν νηστείαν. διὰ τοῦτο οὖν καὶ ἡμεῖς ἐδοξάσαμεν αὐτὴν ἀγωνισαμένην ἐν κυρίῳ ". ἠκούσατε, ἀδελφοί, πῶς καὶ οἱ κοσμικοὶ νηστεύουσι; καὶ ὑμεῖς τίνα κόπον ὀφείλετε κοπιάσαι, ἐάν περ πάσας τὰς ἡμέρας τῆς Τετράδος καὶ τῆς Παρασκευῆς μόνης ὅλου τοῦ ἐνιαυτοῦ νηστεύητε τὸν τυρὸν καὶ τὸν ἰχθὺν καὶ τὸ ᾠόν, ὅτε δεῖ καταλύειν τὴν νηστείαν; οὐκ ἀκριβῶς οἴδατε, ὅτι πολλάκις ἐκ τοῦ μὴ ἔχειν ἡμᾶς ταῦτα καὶ αὐταῖς ταῖς ἁγίαις Κυριακαῖς ἡμέραις ταῦτα νηστεύομεν; καὶ τίς ἡ ζημία; οὐχὶ καὶ δι' ἑτέρων βρωμάτων τρέφει ἡμᾶς ὁ πάντων κύριος καὶ δεσπότης ἡμῶν θεὸς καὶ εὐχαριστοῦμεν αὐτῷ; διὰ ταῦτα οὖν παρακαλῶ ὑμᾶς, πατέρες μου καὶ ἀδελφοί, ἐγὼ ὁ ἐλάχιστος, ἐγὼ ὁ εὐτελής, ὁ τῶν " μυρίων ταλάντων ὀφειλέτης ", ὁ παντὸς ἁμαρτωλοῦ ἁμαρτωλότερος, ἀνέξεσθε ταύτης τῆς καλλίστης συμβουλῆς· τηρήσατε ταύτην ἀκατάγνωστον ἐν παντί, ὅπως ἦτε ἀνεπαίσχυντοι. " Σκοπεῖτε τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχήν, ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας καὶ ἐκκλίνατε ἀπ' αὐτῶν· οἱ γὰρ τοιοῦτοι τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χρι-

2 κ ῶ δ. τετράδα. 5 Ἡσ. νθ', ε'. 10 (προς) προσθήκη ἡμετέρα. 31 μυρ. ταλ. ὀφειλέτης] Ματθ. ιη', 24. 32 ἀνέξεσθε] οὕτως ἐν τῷ κωδικι· ἀνέξεσθαι? Κ. 33 Ῥωμ. ις', 17, 18.

στῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων". τολμήσας εἴπω κἀγὼ κατὰ τὸν ἀπόστολον· "Ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω ἢ ἐξουθενείτω· ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει". ἕκαστος δὲ ὑμῶν ἐν τῷ ἰδίῳ νοῖ πληροφορείσθω, ὅτι "Ὥσπερ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθεὶς ἀλλήλων μέλος". καὶ διὰ τοῦτο εἷς τὸν ἕνα οἰκοδομεῖν ἀγωνίζεσθε, καὶ εἴποτέ τις τῶν ἐνταυθοῖ παραδοθέντων ὑμῖν ἐκτραπείη, σπεύδετε ἐπανορθοῦν αὐτόν. καὶ τὰς ἔξωθεν ἐπεισερχομένας ὑμῖν ματαίας ζητήσεις καὶ λογομαχίας μακρὰν ἀφ' ὑμῶν ἀπορρίψατε· οὕτω γὰρ ποιοῦντες καὶ δόκιμοι ἐν τῷ νῦν αἰῶνι φανήσεσθε καὶ ἐν τῷ μέλλοντι τῆς βασιλείας τῶν οὐρανῶν οὐκ ἐκπεσεῖτε.

Μηνὶ Σεπτεμβρίῳ ἀρχὴ τῆς Ἰνδίκτου καὶ τοῦ ἁγίου Συμεὼν μνήμη. + εἰς τὴν ς' τοῦ Ἀρχιστρατήγου. + ἡ τῆς Θεοτόκου γέννησις. + ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ. + εἰς τὴν κς' τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου. + μηνὶ Ὀκτωβρίῳ ς' τοῦ ἁγίου ἀποστόλου Θωμᾶ. + εἰς τὴν θ' τοῦ ἁγίου Ἰακώβου τοῦ Ἀδελφοθέου. + εἰς τὴν κς' τοῦ ἁγίου Δημητρίου. + εἰς τὴν ιη' τοῦ ἁγίου ἀποστόλου Λουκᾶ. + μηνὶ Νοεμβρίῳ α' τῶν ἁγίων Ἀναργύρων. + εἰς τὴν η' τῶν Ἀσωμάτων. + εἰς τὴν ιγ' τοῦ Χρυσοστόμου. + εἰς τὴν ιδ' τοῦ ἁγίου ἀποστόλου Φιλίππου. + τοῦ ἁγίου ἀποστόλου Ματθαίου. + τὰ Εἰσόδια τῆς Θεοτόκου. + τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου. + μηνὶ Δεκεμβρίῳ εἰς τὴν ς' τοῦ ἁγίου Νικολάου. + ἡ Σύλληψις τῆς ἁγίας Ἄννης, τῆς μητρὸς τῆς Θεοτόκου. + τοῦ ἁγίου Ἰγνατίου. + ἡ Χριστοῦ τοῦ θεοῦ ἡμῶν Γέννησις. ἕως τῶν ἁγίων Θεοφανίων ὅλως νηστεία ἢ γονυκλισίαι οὐ γίνονται οὔτε ἐν τῇ ἐκκλησίᾳ οὔτε ἐν τῷ κελλίῳ. + τὰ ἅγια Θεοφάνια. + ἡ Σύναξις τοῦ Προδρόμου. + τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου. + τῆς Ὑπαπαντῆς. + τοῦ ἁγίου Συμεὼν τοῦ Θεοδόχου. + ἡ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. + τῶν Ἁγίων Τεσσαράκοντα. + ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου. + τοῦ ἁγίου Γεωργίου. + τοῦ ἁγίου ἀποστόλου Μάρκου. + τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ζεβεδαίου. + τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου. + τοῦ ἁγίου Συμεὼν τοῦ θαυματουργοῦ. + τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα. + ἡ Γέννησις τοῦ τιμίου Προδρόμου. + τῶν ἁγίων πανευφήμων ἀποστόλων Πέτρου καὶ Παύλου. + τῶν ιβ' ἀποστόλων. + τῶν ἁγίων Ἀναργύρων. + τῆς τιμίας Ἐσθῆτος τῆς ἁγίας Θεοτόκου. + τοῦ ἀρχιστρατήγου Γαβριήλ. + τοῦ ἁγίου προφήτου Ἠλιού. + τοῦ ἁγίου Παντελεήμονος. + μηνὶ

3 Ῥωμ. ιδ', 3—4. 6 Ῥωμ. ιβ', 4, 5.

Αὐγούστῳ, τῆς Μεταμορφώσεως. + ἡ Κοίμησις τῆς ἁγίας Θεοτόκου. + ἡ Ἀποτομὴ τοῦ τιμίου Προδρόμου. + τῇ ἑβδομάδι τῇ πρὸ τῆς Κρεωφάγου, ⟨καθ'⟩ ἣν καὶ νηστεύουσιν οἱ Ἀρμένιοι τὸν ἀρτζιβούρην, ὅλως νηστεία παρ' ἡμῖν οὐκ ἔστιν, οὔτε τῇ Τετράδι οὔτε τῇ Παρασκευῇ, οὔτε εἰς ᾠὸν οὔτε εἰς ἄλλο τι, ἀνατρέπουσι τὴν αἵρεσιν τῶν Ἀρμενίων, καθά τινες παραδιδόασιν. ὁμοίως καὶ τῆς Τυροφάγου τὴν Τετράδα καὶ τὴν Παρασκευὴν κατὰ τὴν παράδοσιν τῶν ἁγίων πατέρων μετὰ τὴν τῶν προηγιασμένων ἀπόλυσιν τυροῦ καὶ ᾠοῦ μετάληψις γίνεται, καὶ τοῦτο ὁμοίως διὰ τὸ τοῦ Ἰακώβου δόγμα καὶ τὴν τῶν Τετραδιτῶν αἵρεσιν· ἀνατρέπει γὰρ τὰς τοιαύτας αἱρέσεις, καθὼς ὁ κανὼν τοῦ ἁγίου Νικηφόρου Κωνσταντινουπόλεως περιέχει. καὶ ἡμεῖς δὲ τὰς ἡμέρας ταύτας οὐ ξηροφαγοῦμεν, ἀλλ' ἐσθίομεν ἑψητὸν μόνον, τὸν δὲ τυρὸν καὶ τὸ ᾠὸν καὶ τὸν ἰχθὺν οὐκ ἐσθίομεν, καθὼς ἀνωτέρω ἔφημεν. ἡ παραμονὴ τῆς Χριστοῦ γεννήσεως καὶ τῶν Φώτων εἰ τύχῃ ἐν Σαββάτῳ ἢ Κυριακῇ, ποιοῦμεν τὸ πρωῒ τὴν συνήθη λειτουργίαν ὡς ἀεὶ καὶ οὕτως ἐν τῇ ἐκκλησίᾳ διακλυζόμεθα. ἐν δὲ τῇ ἑσπέρᾳ ἐσθίομεν ὄσπριον καὶ λάχανον ἠλαιωμένον, καὶ πίνομεν καὶ οἶνον, διότι παρελάβομεν ἐκ τῆς προσφωνήσεως Θεοφίλου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀλεξανδρείας, κατὰ ῥῆμα λέγοντος οὕτωσί· "Καὶ τὸ ἔθος καὶ τὸ πρέπον ἡμᾶς ἀπαιτεῖ πᾶσαν Κυριακὴν τιμᾶν καὶ ἐν ταύτῃ πανηγυρίζειν, ἐπειδή περ ἐν ταύτῃ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἐκ νεκρῶν ἀνάστασιν ἐπρυτάνευσε. διὸ ἐν ταῖς ἱεραῖς Γραφαῖς καὶ πρώτη κέκληται, ὡς ἀρχὴ ἡμῖν ζωῆς ὑπάρχουσα, καὶ ὀγδόη; ἅτε δὴ ὑπεραναβεβηκυῖα τὸν τῶν Ἰουδαίων σαββατισμόν. ἐπεὶ οὖν συνέβη τὴν τῶν ἁγίων Θεοφανίων νήστιμον ἡμέραν ταύτην εἶναι, οἰκονομήσωμεν καὶ πρὸς ἑκάτερα ἐπιστημόνως χωρήσωμεν, ἵνα μεταλαμβάνοντες ὀλίγων φοινίκων ἐκκλίνωμεν ἅμα καὶ τὰς αἱρέσεις, τὰς μὴ τιμώσας τὴν ἀναστάσιμον ἡμέραν τοῦ κυρίου ἡμῶν Ἰησοῦ, καὶ τὸ ὀφειλόμενον τῇ νηστίμῳ ἡμέρᾳ ἀποδῶμεν, περιμένοντες τὴν ἑσπερινὴν σύναξιν". καὶ τὰς ἀγρυπνίας δὲ κατὰ τὸν τύπον ὀφείλομεν ποιεῖν ἔν τε πάσῃ Κυριακῇ καὶ δεσποτικῇ ἑορτῇ καὶ ἔν τισι λοιπῶν ἁγίων μνήμαις, ἃς ἐκ τοῦ Συναξαρίου μαθησόμεθα· ἐν αἷς καὶ τοῦτο παρακαλῶ τὴν ἀγάπην ὑμῶν ποιεῖν μετὰ τὴν τῶν κανόνων τῆς παννυχίδος ἐκπλήρωσιν, μέσον τοῦ ναοῦ ἱσταμένους ψάλλειν καὶ ταῦτα τὰ στιχηρὰ τοῦ ἁγίου Προδρόμου· Ἦχος πλ. β'· "Ἔνσαρκε λύχνε". τοῦ ἁγίου Συμεὼν ἦχος ὁ αὐτός· "Πάτερ ἀξιάγαστε". καὶ ἕτερον ἦχος ὁ αὐτός· "Ἡ ἐν τῷ ξύλῳ τοῦ σταυροῦ". ἕτερον ἦχος ὁ αὐτός· "Πάτερ ἀγαθέ, ἐμακρύνθην ἀπὸ σοῦ".

2 ⟨καθ'⟩ προσθ. ἡμετέρα. 10 Νικηφόρου κανὼν μ'. *Pitra*, Juris eccles. graec. hist. et monumenta, τ. 1, σ. 331. 15 διακλυζόμεθα] κ ῶ δ. διακλυόμεθα· πρβλ. τὸ ἐν σ. 38,18 καὶ 47,3 διακλυσμὸν 18 Σύνταγμα, τ. 4, σ. 342.

καὶ ἕτερον ἦχος ὁ αὐτός· " Ὦ ποία ὥρα τότε καὶ ἡμέρα ". εἰς τὸ Δόξα ἦχος ὁ αὐτός· " Φοβερὸς εἶ, κύριε, καὶ τίς ὑποστήσεται ": Καὶ νῦν, ἦχος ὁ αὐτός· " Κύριε, ἁμαρτίαις συνεχόμενος ".

κ'. *Ὑποτύπωσις περὶ ποσοῦ τροφῆς καὶ ποιοῦ.* — Καιρὸς δ' ἂν εἴη λοιπὸν καὶ τραπέζης ἐπιμνησθῆναι καὶ βρώσεως καὶ τῶν λοιπῶν, ὅσα περὶ τὴν σύστασιν τοῦ σώματος ταμιεύονται· ὥσπερ γὰρ ἡμεῖς ἐκ δύο συγκείμεθα, ψυχῆς λέγω καὶ σώματος, οὕτω δὴ καὶ τὰ τῆς μονῆς. καὶ ψυχὴ μὲν αὐτῆς εἰκότως ἂν νομίζοιτο ἡ ἐν ψαλμῳδίᾳ πᾶσα θεοπρεπὴς ἀκολουθία, σῶμα δὲ αὐτή τε ἡ μονὴ καὶ ὅσα τοῖς ἡμῶν λυσιτελεῖ σώμασιν. ἐπειδὴ τοίνυν ἀρκούντως ἤδη σὺν θεῷ περὶ τῆς ψυχῆς αὐτῆς εἴπομεν, πρέπον ἐστὶ καὶ περὶ τῶν τῷ σώματι ταύτης διαφερόντων εἰπεῖν, τήν τε τῶν τροφῶν δίαιταν διατυπώσασθαι καὶ τἆλλα, ὅσα τὴν τῆς μονῆς σύστασιν διαρκεστέραν περιμνηστεύεται, ἀκριβέστερον ἐκθέσθαι ὑμῖν, ὧν οὐκ ἔλαττον φροντίζειν χρεὼν τὸν ἐθέλοντα φροντίζειν τῆς τῶν ἀδελφῶν αὐτοῦ σωτηρίας καὶ ἀναπαύσεως. λεγέσθω τοίνυν καὶ ταῦτα καὶ τοῖς ἐμοὶ ποθουμένοις πατράσι καὶ ἀδελφοῖς εἰκότως παραδεδόσθω.

κα'. *Περὶ εὐταξίας τῆς κατὰ τὴν τράπεζαν.* — Μετὰ τὸ γενέσθαι τὸν συνήθη διακλυσμὸν ἐν τῷ νάρθηκι, τῆς θείας ἤδη λειτουργίας περαιωθείσης, δέον ἅπαντας ἐνταυθοῖ συνημμμένως καθῆσθαι, ἐκδεχομένους τὴν ἐν τῇ τραπέζῃ πρόσκλησιν, τὴν διὰ τοῦ κρούματος τοῦ τραπεζικοῦ συμβόλου γινομένην. κρουσθέντος δὲ τοῦ συμβόλου, εὐθὺς ἅμα τῷ ἱερουργήσαντι ἱερεῖ ἐξιόντας προσκύνησιν τῷ προεστῶτι ποιεῖν καὶ οὕτω τοῦ συνήθους ψαλμοῦ ἀρξαμένους εἰς ἐπήκοον βαδίζειν ἐπὶ τὴν τράπεζαν, αὐτόν τε δὴ τὸν ἡγούμενον καὶ πάντας ὅσοι κατὰ τὴν πρώτην ἑστίασιν ἐν τῇ πρώτῃ τραπέζῃ καθῆσθαι τετάχανται ἀπαραλείπτως· οὕτω τε ἐν τῷ ἀριστητηρίῳ εἰσιόντας καὶ τὸν ῥηθέντα ψαλμὸν μετὰ τῆς σὺν αὐτῷ μικρᾶς εὐχῆς ἐκπεράναντας καθῆσθαί τε κατὰ τάξιν, τὴν παρὰ τοῦ προεστῶτος διωρισμένην, καὶ τῶν παρατιθεμένων εὐχαρίστως μεταλαμβάνειν. τὸν τοίνυν τοῦ ψαλμοῦ καὶ τῆς εὐχαριστίας ὑστερήσαντα προσαγγέλλεσθαι παρὰ τοῦ τραπεζαρίου τῷ προεστῶτι, ἐρέσθαι τε αὐτὸν τὴν αἰτίαν τῆς ὑστερήσεως· καὶ εἰ μὲν εὔλογος δόξειε, συγχωρεῖν· εἰ δ' οὖν, ἀλλὰ γονυκλισίας ποιεῖν ὅσας ὁ προεστὼς βούλοιτο. γίνεσθαι μέντοι καὶ τὴν ἐξ ἔθους ἀνάγνωσιν ἐν ταῖς ἑστιάσεσιν ἀναγκαῖον κατὰ τὸ σύνηθες, μὴ θορυβοῦντός τινος, μὴ ταράττοντος, μὴ συγχέοντος τὴν ἐκεῖθεν ὠφέλειαν ταῖς κοσμικαῖς ὁμιλίαις καὶ ἀργολογίαις, μόνου δὲ τοῦ προεστῶτος,

4 " Καιρὸς δ' ἂν εἴη λοιπὸν " ἄχρι σ. 40,25 " οἰκονομῶν αὐτοὺς ὁδηγήσειεν "] τὰ αὐτὰ καὶ ἐν τῷ τυπικῷ τῆς μονῆς Εὐεργέτιδος. Ἴδε Дмитріевскій Τυπικά, σ. 624—626, § θ'. Διὰ τὰ ὧδε κεφ. κ'—κα' ἴδε καὶ § ιζ' τυπικοῦ μονῆς Ἐλεημῶν αὐτόθι σ. 732—733. Διὰ τὰ αὐτὰ κεφ. καὶ μέρος κβ' πρβλ. τυπικὸν μονῆς Μαχαιρᾶ. Acta et Dipl. τ. 5, σ. 408—409.

εἴ τι βούλοιτο, λέγοντος φειδομένως καὶ τοῦ ἴσως ἐρωτωμένου παρ' αὐτοῦ τὴν ἀπόκρισιν ὁμοίως ποιουμένου, εἰ δυνατόν, ἐν λόγοις τισὶ καὶ συντετμημένοις τοῖς ῥήμασιν. εἰ δέ τις εἴη ταράττων καὶ ταραττόμενος, θορυβῶν τε καὶ θορυβούμενος, τὴν ἀνάγνωσίν τε συγχέων ἐκ τῆς ἀκαίρου καὶ ἀπρεποῦς ὁμιλίας, κατασιγαζέσθω παρὰ τοῦ τραπεζαρίου· εἰ δ', ὅπερ ἀπείη, μηδ' αὐτοῦ τοῦ σιγάζοντος λόγον ποιοῖτο ὁ θορυβούμενος, τῆς τραπέζης καὶ ἄκων ἐξεγειρέσθω καὶ τῷ τῆς ἀβρωσίας ἐπιτιμίῳ ὑποβεβλήσθω, ἢ καὶ ἑτέρως σωφρονιζέσθω, καθὼς ὁ προεστὼς βούλοιτο.

κβ'. *Περὶ τοῦ μὴ χρῆναι (περὶ) πρωτοκλισίας ἐρίζειν ἐν τῇ τραπέζῃ, ἀλλ' ὡς ἔτυχε καθῆσθαι.* — Καθέδρας οὖν ἕνεκεν οὐδ' ὅλως εἰπεῖν ἀνεχόμεθα· ποῦ γὰρ ἂν καὶ εἴη τοῦτο δεκτόν, ἄνδρας κατὰ θεὸν ζῶντας ὅλως ἐρίζειν περὶ καθέδρας, ἐπίσης τοῖς κατὰ κόσμον ἐντεῦθεν ἑαυτοὺς τῶν ἄλλων ὑπερέχοντας ἀποδεικνύναι σπουδάζουσιν, οἷα περὶ τὴν ματαίαν δόξαν καὶ τῷ θεῷ μεμισημένην ἐπτοημένοις; " βδέλυγμα γὰρ παρὰ κυρίῳ πᾶς ὑψηλοκάρδιος ", φησὶν ἡ θεία Γραφή, καὶ " κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν ". οὐκ ἔσται οὖν ἐν ὑμῖν τοῦτο, οὐκ ἔσται· οὐ γὰρ ἄν ποτε σώας ἔχοντες τὰς φρένας προκρίνοιτε τὸ βδέλυγμα ἔσεσθαι κυρίῳ τοῦ λαμβάνειν χάριν παρ' αὐτοῦ καὶ ἐγγὺς ὑμῶν ἔχειν αὐτὸν ὡς τὴν καρδίαν συντετριμμένων, ἢ τἀληθὲς εἰπεῖν οἴκους αὐτοῦ εἶναι καὶ ἐπεράστους. εἰ δὲ καί τις ὑμῶν, φεῦ, εὑρεθείη τούτου χάριν διαπληκτιζόμενος, χρόνους τυχὸν ἢ ἐνέργειαν προβαλλόμενος, καὶ οὐκ ἐμμένοι τῇ προστάξει τοῦ προεστῶτος καὶ τὸν ἀποκληρωθέντα τόπον ἀποστέργοι, ἐντέλλομαι ἐν κυρίῳ τὸν ἔσχατον αὐτῷ τόπον ἀποκληροῦν, διδάσκειν τε τὸν κόσμον καὶ τὰ τοῦ κόσμου καταλιμπάνειν. εἰ δ', ὅπερ ἀπευκταῖον πάντῃ καὶ ἄσεμνον, ἔτι τε διενίσταται καὶ ἀμφιβάλλει καὶ μετὰ δευτέραν καὶ τρίτην παραίνεσιν ἀδιόρθωτος μένει, ἐκδιώκειν τοῦτον καὶ τῆς μονῆς καὶ καθαπερεί τινα φαγέδαιναν καὶ ἔξω που καὶ μακρὰν ἀφ' ὑμῶν ἐκριπτεῖν, ὡς ἂν μὴ καὶ τοῖς λοιποῖς ὑμῶν τῆς ἑαυτοῦ μεταδοίη λύμης· ῥᾷον γὰρ κακίας μεταλαβεῖν μᾶλλον ἢ ἀρετῆς, ὥς τις ἔφη σοφός. καὶ ἀριστῶντας δὲ ὑμᾶς οὐ μεταδοτέον ἀλλήλοις βρώματός τινος ἢ πόματος, ἄχρις οὖν καὶ μικρᾶς ῥανίδος εἰς ψύξιν κράματος, ἀλλὰ τὸν χρείαν πολλάκις ἔχοντα τούτων τινὸς ὑπανίστασθαι μικρὸν μάλα σεμνῶς καὶ μετ' εὐλαβείας αἰτεῖσθαι τὸν προεστῶτα, οὕτω πως λέγοντα· " Εὐλόγησον, πάτερ· χρεία μοί ἐστι τοῦδε ". ἂν μὲν οὖν ἐκεῖνος προστάξειε, λαμβάνειν καλὸν τὸ χρειῶδες· ἂν δὲ μή, συστέλλειν αὖθις ἑαυτὸν καὶ σιωπῇ καθῆσθαι εὐχαριστοῦντα. τοῦτο δὲ ποιοῦμεν οὐ φειδοῦς ἕνεκέν τινος, μὰ τὴν ἀλήθειαν, ὥς τινες οἴονται, καὶ σκνιφότητος· μηδὲ γὰρ ἔσται τοσοῦτον περιέχεσθαι τῶν ῥεόντων, ὡς προκρίνειν αὐτὰ τῆς τῶν ἀδελφῶν ἡμῶν

9 (περὶ) προσθήκη Κ. 14 πρβλ. Παροιμ. ιζ', 5. 15 Παροιμ. γ', 34. 28 κ ῶ δ. ἀριστοῦντας.

ἀναπαύσεως· τίνος γὰρ ἂν καὶ χάριν ταῦτα κτᾶσθαι σπουδάζωμεν, μὴ πρὸς τὴν ἡμῶν τυγχάνοντα θεραπείαν, ὡς εἴρηται, ἀδελφοί μου; ἀλλὰ τὸ εὐλαβὲς κἀν τούτῳ καὶ εὔτακτον ἡμῖν μνηστευόμενοι, ἵνα μὴ χώραν ἐντεῦθεν ἡ τῶν πολλῶν ῥᾳθυμία εὐροῦσα τὴν ὅλην τῆς τραπέζης τάξιν συγχέοι καὶ οὐδέν τι τῶν ἀπαιδεύτων καὶ ἀνευλαβῶν ἐσόμεθα διαφέροντες, οἳ ἐν τῷ πίνειν ἀλλήλους φιλοτιμοῦνται δεξιούμενοι ταῖς προπόσεσί τε καὶ ἀντιπόσεσιν· οὐ μὴν ἀλλὰ καὶ τὴν τοῦ θελήματος περικόπτομεν πρόκρισιν, πρὸς τούτοις δὲ καὶ τὴν τῶν πολλῶν ἐκριζοῦμεν ἀκρασίαν καὶ διδάσκομεν ὀλίγοις ἀρκεῖσθαι καὶ τοῖς ἀναγκαίοις, ἅμα δὲ καὶ τοὺς τῆς ἐγκρατείας πλέκομεν ὑμῖν στεφάνους, ἀλλὰ καὶ τοῦ λαθήσει γινομένου σκοτώδους ἔργου καὶ ἀφανοῦς, ἵνα μὴ λέγω καὶ κλοπιμαίου, ὑμᾶς ἀπάγομεν.

κγ'. ***Περὶ τοῦ μὴ χρῆναι λαθροφαγεῖν.*** — Τί δέ; οὐ σκότους ἔργον τὸ κρυφῇ γινόμενον; παντί που δῆλον καὶ τοῦτο· καὶ τὸ κατὰ Ἰωάννην εὐαγγέλιον διατρανοῖ οὕτως ἔχον· "Πᾶς ὁ φαῦλα πράσσων οὐκ ἔρχεται εἰς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ ὑπὸ τοῦ φωτὸς τὰ ἔργα αὐτοῦ τὰ πονηρά". καὶ ὁ ἀπόστολος· "πᾶν τὸ φανερούμενον φῶς ἐστιν", ὡς δηλοῦντος τοῦ λόγου, ὅτι τὸ μὴ φανερούμενον σκότος ἄντικρυς. τίνος οὖν χάριν, ἀδελφέ μου, τὸ τοῦ φωτὸς ἀφεὶς ἔργον τὸ τοῦ σκότους ποιεῖς; "Αἰδοῦμαι", φησίν, "αἰτῶν". τοὐναντίον μὲν οὖν ποιῶν καὶ ὃ μισεῖ ὁ θεὸς οὐκ αἰδῇ καὶ ὑπὲρ τοῦ καλοῦ ἐπιδοιάζεις; μὴ σύ γε, παρακαλῶ· ἀλλὰ τοῦτο πολλοὺς οἶδα ποιοῦντας καὶ τὴν ἑαυτῶν πατοῦντας συνείδησιν καὶ λανθάνειν δοκοῦντας· ὅπερ μου καὶ μέσης αὐτῆς ἅπτεται τῆς καρδίας καὶ θρηνεῖν αὐτοὺς οὐ παραιτοῦμαι, ὅτι περ οὕτω κακῶς ἔχοντες ἀναισθητοῦσιν, οἴμοι, καὶ οὐδὲ τὸ πάθος ἀποκαλύπτουσιν· οἷς ἵλεως γένοιτο κύριος καὶ πρὸς τὸ συμφέρον ὁ συμφερόντως τὰ πάντα οἰκονομῶν αὐτοὺς ὁδηγήσειεν. ἐπεὶ δὲ περὶ τούτου ἐμνήσθην, φέρε μικρὸν διδάξω ὑμᾶς, πῶς δεῖ νικῆσαι τὴν πανουργίαν τούτου τοῦ δαίμονος, τοῦ μὴ ἐῶντος ἡμᾶς καθαρῶς ὁδεύειν τὴν ὁδὸν τῆς ἀληθείας. ἤκουσά τινων ἐξ ὑμῶν ἑρμηνευόντων κακῶς τὸ καλῶς εἰρημένον ἐν τῇ θείᾳ Γραφῇ, "μακάριόν ἐστι διδόναι ἢ λαμβάνειν", καὶ βιαζομένων πρὸς τὴν ἰδίαν ἀπάτην καὶ τῆς φιλαργυρίας ἀπατηλῇ ἐπιθυμίᾳ τὴν ἔννοιαν τοῦ ῥητοῦ παραλογιζομένων καὶ τὴν τοῦ κυρίου διδασκαλίαν, τὴν λέγουσαν· "Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ καὶ δεῦρο ἀκολούθει μοι"· καὶ κρίνουσι τῆς ἀκτημοσύνης μακαριώτερον τὸ ἐξουσιάζειν τοῦ ἰδίου πλούτου καὶ ἐκ τῆς τούτου περιουσίας διδόναι τοῖς δεομένοις.

14 Ἰωάν. γ', 20. 16 Ἐφεσ. ε', 13. 28 Πράξ. κ', 35. 31 Ματθ. ιθ', 21.

κδ'. ***Περὶ τοῦ μὴ χρῆναι τῆς ἀκτημοσύνης κρεῖττον ἡγεῖσθαι τὸ τοῦ ἰδίου πλούτου ἐξουσιάζειν δι' ἐλεημοσύνην.*** — Γινωσκέτωσαν τοίνυν οἱ τοιοῦτοι μήπω ἀποτετάχθαι τῷ κόσμῳ, μηδὲ ἐπιβεβηκέναι τῆς μοναχικῆς τελειότητος, ἐφ' ὅσον αἰσχύνονται ὑπὲρ Χριστοῦ τὴν ἔνδοξον ἀναλαβεῖν μετὰ τοῦ ἀποστόλου πτωχείαν καὶ τῇ τῶν χειρῶν ἐργασίᾳ ἑαυτοῖς καὶ τοῖς δεομένοις ὑπηρετεῖν. εἰ δὲ ἐπιθυμοῦσιν ἔργῳ πληρῶσαι τὴν μοναχικὴν πολιτείαν καὶ μετὰ τοῦ ἀποστόλου δοξασθῆναι, διασκορπίσαντες τὸν παλαιὸν πλοῦτον "ἐν λιμῷ καὶ δίψει καὶ ψύχει καὶ γυμνότητι" μετὰ τοῦ Παύλου ἀγωνιζέσθωσαν τὸν καλὸν ἀγῶνα· καὶ γὰρ εἰ τὸ ἔχειν παλαιὸν πλοῦτον ἀναγκαιότερον πρὸς τελείωσιν ἐγίνετο, ὁ αὐτὸς ἀπόστολος οὐκ ἂν κατεφρόνησε τῆς πρώτης αὐτοῦ ἀξίας· ἐπίσημον γὰρ ἑαυτὸν λέγει καὶ πολίτην Ῥωμαίων. καὶ οἱ ἐν Ἱεροσολύμοις δέ, οἵτινες ἐπώλουν τὰς οἰκίας ἑαυτῶν καὶ τοὺς ἀγροὺς καὶ ἐτίθεσαν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, οὐκ ἂν τοῦτο ἔπραττον, εἰ κεκριμένον ἐγίνωσκον ὑπὸ τῶν ἀποστόλων τὸ τοῖς ἰδίοις χρήμασι τρέφεσθαι καὶ μὴ καμάτῳ ἰδίῳ καὶ τῇ τῶν ἐθνῶν προσφορᾷ. σαφέστερον διδάσκει περὶ τούτων ὁ εἰρημένος Παῦλος ἐν οἷς πρὸς Ῥωμαίους γράφων τάδε λέγει· "Νυνὶ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῆσαι τοῖς ἁγίοις· εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱεροσολύμοις· εὐδόκησαν γὰρ καὶ ὀφειλέται εἰσί". καὶ αὐτὸς δὲ δεσμοῖς καὶ φυλακαῖς πολλάκις καὶ τῷ σκυλμῷ τῆς ὁδοιπορίας ὑποβληθεὶς καὶ ἐμποδιζόμενος ἐκ τούτου, ὡς εἰώθει, ταῖς ἰδίαις χερσὶ προσπορίζειν ἑαυτῷ, τὰς χρείας ταύτας εἰληφέναι διδάσκει παρὰ τῶν ἀδελφῶν τῶν ἀπὸ Μακεδονίας πρὸς αὐτὸν ἐλθόντων, φάσκων· "καὶ γὰρ τὸ ὑστέρημά μου ἐπλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας". καὶ Φιλιππησίοις δὲ γράφων οὕτωσὶ λέγει· "Οἴδατε γάρ, Φιλιππήσιοι, ὅτι ἐξελθόντος μου ἀπὸ Μακεδονίας οὐδεμία μοι ἐκκλησία ἐκοινώνησε χάριν δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι, ὅτι καὶ ἐν Θεσσαλονίκῃ ἅπαξ καὶ δὶς ἐπέμψατέ μοι τὰ πρὸς τὴν χρείαν". ἔστωσαν τοίνυν κατὰ τὴν γνώμην τῶν φιλαργύρων καὶ οὗτοι μακαριώτεροι τῶν ἀποστόλων, ἐπειδὴ ἐκ τῶν ἰδίων ὑποστάσεων ἐχορήγησαν αὐτῷ τὰς χρείας· ἀλλ' οὐκ ἄν τις εἰς ἐσχάτην ἄνοιαν ἐλθὼν εἰπεῖν τολμήσῃ τοῦτο. εἰ τοίνυν βουλόμεθα τῷ εὐαγγελικῷ καὶ ἀποστολικῷ προστάγματι καὶ πάσῃ ἐκείνῃ τῇ ἐξ ἀρχῆς ἐπὶ τῶν ἀποστόλων θεμελιωθείσῃ ἐκκλησίᾳ ἀκολουθῆσαι, μὴ ταῖς ἡμετέραις ἐπινοίαις πειθώμεθα μηδὲ τὰ καλῶς εἰρημένα κακῶς ποιῶμεν, ἀλλ' ἀπορρίψαντες τὴν χλιαρὰν καὶ ἄπιστον γνώμην ἀναλά-

5 ἀποστόλου] πρβλ. Κορ. 2, η', 2,9. 8 Κορ. 2, ια', 27 || ἀγων. τ. καλὸν ἀγῶνα] πρβλ. Τιμ. 1, ς', 12. αὐτ. 2, δ', 7. 11 λέγει] πρβλ. Πράξ. κα', 59. κβ', 27—28. 13 ἐτίθ. π. τ. πόδας τῶν ἀποστόλων] πρβλ. Πράξ. δ', 32–35. 17 Ῥωμ. ιε', 25—27. 23 Κορ. 2, ια', 9. 25 πρβλ. Φιλιπ. δ', 15—16.

βωμεν τὴν ἀκρίβειαν τοῦ Εὐαγγελίου· οὕτω γὰρ δυνησόμεθα καὶ τοῖς τῶν πατέρων ἴχνεσιν ἀκολουθῆσαι καὶ τῆς ἐπιστήμης τοῦ κοινοβίου μηδέποτε ἀποστῆναι καὶ ἐν ἀληθείᾳ ἀποτάξασθαι τούτῳ τῷ κόσμῳ. καλὸν δὲ καὶ ἐνταῦθα λόγου ἁγίων πατέρων ἐπιμνησθῆναι. φέρεται τοίνυν τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου πρός τινα συγκλητικὸν χλιαρῶς ἀποταξάμενον καὶ παρακατασχόντα τινὰ τῶν ἰδίων χρημάτων ῥῆμα τοιοῦτον· "Καὶ τὸν συγκλητικὸν ἀπώλεσας καὶ μοναχὸν οὐκ ἐποίησας". χρεία τοίνυν ἡμῖν πάσῃ σπουδῇ ἐκκόπτειν ἐκ τῆς ἡμετέρας ψυχῆς τὴν ῥίζαν πάντων τῶν κακῶν, ἥτις ἐστὶν ἡ φιλαργυρία, ἀσφαλῶς γινώσκουσιν, ὅτι μενούσης τῆς ῥίζης εὐχερῶς οἱ κλάδοι φύονται, τὴν δὲ ἀρετὴν ταύτην κατορθῶσαι δύσκολον μὴ ἐν κοινοβίῳ διάγοντας· ἐν αὐτῷ γὰρ καὶ περὶ αὐτῶν τῶν ἀναγκαίων χρειῶν ἀμεριμνοῦμεν. τὴν κατάκρισιν Ἀνανίου τοίνυν καὶ Σαπφείρης πρὸ ὀφθαλμῶν ἔχοντες φρίξωμεν καταλιμπάνειν ἑαυτοῖς τι τῆς παλαιᾶς περιουσίας· ὁμοίως τοῦ Γιεζῆ φοβηθῶμεν τὸ παράδειγμα, τοῦ διὰ τὴν φιλαργυρίαν αἰωνίᾳ λέπρᾳ παραδοθέντος, καὶ φυλαξώμεθα μὴ συναθροίζειν χρήματα ἑαυτοῖς, ἅπερ οὐδὲ ἐν τῷ κόσμῳ πολλάκις εἴχομεν, ἔτι μὴν τοῦ Ἰούδα λογιζόμενοι τὴν δι' ἀγχόνης τελευτήν. φοβηθῶμεν τοίνυν τι, ὧν ἀποτασσόμενοι κατεφρονήσαμεν· ἐπὶ πᾶσι τούτοις πρὸ ὀφθαλμῶν ἔχωμεν τὸ τοῦ θανάτου ἄδηλον, μή ποτε ἐν ὥρᾳ, ᾗ οὐ προσδοκῶμεν, ἔλθῃ ὁ κύριος ἡμῶν καὶ εὕρῃ ἐσπιλωμένον τῇ φιλαργυρίᾳ τὸ ἡμέτερον συνειδός, καὶ ἐρεῖ ἡμῖν ἅπερ ἐν τῷ Εὐαγγελίῳ ἐρρέθη τῷ πλουσίῳ ἐκείνῳ· "τὴν ψυχήν σου αἴρουσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται"; ἰτέον δὲ ὅθεν ἐξέβημεν. ἀριστήσαντας οὖν καὶ τὴν ἐξ ἔθους εὐχαριστίαν εἰπόντας καὶ ἀναστάντας ψάλλειν δέον τὴν κατὰ τύπον ἀκολουθίαν μετὰ τῆς εὐχῆς καὶ οὕτως πρὸς τὰς ἑαυτῶν ἀπιέναι κέλλας· καὶ κατὰ τὸ δεῖπνον δέ, εἴ τις βουλόμενος δειπνῆσαι ὑστερήσει τῆς εὐχαριστίας, τῷ ὁμοίῳ ὑποπεσεῖται ἐπιτιμίῳ τοῦ κατὰ τὸ ἄριστον ὑστερήσαντος, ἐρωτώμενος δηλαδή, καὶ τὴν αἰτίαν μὴ ἔχοντος εὔλογον. ὁ μέντοι δι' ἐγκράτειαν μὴ εἰσιὼν εἰς τὸ δεῖπνον ἀνένοχος. ἄρτος τοίνυν ὑμῖν δειπνοῦσι παρατεθήσεται, καὶ οὗτος βραχύς· ἂν δέ τινες καὶ μικραὶ εἶεν ὀπῶραι, κατὰ γνώμην τοῦ προεστῶτος καὶ τούτων εὐχαρίστως μεταληπτέον. τὸ μέντοι πόμα μετὰ τοῦ μείζονος δοθήσεται κρασοβολίου κατὰ τὸν τύπον. εἰ μὲν οὖν ἑορτή τις παρά τινος τῶν ἀδελφῶν ἑορταζομένη τύχῃ, εἰδήσει τοῦ προεστῶτος οὐ τοῦτον φυλακτέον ἐν τῷ δείπνῳ τὸν κανόνα, ἀλλ' ὡς ἔσται τῷ ἑορτάζοντι βουλητόν, οὕτω δεῖ καὶ ποιεῖν.

17 κ ῶ δ. φοβ. τοίνυν τί ὧν ἀποτασσόμενοι κτλ.] φράσις δυσνόητος. 21 πρβλ. Λουκ. ιβ', 20. 22/33 ἰτέον δὲ ὅθεν — δεῖ ποιεῖν] πρβλ. τυπικὸν Εὐεργέτιδος παρὰ τῷ Дмитріевскій, σ. 626—627, § θ'

κε'. ***Περὶ τοῦ μὴ χρῆναι ἀφυλάκτως τοῖς τυχοῦσι συνδιατρίβειν ἢ ὁμιλεῖν.*** — Καὶ τοῦτο δὲ ὑμῖν γινώσκειν καλὸν καὶ λίαν ἐπωφελές, καθὼς παρὰ τῶν ἁγίων ἐμάθομεν καὶ ἡ πεῖρα αὐτὴ ἡμᾶς ἐδίδαξε, τὸ μὴ πᾶσιν ἀνθρώποις ἀφυλάκτως συνδιατρίβειν μηδὲ καθῆσθαι μετ' αὐτῶν ἐν ταῖς ἑστιάσεσιν ὑμῶν, μήτε ἔσωθεν τῆς μονῆς μήτε ἔξωθεν, κἂν ὅποι τύχοιτε ὄντες· καὶ μάρτυς τῶν ἐμῶν λόγων καὶ τῆς τοιαύτης παραδόσεως ὁ σοφὸς καὶ μέγας Βασίλειος λέγων οὕτωσί· "Θαρρεῖν δὲ μηδὲ πᾶσιν ἀνθρώποις ἑαυτοὺς μηδὲ ἀπογυμνοῦν μηδὲ ἀναλύπτειν ἀφυλάκτως προσήκει· πολλοὺς γὰρ ἐφέδρους ὁ κατὰ θεὸν πολιτευόμενος ἔχει, καὶ αὐτοὺς πολλάκις τοὺς οἰκειοτάτους τῆς ἑαυτοῦ ζωῆς κατασκόπους. προσήκει τοίνυν μὴ ἀβασανίστους ποιεῖσθαι τὰς πρὸς τοὺς ἔξωθεν συντυχίας· εἰ γὰρ ὁ σωτήρ, ὥς φησι τὸ Εὐαγγέλιον, οὐκ ἐπίστευε τοῖς πᾶσιν ἑαυτόν (αὐτὸς γάρ φησιν ὁ δίκαιος, ὁ τὸ πᾶν ἀρετή), πῶς ἡμεῖς οἱ ἁμαρτωλοί, οἱ εὐόλισθοι, οἱ μὴ κατὰ σκοπὸν ἀεὶ εὐοδούμενοι, τοῦτο μὲν διὰ τὴν φυσικὴν ἀσθένειαν, τοῦτο δὲ διὰ τὸν πονηρῶς καὶ ἀνενδότως ἡμῖν προσπαλαίοντα, ἑαυτοὺς ἐκδιδόντες περιέργοις ἀνθρώποις οὐχὶ πονηρὰς ἐπισπασόμεθα διαβολὰς καὶ ἑαυτοῖς τὰ σκάνδαλα καταπήξομεν; πολλάκις γὰρ οἱ πονηροὶ καὶ τὰ καλῶς πραττόμενα διαβάλλειν ἐπιχειροῦσιν, οὔτε ἀλοιδόρητα καταλιμπάνειν καὶ τὰ σμικρότατα τῶν πταισμάτων ἀνέχονται. χρὴ τοίνυν πεφυλαγμένας ποιεῖσθαι τὰς πρὸς τοὺς ἔξωθεν ὁμιλίας· συμβαίνει γὰρ αὐτοῖς καὶ ἕτερόν τι πάθος ὑπὸ λογισμῶν ἀπειρίας ἐπὶ τῶν ἀναχωρησάντων τοῦ βίου· ὑπολαμβάνουσι γὰρ οὐ τὴν γνώμην μετατεθεῖσθαι τῶν μεταθεμένων τὴν πολιτείαν, ἀλλὰ τὴν φύσιν αὐτοῖς τὴν ἀνθρωπίνην μετεσκευάσθαι· καὶ οὐ κρίνουσι τοὺς ἀσκητὰς ὡς ἐν πάθεσι μὲν τοῖς αὐτοῖς στρεφομένους, δυνάμει δὲ ψυχῆς καὶ ἀλλοτριώσει τῇ πρὸς τὰς ἡδονὰς ἐπικρατοῦντας αὐτῶν, ἀλλ' οἴονται πάντῃ ἐκποδὼν τὰ πάθη τῆς τοῦ σώματος αὐτῶν φύσεως γεγονέναι. ὅθεν δὴ καὶ εἴ τι μικρὸν ὁ πνευματικὸς διαμάρτοι τοῦ καλοῦ, εὐθέως ἅπαντες καὶ οἱ τὸ πρὶν θερμότατοι ἐπαινέται καὶ θαυμασταὶ πικροὶ κατήγοροι γίνονται καὶ διελέγχουσιν ἑαυτούς, οὐδὲ πρότερον ἀληθεῖς τοὺς ἐπαίνους ποιούμενοι· καθάπερ γὰρ ἀθλητοῦ τινος ὀλισθήσαντος εὐθὺς ὁ ἀντίπαλος κατεξανίσταται παίων καὶ καταβάλλων αὐτόν, οὕτως ἐκεῖνοι, ἐπὰν ἴδωσι τὸν ἐν ἀσκήσει ἀρετῆς διαζῶντα μικρὸν δὴ τοῦ καλοῦ διαμαρτήσαντα, ἐπιτίθενται ταῖς λοιδορίαις καὶ ταῖς διαβολαῖς ὥσπερ τοξεύμασι βάλλοντες, οὐ λογιζόμενοι καθ' ἑαυτούς, ὅτι αὐτοὶ μὲν ἐφ' ἑκάστης ἡμέρας μυρίοις τιτρώσκονται τοῖς βέλεσι τῶν παθῶν, οἱ δέ γε τῆς εὐσεβείας ἀγωνισταί, καίπερ ὑπὸ τῶν ὁμοίων πολιορκούμενοι παθῶν, ἢ μικρά τινα ἢ οὐδὲν πολλάκις ὑπὸ τούτων ἐπηρεάζονται, καὶ ταῦτα καὶ τὸν ἀνταγωνιστὴν

7 Βασίλειος] Constit. mon. cap. 6 (Migne τ. 31, σ. 1360—65). 12 πρβλ. Ἰωάν. β', 24.

σφοδρότερον ἤπερ ἐκεῖνοι δεχόμενοι, ἐπείπερ οὗτοι μὲν τὸν πρὸς ἐκεῖνον ἀγῶνα διωμολόγησαν καὶ μέγα τῷ πονηρῷ τὸ κατὰ τούτων ἄρασθαι νίκην, πάλιν δ' αὖ τὸ ἡττηθῆναι καιρίαν τὴν πληγὴν ἤνεγκεν, ὡς ὁλοσχερῶς καὶ πᾶσιν ἀρετῆς μέρεσιν ἡττηθέντι. ὁ δὲ πρὸς τοὺς τῷ βίῳ προσνείμαντας ἑαυτοὺς καταπεφρόνηται πόλεμος, τὸ μὲν ὅτι οἱ πλεῖστοι αὐτῶν αὐτομάτως ἐπὶ τὴν ἧτταν τρέχουσι, ταῖς ποικίλαις ἡδοναῖς καὶ ἐπιθυμίαις πρὸς τὴν ἁμαρτίαν δελεαζόμενοι καὶ ἄπονον αὐτῷ τὴν καθ' ἑαυτῶν νίκην παρέχοντες, τὸ δὲ ὅτι καὶ οἱ δοκοῦντες μικρὸν πρὸς τὴν ἁμαρτίαν ἀνταίρειν τοῖς ποικίλοις περισπασμοῖς εὐκόλως τῆς ἀγωνίας ἀφέλκονται, καὶ τὰ νῶτα στρέψαντες καὶ ἀνενδότως βαλλόμενοι πολλὰ καὶ αἰσχρὰ τῆς ἥττης τὰ στίγματα φέρουσιν. εἰ δέ πού τινες καὶ τὴν φορὰν τῶν βιωτικῶν περισπασμῶν βιασάμενοι ἀντιβλέψαι πρὸς τὸν τοῦ πονηροῦ δεδύνηνται πόλεμον, ἀλλ' οὔτε οὗτοι τοιούτους ἀγῶνας διήνεγκαν, ἀλλὰ πολλῷ καὶ ἀπείρῳ τῷ μέτρῳ τῶν ἀσκητῶν λειπομένους· ὁ μὲν γὰρ τῶν ἰδίων κρατεῖν ἐσπούδακε καὶ φιλονείκως διαγωνίζεται ἐν ταῖς περὶ τὰ παρόντα ἀμφισβητήσεσιν, ὁ δὲ καὶ τῶν δικαίων τοῖς ἀμφισβητοῦσι παραχωρεῖ πληρῶν τὸ 'Από τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. ὁ μὲν τυφθεὶς ἀντέτυψε καὶ ὁ ἀδικηθεὶς ἀντηδίκησε καὶ ταύτῃ τὸ ἴσον ἔχειν ὑπολαμβάνει, ὁ δὲ καρτερεῖ, μέχρις ὅτου κόρον τῷ ἀδικοῦντι καὶ τῷ παίοντι ἐμποιήσει· καὶ ὁ μὲν πασῶν τῶν τοῦ σώματος ἡδονῶν κρατεῖν ἐσπούδακεν, ὁ δὲ ἐν κόρῳ διατρίβει τῶν ἡδονῶν. πῶς οὖν καὶ ἀγωνιστὴς ὁ βιωτικὸς νομισθείη πρὸς τὸν ἀσκητὴν συγκρινόμενος; σκόπησον δὲ καὶ ἕτερον, ὅπερ πάσχειν σύνηθες τοῖς τῷ παρόντι βίῳ προσέχουσιν, ἡνίκα ἂν τὰ περὶ τοὺς ἀσκητὰς ἐξετάζωσιν· ἐπειδὰν γὰρ ὁ ἀσκητὴς ἐκ μακρᾶς τῆς ἐνδείας ὑπερείδειν τὸ σῶμα τροφῇ καλῶς ἔχειν ἡγήσηται, καθάπερ ἀσώματόν τε καὶ ἄυλον ἢ οὐ μετέχειν τροφῆς ἢ τῆς ἐλαχίστης θέλουσι. κἂν ἴδωσι τὸν ἀσκητὴν μὴ πάντῃ τοῦ σώματος ἀφειδῶς ἔχοντα, ἀλλὰ μέχρι γοῦν τινος τὴν ὑπάρχουσαν ἔνδειαν θεραπεύοντα, λοιδοροῦσι καὶ διαβάλλουσι καὶ πολυσίτους τινὰς καὶ λαιμάργους ἀποκαλοῦσι, τὴν κατὰ τοῦ ἑνὸς ὕβριν καὶ παροινίαν ἐπὶ τοὺς πάντας ἐκτείνοντες, οὐ λογιζόμενοι, ὅτι αὐτοὶ μὲν δίς, ἔνιοι δὲ καὶ αὐτῶν τρὶς τῆς ἡμέρας σιτούμενοι σιτίων τὰ παχύτερα καὶ πιότατα ἀπείρου τε ὄγκου κρεῶν ἐμφορούμενοι καὶ οἴνου πλῆθος ἄμετρον ἐγχεόμενοι οὕτως ἐπὶ τὰς τραπέζας κεχήνασιν, ὡς σκύλακες μετὰ μακρὰν ἔνδειαν τῶν δεσμῶν ἀφεθέντες. οἱ δέ γε κατὰ ἀλήθειαν ἀσκηταὶ τροφῇ τε τῇ ξηροτάτῃ κέχρηνται καὶ ὀλίγον ἐχούσῃ σὺν ἀσθενείᾳ τὸ τρόφιμον καὶ παρὰ πᾶσαν τὴν ἡμέραν ἅπαξ· οἵ γε τάξει διαζῆν ἐγνωκότες καὶ ταύτῃ μετρίως καὶ ἐπιστημόνως σιτούμενοι, εἰκότως περὶ τὸν καιρὸν τῆς σιτήσεως τὴν χρείαν μετ' εὐπαρ-

16 Λουκ. ς', 30.

ρησιάστου συνειδότος χορηγοῦσι τῷ σώματι. διά τοι τοῦτο προσήκει μὴ τὴν ἐλευθερίαν ἡμῶν κρίνεσθαι ὑπὸ ἄλλης συνειδήσεως· εἰ γὰρ ἡμεῖς χάριτι μετέχομεν, τί βλασφημούμεθα ὑπὲρ ὧν ἡμεῖς εὐχαριστοῦμεν, τὴν ἔνδειαν καὶ τὴν τῆς τροφῆς εὐτέλειαν μετὰ τοσαύτης εὐφροσύνης αἱρούμενοι, μεθ' ὅσης οὐδὲ ἐκεῖνοι τὴν ὑπέρλαμπρον καὶ πολυειδῆ τῆς πολυόψου τραπέζης παρασκευήν"; καὶ ταῦτα μὲν περὶ τοῦ μὴ συνδιάγειν τοῖς κοσμικοῖς, εἴπωμεν δὲ καὶ ἔτι περὶ τῆς καταστάσεως τῆς τραπέζης.

κς'. ***Περὶ τῆς ἐν τῇ τραπέζῃ εὐταξίας.*** — Εἰσιέναι τὸν ἐπιστημονάρχην δεῖ ἐν ταῖς δευτέραις ἑστιάσεσι καὶ ἐρευνᾶν, εἴ τινες ὀφείλοντες ἐν ταῖς πρώταις ἑστιαθῆναι παρελείφθησαν, ὅτου χάριν ἡ παράλειψις· καὶ εἰ μὲν ἡ πρόφασις εὔλογος, ἀναίτιοι· εἰ δὲ παράλογος, μὴ ἐᾶν αὐτοὺς ἐσθίειν ἐντελλόμεθα· οὐδὲ γὰρ οὐδὲ τοῦτο ἐπαινετόν, τὸ ἄνευ εὐλόγου αἰτίας ὑστερίζειν ἐν ταῖς ἑστιάσεσι· τῷτοι καὶ κολαστέον αὐτὸ καὶ ἀποτρεπτέον εἰς δύναμιν πάντοτε. ταῦτα μὲν ἐν ταῖς λιταῖς ἡμέραις τοῦ ἐνιαυτοῦ, ἐν δέ τοι τῶν ἁγίων νηστειῶν οὐχ οὕτως.

κζ'. ***Ὅτι κατὰ τὴν Δευτέραν τῆς πρώτης ἑβδομάδος οὐ χρὴ τραπέζης ὅλως φροντίζειν.*** — Καὶ πρό γε τῶν ἄλλων ἐν τῇ πρώτῃ καὶ μεγίστῃ, ἤτοι κατὰ τὴν πρώτην ἡμέραν, ἤγουν τὴν Δευτέραν τῆς πρώτης ἑβδομάδος, μήθ' ἱερουργητέον μήτε τραπέζης φροντιστέον ἢ βρώσεως· ταῖς μέντοι ἑξῆς ἡμέραις τῆς αὐτῆς ἑβδομάδος μετὰ τὴν ἀπόλυσιν τῆς ἀκολουθίας πάσης καὶ τραπέζης ἐπιμελητέον καὶ βρώσεως τὸν αἱρούμενον μεταληπτέον.

κη'. ***Περὶ τοῦ πῶς δεῖ κατὰ τὴν Τεσσαρακοστὴν διαιτᾶσθαι.*** — Ἥτις ἔσται ἐξ ὀσπρίων διαβρόχων ὕδατι καὶ ὠμῶν τινων λαχάνων καὶ ὀπωρῶν ἴσως, τὸ δὲ πόμα θερμὸν ὕδωρ κυμίνῳ συνηρτυμένον. οἱ δὲ ἀγωνιζόμενοι νηστεύουσι, καθὼς ἕκαστος σχοίη δυνάμεως, ἢ μέχρι τῆς Τετράδος ἢ καὶ ἕως τῆς Παρασκευῆς· τοῦτο γὰρ τὸ φάρμακον πολλὰ ὀνίνησι τοὺς κατ' ἐμὲ ἁμαρτωλούς. ταῦτα δὲ ἄχρι καὶ τοῦ Σαββάτου· ἐν τούτῳ δὲ ἑψητά τινα βρωτέον ὑμῖν ἐδέσματα δύο ἐλαίου μέτοχα, οἶνον δὲ ποτέον κρείττονα μετὰ τοῦ μείζονος ἐξαγίου διδόμενον διὰ τὴν ἑορτὴν τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου, ἣν ὁ προεστὼς ὀφείλει χρεωστικῶς ἐπιτελεῖν καὶ παρακαλεῖν ὑμᾶς. εἰ δέ τις ἕτερος ὑμῶν ἑορτάζειν ταύτην βούλοιτο, τούτῳ διδόαμεν ἄδειαν καὶ ὀστρακοδέρμοις τισὶ κατὰ τὴν τοῦ Σαββάτου ἡμέραν τὴν ἀδελφότητα ἑστιᾶν, ἰχθύσι δὲ οὔκουν χρησόμεθα. ἡ μὲν δὴ πρώτη ἑβδομὰς τῆς ἁγίας Τεσσαρακοστῆς οὕτως ὑμῖν ἀνυέσθω, τοῖς δὲ Σάββασι πᾶσι καὶ ταῖς Κυριακαῖς τῆς

2/3 πρβλ. Κορ. 1, ι', 29—30. 8 "Εἰσιέναι" κτλ. ἄχρι σ. 47,12 "γινέσθω κατὰ τὸ ἔθος] τὰ αὐτὰ ἐν τῷ τυπικῷ Εὐεργέτιδος, ἔνθ. ἀνωτ. σ. 627—629, § θ', ι'. 14 "ταῦτα μὲν" ἄχρι σ. 46,3 "ταῖς δέ γε Τρίταις"] πρβλ. αὐτόθι σ. 734 § ιη' τυπ. 'Ελεγμῶν. 17 ἤτοι] κ ὦ δ. ἧς.

αὐτῆς ἁγίας νηστείας δύο παρατιθέσθωσαν ὑμῖν ἐδέσματα μαγειρευτὰ μετέχοντα καὶ ἐλαίου· διδόσθω δὲ καὶ εἰς πόσιν τὸ σύνηθες μέγα κρασοβόλιον· τὸ δ' αὐτὸ γινέσθω κἀν τῇ Πέμπτῃ τοῦ Μεγάλου Κανόνος. ταῖς δέ γε Τρίταις καὶ Πέμπταις ἄλλαις δύο μὲν ἐδέσματα παρατεθήσονται ὑμῖν μαγειρευτά, οὐ μὴν δὲ καὶ ἀμφότερα ἐλαίου μέτοχα, ἀλλ' ἢ μόνον τὸ ἕν· καὶ οἶνος δὲ τῷ ἐλάττονι ἐξαγίῳ μετρούμενος, ὅπερ ἐστὶ τοῦ μείζονος τὸ ἥμισυ· καὶ ταῦτα διὰ τὴν ἀσθένειαν ὑμῶν καὶ διὰ τὸν κόπον τῆς ἐκκλησίας καὶ τῶν ἐργασιῶν ὑμῶν, ἐπεὶ ὁ πεντηκοστὸς κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου αὐταῖς λέξεσιν οὕτωσὶ λέγει· " Ὅτι οὐ δεῖ ἐν τῇ Τεσσαρακοστῇ τῆς ὑστεραίας ἑβδομάδος τὴν Πέμπτην λύειν καὶ ὅλην τὴν Τεσσαρακοστὴν ἀτιμάζειν, ἀλλὰ δεῖ πᾶσαν τὴν Τεσσαρακοστὴν νηστεύειν ξηροφαγοῦντας ". καὶ μακάριός ἐστιν, ὅστις ἀφ' ὑμῶν πληρωτὴς σπουδάσει γενέσθαι τοῦ τοιούτου κανόνος· τὸν γὰρ ἑκατοστὸν καρπὸν ἔφερε καὶ πληρωτὴς τῶν θεοῦ ἐντολῶν ἀναδείκνυται· καὶ ὁ βουλόμενος οὕτως νηστευέτω, ἔχων συνεργὸν καὶ τὴν εὐχὴν ἐμοῦ τοῦ ἁμαρτωλοῦ, μὴ κωλυόμενος παρά τινος. τὰς τοίνυν ἄλλας ἡμέρας, Δευτέρας φημὶ καὶ Τετράδας καὶ Παρασκευάς, οὔκουν ὑμᾶς μαγειρευτοῦ τινος οὔτε οἴνου μεταληπτέον, εἰ μὴ μόνον κυάμων ἑφθῶν καί τινων μικρῶν ὀπωρῶν, εἴπερ εἰσί, καὶ τοῦ κυμινάτου θερμοῦ ὕδατος. ἂν δὲ τούτων μιᾷ τύχῃ τὴν μνήμην συνδραμεῖν τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου ἢ τῶν Ἁγίων Τεσσαράκοντα, τιμητέον καὶ παρακλητέον ὑμᾶς οὐ κατὰ τὰς προλεχθείσας ἡμέρας, ἀλλ' ἢ μόνῳ οἴνῳ τῷ διὰ τοῦ μείζονος ἐξαγίου καὶ γρύτῃ· τὰς δ' ἄλλας πάσας ἡμέρας τῆς ἁγίας Τεσσαρακοστῆς οὐκ ἔξεστιν ὑμῖν ἰχθυοφαγῆσαι τὸ σύνολον, οὐδ' ἂν παράκλησις ἴσως πεμφθείη παρά τινος. ἂν τοίνυν αὐτὸς ἐκεῖνος ὁ παρακαλῶν ὑμᾶς μεθ' ὑμῶν ἑστιαθησόμενος ἴκοιτο, τότε δὴ καὶ τοῦτο καταλυτέον διὰ τὴν διάκρισιν. τὰ δέ γε ὀστρακόδερμα Σαββάτῳ καὶ Κυριακῇ ἐσθίομεν, ταῖς δ' ἄλλαις ἡμέραις οὐχί. τῆς ἑορτῆς δὲ τοῦ Εὐαγγελισμοῦ ἐνστάσης, λαμπρῶς ἑορταστέον εἰς δύναμιν καὶ ἰχθύων μεταληπτέον οἴκοθεν ὠψωνημένων καὶ διὰ τοῦ μείζονος κρασοβολίου· οὐ μόνον δὲ ἀλλὰ καὶ τὴν αὔριον, εἴπερ οὐκ ἔστι Δευτέρα ἢ Τετρὰς ἢ Παρασκευή, εἴ τι λείψανον τῆς χθεσινῆς τραπέζης ἐστί, βρωτέον ὑμῖν καὶ οἶνον ποτέον ὁμοίως· καὶ ἰχθύων δὲ μὴ παραλειφθέντων, τὰ ἐλαιώδη δύο ἐδέσματα τὸ τῆς ἑορτῆς ἐκπληρωτέον κατὰ τὰς λοιπὰς ἀπολελυμένας ἡμέρας. ἰχθυοφαγήσομεν δὲ ἐν τῇ τοιαύτῃ ἁγίᾳ ἑορτῇ, ὡς εἴρηται, ἂν μὴ τῇ ἁγίᾳ καὶ μεγάλῃ ἑβδο-

8 ὁ κῶδ. ἐπὶ τῆς ὥρας· «Σημ(είωσαι) διὰ τὴν ἁγίαν καὶ μεγάλην Πέμπτην». 9 Σύνταγμα, τ. 3, σ. 217. 15 " τὰς τοίνυν - - - Δευτέρας " ἄχρι σ. 47,13 " ὥρας τῆς νυκτὸς "] πρβλ. τυπ. μονῆς Μαχαιρᾶ (Acta, τ. 5, σ. 410—411). 21 κ ῶ δ. γρύττη. 26 " τῆς ἑορτῆς " μέχρι σ. 47,12 " ἐμποιοῦσα ἡμῖν "] πρβλ. τυπ. Ἐλεγμῶν σ. 735.

μάδι συνδράμῃ· τότε γὰρ τοῖς ὀστρακοδέρμοις χρησόμεθα, μᾶλλον δὲ παρακληθησόμεθα διὰ τὴν ἑορτήν, διότι τὴν ἁγίαν ἑβδομάδα ταύτην πᾶσαν ἐπίσης ταῖς τῆς πρώτης ἑβδομάδος ἡμέραις διάγειν εἰκός, ὀσπρίοις τισὶ διαβρόχοις καὶ λαχάνοις ὠμοῖς καὶ ὀπώραις ταῖς παρατυχούσαις ἀρκούμενοι καὶ τῷ κυμινάτῳ θερμῷ πόματι, καὶ νηστεύουσιν οἱ δυνάμενοι τελείως. εἰ δὲ ἡ προδηλωθεῖσα ἁγία ἑορτὴ ταύταις συνδράμῃ, τῶν ὀστρακοδέρμων, ὡς ἔφημεν, καὶ οὐκ ἰχθύων μεταληψόμεθα· οἴνόν τε πίωμεν τῷ μείζονι ἐξαγίῳ καὶ τὰ εἰκότα τῇ ἑορτῇ πάντα ποιήσομεν, κἂν τῇ μεγάλῃ Πέμπτῃ συνδράμῃ, κἂν τῇ μεγάλῃ Παρασκευῇ. τῇ μέντοι ἁγίᾳ Παρασκευῇ μηδόλως ἑστιατέον τοῖς δυναμένοις, ὁμοίως δὲ καὶ τῷ ἁγίῳ Σαββάτῳ, κἂν ἡ μνήμη τοῦ Εὐαγγελισμοῦ τῆς ἁγίας Θεοτόκου συνδράμῃ. ἀλλ' ἀπέστω πᾶσα μέριμνα περισπασμὸν ἐμποιοῦσα ἡμῖν· μόνος δὲ διακλυσμὸς γινέσθω κατὰ τὸ ἔθος ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ μετὰ τὴν ἁγίαν μετάληψιν, τῆς ἕκτης ὥρας τῆς νυκτὸς ἐνισταμένης τοῦ ἁγίου Σαββάτου· ταύτην γὰρ τὴν ὥραν παραδεδώκασιν ἡμῖν οἱ ἅγιοι πατέρες· ἔστι γὰρ κανὼν τῆς οἰκουμενικῆς ἕκτης συνόδου ὀγδοηκοστὸς ἕνατος λέγων οὕτως· " Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείαις καὶ προσευχαῖς καὶ κατανύξει καρδίας ἐπιτελεῖν χρὴ τοὺς πιστούς· περὶ μέσην δὲ τῆς κατὰ τὸ μέγα Σάββατον νυκτὸς ὥραν ἀπονηστίζεσθαι, τῶν θείων εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν διὰ τοῦ *Ὀψὲ σαββάτων* προσρήματος, τοῦ δὲ διὰ τοῦ *Ὄρθρου βαθέος* τὴν βραδυτῆτα τῆς νυκτὸς ἡμῖν ὑπογράφοντος ". καὶ οὕτως μὲν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ αἱ λοιπαὶ ἅγιαι σύνοδοι καὶ ἕτεροι διάφοροι πατέρες περὶ τούτου εἰρήκασιν· ἀφ' ὧν ἐστι καὶ ὁ μακάριος Διονύσιος ἀρχιεπίσκοπος Ἀλεξανδρείας· ἐκεῖνος γὰρ ἐπιστέλλων πρὸς Βασιλείδην τὸν ἀγαπητὸν αὐτοῦ ἀδελφὸν καὶ συλλειτουργὸν καὶ ἑρμηνεύων αὐτὸν περὶ τοῦ πότε δεῖ ἀπονηστίζεσθαι, ἀκριβῆ ὥραν ζητοῦντος τοῦ Βασιλείδη, μετὰ τῶν ἄλλων καὶ ταῦτά φησι· " Τούτων οὕτως ἐχόντων, τοῦτο τοῖς ἀκριβολογουμένοις ἀποφαινόμεθα, κατὰ ποίαν ὥραν ἢ καὶ ποῖον ἡμιώριον ἢ ὥρας τέταρτον ἐνάρχεσθαι προσήκει τῆς ἐπὶ τῇ τοῦ κυρίου ἡμῶν ἀναστάσει χαρᾶς· τοὺς μὲν λίαν ἐπιταχύνοντας καὶ πρὸ νυκτὸς ἤδη μεσούσης ἀνιέντας ὡς ὀλιγώρους καὶ ἀκρατεῖς μεμφόμεθα, παρ' ὀλίγον προκαταλύοντας τὸν δρόμον, λέγοντος ἀνδρὸς σοφοῦ οὐ μικρὸν βίῳ τὸ παρὰ μικρόν· τοὺς δὲ ἐφυστερίζοντας καὶ διαρκοῦντας ἐπὶ πλεῖστον καὶ μέχρι τετάρτης φυλακῆς ἐγκαρτεροῦντας, καθ' ἣν καὶ τοῖς πλέουσιν ὁ σωτὴρ ἡμῶν περιπατῶν ἐπὶ τῆς θαλάσσης ἐπεφάνη, ὡς γενναίους καὶ φιλο-

9 κ ῶ δ. ἐσθιατέον. 16 Σύνταγμα, τ. 2, σ. 512—513. 19 κ ῶ δ. σαββάτου. 26 Σύνταγμα, τ. 4, σ. 3—4 27 κ ῶ δ. ὥρ. εἴη ἢ ποῖον. 28 κ ῶ δ. τετάρτης — ἐπὶ τοῦ — ἀναστάσεως. 30 κ ῶ δ. προσκαταλύοντας.

πόνους ἀποδεξόμεθα· τοῖς δὲ μεταξύ, ὡς ἐκινήθησαν ἢ καὶ ὡς ἡδυνήθησαν, ἀναπαυσαμένοις μὴ πάνυ διοχλῶμεν. ἐπειδὴ δὲ καὶ τὰς ἓξ τῶν νηστειῶν ἡμέρας ἴσως μηδὲ ὁμοίως πάντες ἀναμένουσιν, ἀλλ' οἱ μὲν καὶ πάσας ὑπερτιθέασιν ἄσιτοι διατελοῦντες, οἱ δὲ δύο, οἱ δὲ τρεῖς, οἱ δὲ τέσσαρας, οἱ δὲ (οὐδε)μίαν, τοῖς μὲν πάνυ διαπονηθεῖσιν ἐν ταῖς ὑπερθέσεσιν, εἶτα ἀποκαμοῦσι καὶ μόνον οὐκ ἐκλείπουσι, συγγνώμη τῆς ταχυτέρας γεύσεως· εἰ δέ τινες οὐχ ὅπως οὐχ ὑπερτιθέμενοι, ἀλλὰ μηδὲ νηστεύσαντες, ἀλλὰ καὶ τρυφήσαντες τὰς προαγούσας τέσσαρας, εἶτα ἐλθόντες ἐπὶ τὰς τελευταίας δύο καὶ μόνας αὐτὰς ὑπερτιθέντες, τήν τε Παρασκευὴν καὶ τὸ Σάββατον, μέγα τι καὶ λαμπρὸν ποιεῖν νομίζουσιν, ἂν μέχρι τῆς ἕω διαμείνωσιν, οὐκ οἶμαι τὴν ἴσην ἄθλησιν αὐτοὺς πεποιῆσθαι τοῖς τὰς πλείονας ἡμέρας προησκηκόσι". καὶ ταῦτα μέν φησιν ὁ Διονύσιος· εἰς δὲ τὰς Διατάξεις οἱ ἅγιοι ἀπόστολοι ἕως ἀλεκτοροφωνίας νηστεύειν νομοθετοῦσιν· ἐκεῖνοι γὰρ μετὰ τῶν ἄλλων καὶ τάδε φασίν· "Τὰς ἡμέρας τῶν τοῦ κυρίου ἑορτῶν φυλάσσετε, καὶ πρώτην μὲν τὴν γενέθλιον, μεθ' ἣν τὴν ἐπιφάνειον· εἶτα τὴν νηστείαν τῆς Τεσσαρακοστῆς μνήμην περιέχουσαν τῆς τοῦ κυρίου πολιτείας καὶ νομοθεσίας. ἐπιτελείσθω δὲ ἡ νηστεία αὕτη πρὸ τῆς νηστείας τοῦ Πάσχα, ἀρχομένης μὲν ἀπὸ τῆς Δευτέρας, πληρουμένης δὲ εἰς Παρασκευήν· μεθ' ἃς ἀπονηστεύσαντες ἄρχεσθε τῆς ἁγίας τοῦ Πάσχα ἑβδομάδος, νηστεύοντες περὶ τῶν ἀπολλυμένων Ἰουδαίων· οὕτως γὰρ ὁ κύριος παρήγγειλεν ἡμῖν νηστεύειν τὰς ἓξ ἡμέρας ταύτας διὰ τὴν τῶν Ἰουδαίων παρανομίαν, πενθεῖν αὐτοὺς παρακελευσάμενος ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν· καὶ γὰρ αὐτὸς αὐτοῖς ἐπεδάκρυσεν. ἐν δὲ ταῖς ἡμέραις τοῦ Πάσχα νηστεύετε ἀρχόμενοι ἀπὸ τῆς Δευτέρας μέχρι τοῦ Σαββάτου ἡμέρας ἕξ, μόνῳ χρώμενοι ἄρτῳ καὶ λαχάνοις καὶ ὕδατι· ἡμέραι γάρ εἰσι πένθους καὶ οὐχ ἑορτῆς. αὐτὸ δὲ νηστεύετε τὸ Σάββατον, οὐχ ὅτι δεῖ τὸ Σάββατον νηστεύειν κατάπαυσιν δημιουργίας ὑπάρχον, ἀλλ' ὅτι κἀκείνῳ μόνῳ χρὴ νηστεύειν, τοῦ δημιουργοῦ ἐν αὐτῷ ἔτι ὑπὸ γῆν ὄντος· ἐν αὐτῇ γὰρ αὐτῶν τῇ ἑορτῇ κατέσχον τὸν κύριον, ὅπως πληρωθῇ τὸ Ἔθεντο τὰ σημεῖα αὐτῶν ἐν μέσῳ τῆς ἑορτῆς αὐτῶν καὶ οὐκ ἔγνωσαν. τὴν μέντοι Παρασκευὴν καὶ τὸ Σάββατον ὁλόκληρον νηστεύετε μέχρις ἀλεκτοροφωνίας νυκτός. εἰ δέ τις ἀδυνατεῖ τὰς δύο φυλάττειν ὁμοῦ, φυλαττέσθω κἂν τὸ Σάββατον· λέγει γὰρ καὶ ὁ κύριος περὶ αὐτοῦ· Ὅταν ἐπαρθῇ ὁ νυμφίος ἀπ' αὐτῶν, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. ἐν ταύταις οὖν ἤρθη ἀφ' ἡμῶν ὑπὸ τῶν παρανόμων Ἰουδαίων καὶ τῷ σταυρῷ προσεπάγη. διὸ

2 κῶδ. διοχλοῦμεν. 6 κῶδ. ἐλλείπουσι. 14 Constit. s. apost. l. v, cap. 13, 15, 18—20. Pitra Juris eccles. graec. historia et monumenta, τ. 1, σ. 278—9 284, 288—90, 294.

παραινοῦμεν καὶ ὑμῖν νηστεύειν ταύτας, ὡς καὶ ἡμεῖς νηστεύομεν. ἐν δὲ ταῖς λοιπαῖς πρὸ τῆς Παρασκευῆς κατὰ τὴν ἑσπέραν ἕκαστος ἐσθιέτω, ἢ ὅπως ἂν δύναιτο ἀπὸ τῆς Δευτέρας μέχρις ἀλεκτοροφωνίας ἀπονηστιζόμενοι ἐπιφωσκούσης μιᾶς Σαββάτων, ἥτις ἐστὶ Κυριακὴ ἀπὸ ἑσπέρας ἕως ἀλεκτοροφωνίας, ἀγρυπνοῦντες καὶ προσευχόμενοι καὶ ἀναγινώσκοντες τὸν νόμον καὶ τοὺς προφήτας καὶ τοὺς ψαλμοὺς μέχρις ἀλεκτρυόνων κραυγῆς. καὶ παυσάμενοι τοῦ πένθους ὑμῶν δεήθητε τοῦ θεοῦ ἐπιστραφῆναι τὸν Ἰσραὴλ καὶ λαβεῖν αὐτὸν μετανοίας τόπον καὶ τῆς ἀσεβείας ἄφεσιν· καὶ γὰρ ὁ Πιλάτος νιψάμενος τὰς χεῖρας εἶπεν· Ἀθῶός εἰμι ἐκ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. ὁ δὲ Ἰσραὴλ ἐπεβόησε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν, καὶ οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. ἀναστάντος δὲ τοῦ κυρίου, προσενέγκατε τὴν θυσίαν ὑμῶν, περὶ ἧς ὑμῖν δι' ἡμῶν διετάξατο λέγων· Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. καὶ λοιπὸν ἀπονηστεύετε εὐφραινόμενοι καὶ ἑορτάζοντες, ὅτι ὁ ἀρραβὼν τῆς ἀναστάσεως ἡμῶν Ἰησοῦς Χριστὸς ἐγήγερται ἐκ νεκρῶν· καὶ τοῦτο ὑμῖν ἐστι νόμιμον αἰώνιον ἕως τῆς συντελείας, μέχρις ἂν ἔλθῃ ὁ κύριος". καὶ πάλιν ἀπὸ τῆς πρώτης Κυριακῆς ἀριθμήσαντες ἡμέρας τεσσαράκοντα ἑορτάσατε τὴν ἑορτὴν τῆς ἀναλήψεως τοῦ κυρίου, καὶ μετὰ ἡμέρας δέκα τῆς Ἀναλήψεως, ἥτις ἀπὸ τῆς πρώτης Κυριακῆς ἕκτη πεντηκοστὴ γίνεται, ἑορτὴ μεγάλη ὑμῖν ἔστω· ἐν αὐτῇ γὰρ ὥρᾳ τρίτῃ ἀπέστειλεν ἡμῖν ὁ κύριος τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. καὶ μετὰ τὸ ἑορτάσαι ὑμᾶς τὴν Πεντηκοστὴν ἑορτάσατε ἑβδομάδα καὶ μετ' ἐκείνην νηστεύσατε· δίκαιον γὰρ καὶ εὐφρανθῆναι ἐπὶ τῇ ἐκ θεοῦ δωρεᾷ καὶ νηστεῦσαι μετὰ τὴν ἄνεσιν· καὶ γὰρ καὶ Μωϋσῆς καὶ Ἠλίας ἐνήστευσαν ἡμέρας τεσσαράκοντα καὶ Δανιὴλ "ἑβδομάδας τρεῖς ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγε, καὶ κρέη καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα" αὐτοῦ. μετὰ δὲ τὴν νηστείαν ταύτην πᾶσαν Τετράδα καὶ Παρασκευὴν προστάσσομεν ὑμῖν νηστεύειν καὶ τὴν περίσσειαν ὑμῶν, ὡς εἴρηται, πένησι χορηγεῖν. τοῦτον μὲν δὴ τὸν τρόπον ἡ ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ δίαιτα τῶν τροφῶν ὑμῶν ἐχέτω, τῆς περὶ τῶν ἀσθενούντων φροντίδος τῇ διακρίσει τοῦ προεστῶτος ἀνατεθείσης. ἀμέλει γοῦν, τὰ δὲ τῆς τῶν ἁγίων Ἀποστόλων αὐτίκα δὴ τυπωθήσεται.

κθ'. *Περὶ τῆς τεσσαρακοστῆς τῶν ἁγίων Ἀποστόλων.* — Μετὰ τὸ τελεσθῆναι τὴν πᾶσαν ἀκολουθίαν τῶν τε ὡρῶν καὶ τῆς θείας ἱερουργίας, ὡς τὸ

23 Μωυσῆς] πρβλ. Ἐξοδ. λδ', 28 ‖ Ἠλίας] πρβλ. Βασιλ. 3, ιθ', 8. 24 πρβλ. Δαν. ι', 2—3. 27 "τοῦτον μὲν δή" μέχρι σ. 50,μ "Ἀλληλούια ψάλλομεν"] ἴδε ταῦτα καὶ ἐν τῷ τυπικῷ Εὐεργέτιδος ἔνθ. ἀν. σ. 629—630, § ι'. 30 "τὰ δὲ τῆς τῶν ἁγίων" μέχρι σ. 50,α "ἑξαγίου"] πρβλ. τυπ. Ἐλεημῶν αὐτόθι σ. 736.

Συναξάριον διέξεισι, καλείτω ὑμᾶς ἡ τράπεζα κατὰ τὸν ἀνωτέρω διαταγέντα τύπον, ἑβδόμης ὥρας ἐνισταμένης, ἐν ᾗ καὶ δύο ἐδέσματα σὺν ἐλαίῳ ἑψητὰ ὑμῖν ἐσθιέσθω τῇ Τρίτῃ καὶ τῇ Πέμπτῃ καὶ οἶνος πινέσθω ὁ τοῦ μείζονος ἐξαγίου ἐν τῇ ὥρᾳ τοῦ ἀρίστου. οὐ μέντοι γε ἰχθυοφαγήσομεν οἴκοθεν· ἂν δέ τις εἴη παράκλησις, μεταληπτέον εὐχαριστοῦντας· ἐν γὰρ ταῖς δυσὶ ταύταις ἥττοσι τεσσαρακοσταῖς τοῦτο κωλύειν οὐ δίκαιον.

λ'. ***Περὶ τῆς τεσσαρακοστῆς τῶν Χριστουγέννων.*** — Καὶ ἡ τῶν ἁγίων δὲ Χριστουγέννων τεσσαρακοστὴ ὁμοία ἔσται τῇ τῶν ἁγίων Ἀποστόλων ἔν τε βρώσεσι καὶ πόσεσι, μετὰ τὸ πληρωθῆναι δηλαδὴ πᾶσαν ἀκολουθίαν, κατὰ τὸ Συναξάριον, δύο τούτοις μόνοις παραλλάττουσα, ὥστε μὴ καθ' ἑκάστην ἱερουργεῖν, ὁπότε καὶ νηστεία ἄγοιτο, οὐ γὰρ ἀρκεῖ ἡ ἡμέρα, μικρά τις οὖσα, καὶ τὸ ἅπαξ ἑστιᾶσθαι· ἑνάτη γὰρ ὥρα τὴν ἑστίασιν ὑμῖν παραθήσει, νηστείας ἀγομένης, ὡς εἴρηται. νηστεία δὲ εἴη πάντως ἡ Δευτέρα καὶ ἡ Τετρὰς καὶ ἡ Παρασκευή, ἐν αἷς καὶ Ἀλληλούια ψάλλομεν.

λα'. ***Περὶ τῆς νηστείας τῆς Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου.*** — Ὁμοίως καὶ περὶ τῆς νηστείας τῆς Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου δεῖ ἡμᾶς εἰπεῖν, ὅτι παρελάβομεν ταύτην νηστεύειν ἀπ' ἀρχῆς Αὐγούστου ἄχρι τῆς αὐτῆς ἡμέρας τῆς ἁγίας Θεοτόκου, μήτε τυρὸν μήτε ᾠὸν μήτε ὀψάριον ἐσθίοντες, ἐκ τοῦ Συνοδικοῦ τῆς Ἑνώσεως ἐν τῷ ἐπιτιμίῳ τῶν τριγάμων· ὁμοίως καὶ ἀπὸ λόγου Ἰωάννου μητροπολίτου Νικαίας κατὰ Ἀρμενίων· ἀριθμεῖ γὰρ πάσας τὰς νηστείας καὶ ἔγκειται καὶ αὕτη μετὰ τῶν λοιπῶν νηστειῶν τῶν παρὰ τῶν ἁγίων πατέρων παραδοθεισῶν. ὑμεῖς δὲ καταλύσατε ἐν ταύτῃ τῇ νηστείᾳ τὰ Σάββατα καὶ ταῖς Κυριακαῖς ἐν ἰχθύσι καὶ μόνοις διὰ τὴν ἀσθένειαν ὑμῶν. οὕτω οὖν καὶ ταῦτα ἐχέτω.

λβ'. ***Ὅτι χρὴ πάσας μὲν τὰς τοῦ ἁγίου Προδρόμου ἑορτὰς λαμπρῶς ἑορτάζεσθαι, λαμπρότερον δὲ τὴν Ἀποτομήν.*** — Πᾶσαι μὲν οὖν αἱ θεῖαί τε καὶ δεσποτικαὶ ἑορταὶ τοῦ δεσπότου ἡμῶν, τοῦ τιμίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, ἑορταζέσθωσαν ὑμῖν τῶν ἄλλων παρεκβατικώτερον, ἔν τε φωταψίαις φημὶ καὶ ψαλμῳδίαις καὶ αὐταῖς δὴ ταῖς ὑμῶν ἑστιάσεσιν· ἡ δέ γε τῆς αὐτοῦ μεταστάσεως ἑορτή, ἣν δὴ καὶ Ἀποτομὴν καλοῦμεν, λαμπρῶς ὑμῖν ἑορταζέσθω καὶ πολυτελῶς· ἑορτὴ γὰρ ἑορτῶν καὶ πανήγυρις πανηγύρεων ἔσται· ἐν ᾗ καὶ διάδοσιν ἐν τῷ πυλῶνι γίνεσθαι ἐντελλόμεθα, καθόσον ἄρα δυνάμεθα καὶ ἡ χεὶρ ἡμῶν εὐποροίη. οὐ μόνον δὲ τοῦτο ἐντέλλομαι τοῖς ἠγαπημένοις μου ἀδελφοῖς, ἀλλὰ καὶ τὸ ἀσκεπάστους ψάλλειν πᾶσαν τὴν

7/14 Καὶ ἡ τῶν — ψάλλομεν] πρβλ. τυπ. Ἐλεγμῶν αὐτόθι σ. 736. 19 Συνοδικοῦ τῆς Ἑνώσεως = To-mus Unionis, cap. β'. *Zachariae*, Jus graeco-romanum, τ. 3, σ. 232. 26/33 Πᾶσαι μὲν οὖν — εὐποροίη] πρβλ. τυπικὸν Εὐεργέτιδος ἔνθ. ἀν. σ. 630, § ια'.

ἀδελφότητα ἐν τῇ τοιαύτῃ ἑορτῇ τὸν Ἄμωμον, κρατοῦντας καὶ κηροὺς ἁπτομένους μετὰ φόβου θεοῦ καὶ προσοχῆς πολλῆς, ὅπως καὶ αὐτὸς ὁ ἔνδοξος πρόδρομος καὶ βαπτιστὴς τοῦ σωτῆρος ἡμῶν, συμπαρῇ μεθ' ὑμῶν τῇ δοξολογίᾳ καὶ ὑμνήσει αὐτοῦ. τὴν δὲ ἀκολουθίαν τῆς τοιαύτης ἑορτῆς παρακαλῶ ὑμᾶς ψάλλειν ἄχρι καὶ αὐτῆς τῆς πέμπτης τοῦ Σεπτεμβρίου μηνός.

λγ'. ***Περὶ τοῦ αὐτοσέσποτον εἶναι τὴν μονήν.*** — Ἐντελλόμεθα οὖν πᾶσιν ἀπὸ κυρίου θεοῦ παντοκράτορος ἐλευθέραν εἶναι τὴν ἁγίαν ταύτην μονὴν ἀπὸ πάντων, αὐτοδέσποτον καὶ ἰδιοδέσποτον καὶ μηδέ τισιν ὑποκειμένην δικαίοις, βασιλικοῖς τυχὸν ἢ ἐκκλησιαστικοῖς ἢ προσωπικοῖς, ἀλλ' ὑπὸ μόνου τοῦ παναγίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ τῆς τοῦ παμμάκαρος καὶ ἁγίου πατρὸς ἡμῶν εὐχῆς καὶ τοῦ καθηγουμενεύοντος ἐν αὐτῇ ἐφορᾶσθαί τε καὶ διιθύνεσθαι καὶ κυβερνᾶσθαι καὶ ἄγεσθαι. εἰ δὲ καὶ τις βουληθείη ποτὲ ἐν οἱῳδήποτε χρόνῳ καθ' οἷον δή τινα τρόπον καταδουλώσασθαι ταύτην, ἢ ὑπ' ἐξουσίαν τινὸς ποιήσασθαι, κἂν βασιλεὺς ᾖ, κἂν πατριάρχης, κἂν ἄλλος τις τῶν ἐκκλησιαστικῶν ἢ συγκλητικῶν, κἂν αὐτὸς ὁ ταύτης προεστὼς ἢ οἰκονομῶν, ἤ τις ἁπλῶς τῶν ἐνταῦθα ἀδελφῶν ἐξ ἐπηρείας δαιμονικῆς κεκολασμένος, οὐ μόνον ἔνοχος ἔσται τῷ θείῳ σώματι καὶ αἵματι τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῷ ἁγίῳ Ἰωάννῃ καὶ βαπτιστῇ αὐτοῦ καὶ δεσπότῃ ἡμῶν, ἀλλὰ καὶ ἀνάθεμα ἔστω, καθὼς φησιν ὁ θεῖος ἀπόστολος, καὶ τῆς ἀρᾶς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων θεοφόρων πατέρων κληρονόμος γένοιτο καὶ τῷ προδότῃ σύγκληρος Ἰούδᾳ καὶ τοῖς "Ἄρον, ἄρον, σταύρωσον αὐτὸν καὶ τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν" κεκραγόσι συναρίθμιος· διότι οἱ κατὰ καιροὺς χαριστικάριοι εἰς τὸ μηδὲν ἐποίησαν τὴν τοιαύτην μονήν, μεγάλην καὶ περιφανῆ ποτε οὖσαν καὶ περίβλεπτον ἄχρι τῶν ἑκατὸν ἑβδομήκοντα μοναχῶν, ὡς ἀκριβῶς παρὰ τῶν εἰδότων ἐμάθομεν, τῷ τότε χρόνῳ ἐνταῦθα ἀσκουμένων· ἀφ' ὧν ἐξῆλθον πατριάρχαι δύο κατὰ καιροὺς διαφόρους, Μηνᾶς καὶ Εὐτύχιος. καὶ ἕτεροι οὐκ ὀλίγοι φωστῆρες ἐνταῦθα ἔλαμψαν ἐξ αὐτῶν, ὧν τὰ τίμια λείψανα μέχρι τῆς δεῦρο ἰάσεις παντοίας ἀναβλύζουσιν· ἐπὶ γὰρ Λέοντος τοῦ μεγάλου βασιλέως, τοῦ πενθεροῦ Ζήνωνος καὶ Ἀναστασίου, ἀνηγέρθη ἡ τοιαύτη μονή. ὑμεῖς δὲ μόνην τὴν ἀναφορὰν τοῦ κατὰ καιροὺς πατριάρχου καὶ τὴν σφραγῖδα τοῦ ἡγουμένου, καθὼς καὶ τὸ παρὰ τοῦ ἀοιδίμου καὶ ἁγίου πατριάρχου κυροῦ Νικολάου ὑπόμνημα τῆς ἐλευθερίας ἡμῶν περιέχει, φυλάττετε ἀκριβῶς.

6/23 Ἐντελλόμεθα—συναρίθμιος] ταὐτὰ ἐν τῷ αὐτῷ τυπικῷ σ. 630—631 § ιβ'. 20 ἀπόστολος] πρβλ. Κορ. 1, ις', 22. 22 Ἰωάν. ιθ', 15. Ματθ' κζ', 25.

λδ'. ***Περὶ τῆς χειροτονίας τῶν διακονητῶν.*** — Χρήσιμον δ' ἂν ἔσται λοιπὸν καὶ περὶ τῆς χειροτονίας τῶν διακονητῶν ἐπιμνησθῆναι, ὧν πάντως πρώτη ἡ πρώτη ἔσται, ἡ τοῦ ἡγουμένου φημί. χρεὼν δὲ ἄρα καὶ πῶς αὐτὸν δεῖ χειροτονεῖσθαι διαγράψαι.

λε'. ***Περὶ τῆς χειροτονίας τοῦ ἡγουμένου.*** — Μετὰ τὸ ἐμὲ τὴν πρόσ- 5
καιρον ταύτην ἐκμετρῆσαι ζωὴν συνδιασκεψάμενος ὁ ὑπ' ἐμοῦ καταλειφθεὶς προεστὼς μετ' ὀλίγων τινῶν ἐξ ὑμῶν, ὧν δήπου πάντως ὑπάρχει τὸ τῶν ἄλλων προέχειν ἔν τε βίῳ καὶ τρόπῳ καὶ λόγῳ καὶ ἤθει καὶ τάξει καὶ τῇ πνευματικῇ καταστάσει καὶ διαγωγῇ, ἐκλεγέσθω τὸν πάντων προέχοντα ἐν πᾶσι τούτοις καὶ εἰς οἰκονόμον προχειριζέσθω· προχειριζέσθω δὲ τρόπον τοι- 10
όνδε. τοῦτον τὸν οἰκονόμον ἀπτώτως τὴν διακονίαν αὐτοῦ τελοῦντα καὶ θεῷ καὶ ὑμῖν δόκιμον ἀποφανθέντα, κρινόμενόν τε παρ' ὑμῶν εἰς ἡγουμενείαν ἐπιτήδειον, εἰ μὲν προγνοίη ὁ προεστὼς τὴν ἐνταῦθα αὐτοῦ πρὸς κύριον ἐκδημίαν, εἰς προστασίαν ὑμῶν ἀντικαταστήσοι, ἀρκούσης ἤδη τῆς ἐν τῇ οἰκονομίᾳ ἀδιαπτώτου ἐνεργείας αὐτοῦ εἰς δοκιμασίαν τε καὶ πρόκρισιν τῆς πνευ- 15
ματικῆς ἐν πᾶσιν, ὡς δεδήλωται, ἀνατροφῆς. εἰ δὲ μὴ προγνοὺς ὁ ἡγούμενος τελευτοίη, ἀλλ' ὑμεῖς οἱ πρόκριτοι τῶν ἄλλων δηλονότι καὶ εὐλαβέστεροι τοῦτον ἀποκαταστήσετε· εἶτ' αὖθις αὐτόν τε καὶ ὑμᾶς τὸν πάντων ὑμῶν κατ' ἀρετὴν διαφέροντα ἐκλέγειν τε καὶ εἰς οἰκονόμον ἀποκαθιστᾶν. εἰ μὲν οὖν ἄτρεπτος μένει ὁ οἰκονόμος τῆς ἀρετῆς ἐπιεικῶς ἀντεχόμενος, δι' ἣν καὶ 20
ταύτης ἠξιώθη τῆς τάξεως, ἀμετακίνητος ἔσται τῆς διακονίας καὶ ἀδιάπτωτος, μᾶλλον μὲν οὖν καὶ τῆς ἡγουμενείας ὡς ἄξιος ἐπιβήσεται. εἰ δ' ἀδόκιμόν τε καὶ ἀσύμφορον ὁ χρόνος αὐτὸν ἀπελέγξει, εἴη τε ἄλλος ὁ πᾶσι κομῶν τοῖς καλοῖς καὶ τὴν ἀρετὴν ἐκείνου κρείττων καὶ ἀδιάβλητος, αὐτὸς ἐκείνου πάντως προτιμηθήσεται καὶ εἰς τὴν οἰκονομίαν προβήσεται ἢ καὶ ἡγουμε- 25
νείαν· οὗτος δὲ μεταστήσεται καὶ πάλιν ὑποταγήσεται. ταῦτα γοῦν ζῶντος τοῦ ἡγουμένου καὶ ἀταράχως τὴν ὑμῶν ἀγάπην διακυβερνῶντος· εἰ δέ γε προαπέλθῃ μὲν ὁ ἡγούμενος, τὸν κακὸν τοῦτον οἰκονόμον μὴ μεταστήσας, ἔστι δὲ ὁ τούτου ὑπερτερῶν ἐν τοῖς κατορθώμασι καὶ τοῖς προκρίτοις ὑμῖν, οἷς καὶ τὸν ἡγούμενον χρᾶσθαι συμβούλοις εἰρήκαμεν, ἀρέσκων, ὁμογνωμονεῖτε 30
καὶ ὑμεῖς ἐπ' αὐτῷ καὶ σύμφωνοι γίνεσθε πάντες, προκρινέσθω τε παρ' ὑμῶν καὶ εἰς τὴν ἡγουμενείαν ἀπ' ἐντεῦθεν προβεβλήσθω καὶ μετ' αὐτοῦ φροντιστέον ὑμῖν ἑτέρου οἰκονόμου, τοῦ κρείττονος. εἰ δ', ὃ μὴ δῴη θεός,

1 Χρήσιμον δ' ἂν ἔσται λοιπὸν] οὕτω καὶ ἡ ἀρχὴ τοῦ ιγ' κεφαλαίου τοῦ τ. Εὐεργέτιδος, σ. 631. 5/10 Μετὰ τὸ ἐμὲ — τρόπον τοιόνδε] αὐτόθι σ. 632, § ιγ'. 11/17 τοῦτον — εὐλαβέστεροι] αὐτόθι σ. 633. 17 κ ῶ δ. τελευτώη. 19 "εἰ μὲν οὖν" μέχρι σ. 53,3 "βέλτιον"] ταὐτὰ ἐν τῷ τῆς Εὐεργέτιδος, σ. 634.

πρός τινας καὶ ὑμεῖς αὐτοὶ διαστάσεις καὶ διαφωνίας χωρήσοιτε, αὐτὸς ἔσται ὑμῶν προεστώς, αὐτὸς ὁ κακὸς οἰκονόμος, διὰ τὸ ἀθόρυβόν τε καὶ ἀστασίαστον· δύο γὰρ κακῶν προκειμένων, τὸ μὴ χεῖρον βέλτιον. εἰ μὲν οὖν ἑαυτοῦ ποτε γενόμενος τῶν προφανῶν κακῶν ἀπόσχοιτο, τῆς τε πρὸς τὰ κρείτ- 5
τω καὶ σωτηριώδη φερούσης ἅπτοιτο, ἔστω καὶ ἡγουμενευέτω, κἂν εἰ καὶ μικρὸν οὐκ εὐδοκιμῇ· εἰ δ' ὁ αὐτὸς εἴη ἔτι μὴ τῶν κακῶν ἀποσχόμενος, εἰ μὴ καὶ μᾶλλον αὐτοῖς ἐπεκτεινόμενος, ὑμεῖς δὲ εἰς ἕνα συνίοιτε καὶ ὁμογνωμονεῖτε, τὸν κρείττονα δηλονότι, τηνικαῦτα ἐκεῖνον μὲν τὸν ἀδόκιμον μετατιθέναι ἐντελλόμεθα τῆς προστασίας ὑμῶν, τὸν δὲ παρ' ὑμῶν ἐκλεγέντα 10 προβιβασθῆναι εἰς ἡγούμενον καὶ τὸν ἀπόβλητον, εἰ βούλοιτο, καθῆσθαι μὲν εἰς κελλίον τῆς μονῆς, δευτέρας δὲ ἀξιοῦσθαι στάσεώς τε καὶ ἕδρας τῷ ἡγουμένῳ, ἐν τῇ τραπέζῃ φημὶ καὶ ταῖς λοιπαῖς συνελεύσεσι, βρώσει τε καὶ πόσει καὶ λοιπῇ πάσῃ διαίτῃ τοῦ κοινοβίου ἀρκούμενον· ἐξιέναι μέντοι τῆς μονῆς καὶ ᾗ βουλητὸν αὐτῷ ἰέναι ἰδίῳ θελήματι οὐκ ἐπιτρέπομεν, μελήσει 15 δὲ ἄρα καὶ ἐπὶ τούτῳ τῷ προεστῶτι. ὑποτίθημι δὲ καὶ πᾶσιν ἁπλῶς ὑμῖν, ἀδελφοί, ἅμα τῷ προχειρισθῆναι ὑμῖν τὸν ἡγούμενον εἰσάγειν αὐτὸν τῷ ἁγιωτάτῳ πατριάρχῃ καὶ παρ' αὐτοῦ σφραγίζεσθαι, ὡς ἄνωθεν εἴρηται, εἶθ' οὕτως σπεύδειν τὰ τῶν ψυχῶν ὑμῶν αὐτῷ ἀνατιθέναι κινήματα πάντα καὶ τοὺς λογισμοὺς ὑμῶν τοὺς ψυχοβλαβεῖς ἐξομολογεῖσθαι, ἵν' ἐντεῦθεν αὐτίκα 20 τὴν πρὸς αὐτὸν σχέσιν τε ὑμῶν καὶ διάθεσιν ὁποία χαρακτηρίζοιτε. λογισμοὺς δὲ οὐ τοὺς προεξαγορευθέντας τοῖς προλαβοῦσι φαμέν, ἀλλὰ τοὺς ὁσημέραι καὶ ὥραι παρενοχλοῦντας ὑμᾶς· οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἀνθρώπους ὄντας ἡμᾶς μὴ καὶ λογίζεσθαί τι πονηρόν ποτε· κἂν μὴ ἀναβολῇ τὸ καλὸν ἤτε διδόντες, ὅπερ οὐ δεῖ, ἀλλὰ σὺν προθυμίᾳ πάσῃ καὶ σπουδῇ πρὸς τοῦ- 25 τον τρέχοιτε, ὡς ἂν ἦτε πάντες ἓν καὶ τὸ αὐτὸ φρονοῦντες, τὸ αὐτὸ λογιζόμενοι, ἐφ' ἑνὶ καὶ τῷ αὐτῷ ποιμένι ποιμαινόμενοί τε καὶ ὁδηγούμενοι· καὶ καθαπερεί τις σειρὰ χρυσῆ ἀλλήλοις συνδούμενοι ἀλλήλων τε περιέχεσθε καὶ εἰς ἓν συναρμολογεῖσθε σῶμα, ὑπὸ μιᾷ κεφαλῇ, κατὰ τὸν θεῖον ἀπόστολον, τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος.

30 λς'. ***Περὶ τοῦ μὴ χρῆναι τοὺς ἐν τῇ μονῇ μοναχοὺς ἑτέρῳ ἐξαγορεύειν, εἰ μὴ τῷ οἰκείῳ ἡγουμένῳ.*** — Εἰ δέ τις ὢν ἀκαμπὴς καὶ ἀμείλικτος, ἀτεράμων τε καὶ ἀνένδοτος, τῷ ἑαυτοῦ τε στοιχῶν θελήματι, μὴ βούλοιτο τὴν πρὸς τὸν προεστῶτα ἐξομολόγησιν ποιεῖσθαι, ἀλλ' ἄλλον ἑαυτοῦ καὶ οὐ τοῦτον ἐπιγράφοιτο πατέρα πνευματικὸν κἀκείνῳ τοὺς λογισμοὺς προσανατιθέ-

3/17 εἰ μὲν οὖν ἑαυτοῦ — προεστῶτι] τυπ. Εὐεργ. σ. 635. 15 "ὑποτίθημι" ἄχρι σ. 54,9 "ἀποσῴζοντες"] αὐτόθι σ. 636—637. 20 χαρακτηρίζοιτε K, κ ῶ δ. χαρακτηρίζοιτο. 28 ἀπόστολον] πρβλ. Ἐφεσ. δ', 14—16.

ναι διατείνοιτο, ἔξω που καὶ μακρὰν τῆς ἡμετέρας ποίμνης γινέσθω παρευθὺ διωκόμενος καὶ μηδὲ φειδὼ παρά τινος ἐχέτω μηδ' ἔλεον, ἀλλ' ὡς ἑαυτὸν ἀλλοτριῶν, οἷς ἄρα κακῶς, ὦ θεοῦ πάντα βλέποντες ὀφθαλμοί, κακῶς καὶ λίαν ἐπικινδύνως βεβούλευτο, ἀποσκορακιζέσθω τῆς μονῆς καὶ ἀλλοτριούσθω καὶ ξένος ἤτω τῆς ἡμετέρας μερίδος καὶ ξυναυλίας, διαίτης τε καὶ ὁμιλίας, ὡς πάσης ἀκαταστασίας καὶ ταραχῆς καὶ βλάβης αἴτιος οὐ τῆς τυχούσης γινόμενος. οὗτος μὲν δὴ οὕτως· ὑμεῖς δέ, ἵνα πρὸς ὑμᾶς καὶ πάλιν τρέψωμαι, εἴητέ μοι πᾶσαν τιμήν, πᾶσαν εὔνοιαν, πᾶσαν εὐλάβειαν καὶ ὑποταγὴν ἀδιάκριτον καὶ εὐπείθειαν πᾶσαν τῷ ἡγουμένῳ ὑμῶν ἀποσῴζοντες, πειθόμενοι τῷ ἁγίῳ ἀποστόλῳ λέγοντι· "Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ὑπὸ θεοῦ· αἱ δὲ οὖσαι ὑπὸ τοῦ θεοῦ τεταγμέναι εἰσίν. ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν, οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρῖμα λήψονται· οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν καλῶν ἔργων, ἀλλὰ τῶν κακῶν. θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς· θεοῦ γὰρ διάκονός ἐστι σοι εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· θεοῦ γὰρ διάκονός ἐστιν εἰς ὀργὴν ἔκδικος τῷ τὸ κακὸν πράσσοντι. διὸ ἀνάγκη ὑποτάσσεσθαι οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν". καὶ πάλιν φησίν· "Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ἐν κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς (καὶ) ἡγεῖσθαι αὐτοὺς ὑπὲρ ἐκ περισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν". καὶ πάλιν ὁ αὐτὸς λέγει· "Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες". ἀκούετε, ἀδελφοί, πῶς οἱ προεστῶτες ὑμῶν λόγον ἀποδοῦναι ὀφείλουσι τῷ θεῷ ὑπὲρ ἑνὸς ἑκάστου ὑμῶν; διά τοι τοῦτο ὁλοψύχως καὶ μετὰ προθυμίας ὑμῶν πάσης τὴν ὑπακοὴν αὐτοῖς ἐνδείκνυσθε καὶ εὐαπολόγητοι ἔσεσθε ἐν τῷ φοβερῷ βήματι τοῦ Χριστοῦ· ἀλλὰ καὶ πρὸς ἀλλήλους ἀγάπην, εἰρήνην, ὁμόνοιαν φυλάττοντες εἴητέ μοι, ἀλλήλων ὑπερκαιόμενοι, ἐκ φιλοστόργου γνώμης ἀλλήλους ὑποστηρίζοντες, νουθετοῦντες, παρακαλοῦντες, ἀνεχόμενοι ἀλλήλων καὶ ἁπλῶς εἰπεῖν πᾶν εἴ τι χρηστὸν εἴ τι σωτήριον εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος σπεύδοντες κατορθοῦν εἰς δύναμιν. "Χαίρετε ἐν κυρίῳ, χαίρετε· τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις· ὁ κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεὸν καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερ-

10 Ῥωμ. ιγ', 1—6. 15 αὐτῆς] κ ω δ. αὐτοῦ. 19 Θεσ. 1, ε', 12—13. 22 Ἑβρ. ιγ', 17. 26 εὐαπολόγητοι Κ, κ ω δ. ἀναπολόγητοι. 27/31 ἀλλὰ καὶ — εἰς δύναμιν] τυπικοῦ Εὐεργετίδος σ. 637, § ις'. 31 Φιλ. δ', 49.

έχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε· ἃ καὶ ἐμάθετε καὶ παρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν". καὶ σὺ δέ, ὦ πάτερ πνευματικὲ τῆς ἱερᾶς ταύτης ποίμνης καὶ ὁδηγέ, μέτριος ἔσο τοῖς ἀδελφοῖς, κηδεμονικὸς καὶ τὸ ὅλον πνευματικὴν αὐτοῖς ἀποσῴζων τὴν εὔνοιαν. ναί, παρακαλῶ, πάντων κήδου, πάντων φρόντιζε, ἀνέχου πάντων, ἀντέχου νουθετῶν, παρακαλῶν, διδάσκων, παραινῶν, νοσοῦντας ὑγιάζων, ἀσθενοῦντας ὑποστηρίζων, ὀλιγοψυχοῦντας παραμυθούμενος, ἁμαρτάνοντας ἐπιστρέφων, ἑβδομηκοντάκις ἑπτὰ συγχωρῶν κατὰ τὴν τοῦ κυρίου φωνήν· συμφέρει γὰρ αὐτὸν μιμουμένους τὸν κύριον συγκαταβατικοὺς ὑμᾶς κριθῆναι καὶ τῶν δεόντων τι, εἴ ποτε τύχῃ, παραλιμπάνοντας, ἢ τὴν ἄκραν φυλάττοντας δικαιοσύνην ὡς ἀσυμπαθεῖς καὶ μισαδέλφους κατακριθῆναι. καὶ ἵνα τἆλλα παρῶ, φησὶν ὁ μέγας Βασίλειος· "Καὶ αὐτὸς δὲ ὁ καθηγούμενος ὡς πατὴρ παίδων γνησίων ἐπιμελούμενος, ἐπισκέψεται τὴν καθ' ἑνὸς ἑκάστου χρείαν καὶ τὴν ἁρμόζουσαν κατὰ τὸ δυνατὸν εἰσάξει θεραπείαν καὶ ἐπιμέλειαν, καὶ τὸ κατὰ λήθην ἀσθενοῦν μέλος εἴτε σωματικῶς εἴτε ψυχικῶς μετὰ ἀγάπης καὶ τῆς πατρικῆς εὐνοίας διαβαστάσει". καὶ τοῦτο δέ σοι, ὦ πάτερ πνευματικέ, ἐντέλλομαι, τὸ καθ' ἑκάστην εἰσέρχεσθαι εἰς τὴν τράπεζαν καὶ ἐνώπιόν σου παρατιθέναι τὸν κελλάριον τῶν ἀδελφῶν τὰ βρώματα καὶ ἐπιτηρεῖν τὰ παρατιθέμενα τοῖς ἀδελφοῖς καὶ θεραπεύειν τοὺς ἀσθενοῦντας τῶν ἀδελφῶν, ὡς μέλος οἰκεῖον ὄντας δυσθεράπευτον. ὅτε δὲ τοῦτο ποιεῖς, γνώσῃ καὶ τὴν αἰτίαν τῆς τοιαύτης ἐντολῆς· ἀναγκαία γάρ ἐστι κατὰ πολὺ καὶ ὠφέλιμος. οὕτως δὲ πάντως ὑμῶν ἐχόντων, οὐκ ἔστιν ὁ τῷ ἡγουμενεύειν ἢ τῷ οἰκονομεῖν ἀναξίως ἐπιπηδῶν, χρόνους τυχὸν προβαλλόμενος, ἢ ἐνέργειαν, ἢ εὐγένειαν, ἢ ἀξίωμα, ἢ προσαγωγὴν κτημάτων τινῶν ἢ χρημάτων, ἀλλ' ἐκεῖνος ἔσται προτιμητέος ἐν τούτοις, ὁ παρὰ πάντων ὑμῶν τῶν εἰς βουλὴν καὶ διάσκεψιν τῷ ἡγουμένῳ προκεκριμένων καὶ αὐτοῦ δὴ τοῦ προεστῶτος ἐκλελεγμένος, κἂν ἐκ νέου τύχῃ ἀποκαρείς, κἂν ἰδιώτης καὶ τοῖς ἔξω πράγμασιν ἀφελής· οὐδεμία γὰρ βλάβη παρὰ τούτου τῇ μονῇ προσγενήσεται· δύναται γὰρ ὁ θεὸς καὶ ἀπὸ λίθων ἐγεῖραι τέκνα τῷ Ἀβραὰμ καὶ τυφλοῖς διδόναι σοφίαν καὶ λόγον ἀλόγοις ἐπιχορηγεῖν, ὅς γε καὶ πλέον ἐν τούτοις ἐπευδοκεῖ ἢ τοῖς

5 "καὶ σὺ δέ, ὦ πάτερ" ἄχρι σ. 56,13 "ἐν ἁγίῳ πνεύματι"] τυπ. Εὐεργ. σ. 637—639, § ζ', ιή'. 5/19 καὶ σὺ — διαβαστάσει] τυπικοῦ Μαχαιρᾶ § λ'. Acta, τ. 5, σ. 426. 11 πρβλ. Ματθ. ιή', 22. 15 Βασίλειος] Const. monast. cap. 29 (Migne τ. 31, σ. 1417). 31 δύναται: — Ἀβραὰμ] πρβλ. Λουκ. γ', 8. 32 τυφλοῖς δ. σοφίαν] πρβλ. Ψαλμ. ρμε', 8.

ἐγκαυχωμένοις τῇ ἑαυτῶν σοφίᾳ καὶ δυνάμει καὶ πλούτῳ καὶ εὐγενείᾳ. καὶ τούτων μάρτυς ὁ θεῖος ὄντως καὶ μέγας ἀπόστολος, ὁ ἅγιος Παῦλος, οὕτω διαρρήδην βοῶν· "Τὰ μωρὰ τοῦ κόσμου καὶ τὰ ἀσθενῆ καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ θεός, ἵνα τοὺς σοφοὺς καὶ δυνατοὺς καὶ ὑψηλοὺς καταισχύνῃ, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ". 5

λζ'. ***Περὶ τοῦ μὴ χρῆναι τὸν ἡγούμενον ἀνακρίνεσθαι ὑπὸ τῶν μοναχῶν περὶ εἰσόδων ἢ ἐξόδων τῆς μονῆς.*** — Οὐκ ἀνακρινοῦσιν οἱ ἀδελφοὶ τοὺς ἡγουμένους, οὐδὲ λόγον ποτὲ ἀπαιτήσουσιν, ἐφ' οἷς εἰσοδιάζουσί τε καὶ ἐξοδιάζουσιν· ἀνάξιον γὰρ τοῦτο καὶ βλαπτικὸν καὶ οὐκ ὀλίγην ἀποτίκτον τὴν ἀπιστίαν, διχόνοιάν τε καὶ ἀκαταστασίαν καί τι ἕτερον σκάνδαλον ἐμποιοῦν· ἀλλ' οὐδὲ αὐτοὶ οἱ καθηγούμενοι τοῖς συγγενέσιν ἑαυτῶν καὶ φίλοις χαριζόμενοι τὰ τῆς μονῆς ἀναλώσουσιν· ἔσονται γὰρ οὕτω ποιοῦντες τῶν θείων ἀμέτοχοι μυστηρίων ἐν ἁγίῳ πνεύματι, ἕως ἂν τοῦ τοιούτου ἀπόσχωνται. 10

λη'. ***Περὶ τοῦ ἀνεκποίητα εἶναι πάντα τὰ τῇ μονῇ ἀφιερωθέντα.*** — Ἀνεκποίητα εἶναι βουλόμεθα τὰ ἐπικτηθέντα ἡμῖν ἱερά τε σκεύη καὶ ἔπιπλα, θείας τε εἰκόνας καὶ βίβλους· περὶ γὰρ τῶν ἀκινήτων περιττόν ἐστι καὶ λέγειν. οὐ μόνον δὲ ἀνεκποίητα, ἀλλὰ καὶ παντελῶς ἀναφαίρετα καὶ παρὰ μηδενός ποτε τὸ σύνολον ὑφαιρούμενα, ὡς ἀναθήματα τῷ τιμίῳ προδρόμῳ καὶ βαπτιστῇ Ἰωάννῃ ἀφιερωθέντα· ἑτέραν γὰρ εὔλογον πρόφασιν τοῦ ὑφαίρεσιν τούτων ποιήσασθαι ἢ ἀπόκτησιν οὔθ' ὑμεῖς οὔτ' ἄλλος τις εὖ φρονῶν ὁρίσαιτο, εἰ μὴ τὴν ἐκ τυχηρᾶς συμβάσεως περίστασιν, τὴν ἐξ ἐμπρησμοῦ τυχὸν γινομένην ἢ ἐπιδρομῆς τινων πολεμίων τὴν μονὴν ἴσως τεφρωσάντων, ἢ καὶ ἀπὸ βάθρων κατερειψάντων καὶ πάλιν ὥσπερ καὶ πρότερον, ἢ καὶ τὴν ἀπὸ σεισμοῦ κατάπτωσιν καὶ τηνικαῦτα πολλῆς ὅτι δέοιντο τῆς ἐξόδου εἰς περιποίησιν καὶ ἀνέγερσιν· τότε γὰρ εὐλόγως ὑφαιρεθήσονται ἢ καὶ ἀποκτηθήσονται, ὑφαιρεθήσονται δὲ νομισμάτων ἴσως μὴ ὄντων εἰς περιποίησιν τοῦ δέοντος ἀρκετῶς· οὐ τοῦτο δὲ μόνον, ἀλλ' οὐδὲ λαθραίως ἢ ὑφ' ἑνὸς καὶ ἀνωΐστι, ἀλλ' εἰς προῦπτον καὶ ἀριδήλως συνιόντων ἐπὶ τὸ αὐτὸ τοῦ προεστῶτος, τοῦ οἰκονόμου, τοῦ ἐκκλησιάρχου καὶ τῶν λοιπῶν προκρίτων διακονητῶν, καὶ παρουσίᾳ τούτων πάντων ἡ τῶν δεόντων ὑφαίρεσις γένηται παρὰ τοῦ τὰς εἰσόδους τε καὶ ἐξόδους ποτὲ καί που ποιουμένου, εἰ μέλλοι ἑαυτῷ τὸ ἄμεμπτον περιποιεῖσθαι καὶ πάντας πληροφορεῖν.

λθ'. ***Περὶ τοῦ μὴ χρῆναι ἀργολογεῖν.*** — Εἰ μέν τινες ὑμῶν ἐν ἐργοχείρῳ τινὶ ἢ ἄλλῃ διακονίᾳ συνέρχοιντο καὶ ματαίαις ἀπασχολοῖντο ταῖς ὁμι-

3 Κορ. 1, α', 27—28. 15/30 Ἀνεκποίητα — ὑφαίρεσις γένηται] τυπικοῦ Εὐεργέτιδος σ. 639—640, § ιθ'. 24 κ ῶ δ. ὅτε. 33 "Εἰ μέν τινες" ἄχρι σ. 57,28 "βούλομαι εἶναι"] τυπ. Εὐεργ. σ. 640—641, § κα'—κγ'.

λίαις (εἴωθε γὰρ τοῦτο ταῖς συνελεύσεσιν), εἶτα καὶ εἰς αἰσχρολογίας ἐκτρέποιντο ("ἐκ πολυλογίας" γάρ φησιν "οὐκ ἐκφεύξῃ ἁμαρτίαν"), νουθετεῖσθαι παρὰ τοῦ κρείττονος μὴ παραιτείσθωσαν (ἐντελλόμεθα γὰρ αὐτὸ τοῦτο ποιεῖν ἐξ ἀγάπης) καὶ πείθεσθαι τῶν ψυχοβλαβῶν ἀφεμένους ἀπὸ τῶν θείων Γραφῶν ὡς ψυχωφελῶν διαλέγεσθαι ἢ σιγᾶν· "φειδόμενος" γὰρ "χειλέων νοήμων ἔσῃ" καὶ φρόνιμος, φησὶν ὁ Παροιμιαστής. καὶ ἐν ὁδῷ δὲ τυγχάνοντες καὶ τὸ αὐτὸ νοσοῦντες τῷ αὐτῷ θεραπευέσθωσαν· χρὴ γὰρ οὐχ ἥκιστα τούτους τηνικαῦτα ἐγρηγορέναι περὶ τὴν τοῦ νοὸς τήρησιν, εἰδότας ὡς εὔκολον δήπου τῷ ἀντικειμένῳ ῥᾳδίως αὐτοῖς ἐπιβῆναι καὶ πρὸς πτῶσιν καταγαγεῖν (ὃ μὴ γένοιτο), οἷα καὶ τῆς μάνδρας καὶ τῆς ποίμνης καὶ τοῦ ποιμένος ἀπῳκισμένους.

μ'. ***Περὶ τοῦ μὴ διαπληκτίζεσθαι πρὸς ἀλλήλους.*** — Πρὸς τούτοις μηδὲ πρὸς ὕβρεις ἀλλήλων χωρεῖν ἢ διαπληκτισμούς· ὁ γὰρ τοῦτο ποιῶν ἀφορισμῷ ὑποπεσεῖται· μὴ μετανοῶν δὲ καὶ τὴν συγχώρησιν ἐξαιτούμενος ἐν συντετριμμένῃ καρδίᾳ, καὶ ἐπιτιμηθήσεται· εἰρήνην γὰρ καὶ ἀγάπην ἔχειν αἱρούμεθα πρὸς ἀλλήλους ὑμᾶς πάντοτε καὶ ἀντὶ τοῦ παροξύνοντος μεταμαθεῖν τὸ "Εὐλόγησον" καὶ "Συγχώρησον, ἀδελφέ". καὶ οἱ συνελεύσεις δὲ ματαίας ποιοῦντες καὶ παραβάλλοντες ἀνευλόγως ἐν τοῖς κελλίοις αὐτῶν χωρίς τινος χρειώδους αἰτίας καὶ τῆς τοῦ προεστῶτος εἰδήσεως, νουθετούμενοι καὶ μὴ τοῦ κακοῦ ἀπεχόμενοι ἐπιτιμηθήσονται.

μα'. ***Περὶ τοῦ μὴ ἐπικτᾶσθαί τινά τι παρὰ τὸν κανόνα τῆς μονῆς, μηδὲ λαθροφαγεῖν, μηδὲ μηνύματα δέχεσθαι ἀπό τινων.*** — Καὶ οἱ ἐπικτήσεις τινὰς ἐπικτώμενοι παρὰ τὸν κανόνα τοῦ μοναστηρίου ἄχρι καὶ ὀβολοῦ ἢ ὀπώρας, μὴ εἰδότος τοῦ προεστῶτος, τῷ ἐπιτιμίῳ ὑποπεσοῦνται· παραπλησίως δὲ τούτοις καὶ ὁ λαθροφαγοποτῶν, εἰ μὴ ἐξωμολογεῖτο, καὶ ὁ μηνύματα δεχόμενος ἐκ φίλων καὶ συγγενῶν καὶ ἀντιγράφων αὐτοῖς· ὁ δέ τι νοσφιζόμενος ἀπὸ τῆς μονῆς, μὴ διορθούμενος δέ, ἐκδιωχθήσεται ἐξάπαντος.

μβ'. ***Περὶ τοῦ ἀριθμοῦ τῶν μοναχῶν.*** — Προκείσθω καὶ τοῦτο τοῖς εἰρημένοις. ἐγὼ μὲν ἀριθμὸν ἐν ὑμῖν βούλομαι εἶναι ἄχρι τῶν δώδεκα εἰδότων γράμματα κατὰ τὴν τοῦ ὑπομνήματος ἡμῶν περίληψιν, καὶ ὅτι καλὸν καὶ συμφέρον ταῖς ἀγωνιζομέναις ψυχαῖς ἢ μετ' ὀλίγων καλῶν ξυναυλία καὶ ὅτι ἡ ἀκτημοσύνη ῥᾳδίως κατορθοῦται ἐν τοῖς ὀλίγοις μᾶλλον καὶ γράμματα εἰδόσιν ἢ τοῖς πολλοῖς καὶ ἀγραμμάτοις καὶ μὴ φοβουμένοις τὸν κύριον, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ δουλεύουσιν. εἰ δὲ θελήσει ὁ κύριος τὴν τοιαύτην πλατυνθῆναι μονήν, τοσοῦτοι ἔσεσθε, ὁπόσοι καὶ τὰ τῆς τροφῆς ἐπ' ἀρκετὸν ἔχετε καὶ ὅσοι τὴν τοῦ τυπικοῦ τούτου φυλακὴν καὶ ἀκρίβειαν ἐπισπεύδετε

3/6 Παροιμ. ι', 19.

καὶ ὅσοι τὴν ἀγάπην καὶ τὴν εὐλάβειαν καὶ τὴν ὁμόνοιαν τῶν ἄλλων πάντων ἡγεῖσθε προτιμητέαν καὶ τοῖς προεστῶσιν ὑμῶν ἐν πάσῃ ὑπομονῇ καὶ ταπεινώσει καρδίας ὑπείκετε καὶ τὰ παρ' ἐκείνων ἐντελλόμενα φιλοθέως ἐκπληροῦν σπουδάζετε· οἱ δ' ἄλλοι ἀποπεμπέσθωσαν, κἂν εἰς ὀλίγους δέοι περιστῆναι ὑμᾶς· κρείσσων γὰρ εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μυρίοι παράνομοι.

μγ'. ***Περὶ τοῦ μὴ ἔχειν ὑπουργούς.*** — Ὑπουργοὺς οὐκ ἐξέσται ὑμᾶς ἔχειν· εἶναι δὲ σύντρεις ἐν τοῖς κελλίοις ἓν καὶ τὸ αὐτὸ φρονοῦντας, καὶ μάλα χρηστὸν καὶ κατὰ πολλοὺς τρόπους ὠφέλιμον· τὸ γὰρ εἶναι ἕνα καὶ μόνον εἰς τὸ κελλίον ἐν τοῖς ἀρχαρίοις βλαβερόν ἐστιν. εἶναι δὲ σύντρεις ἐν τοῖς κελλίοις ἓν καὶ τὸ αὐτὸ φρονοῦντας καὶ τὸ αὐτὸ πνέοντας ἀγάπης νόμῳ πνευματικῆς καὶ ὡς ὁμοψύχους ἀδελφοὺς τῷ ὄντι συνδιάγοντας, τὸν αὐτόν τε τοῦ κυρίου ζυγὸν ἕλκοντας ὁλοψύχως καὶ ἀλλήλοις ἐν εἰρήνῃ καὶ τῇ δεούσῃ ἐπιμελείᾳ καὶ εὐλαβείᾳ ὑποταττομένους, ὠφέλιμον. δέον δὲ κἂν τούτῳ τὴν διάκρισιν ποιεῖσθαι τὸ ἴδιον, ὡς ὑπείκειν δηλαδὴ τὸν ἀρχαρέστερον τῷ προωδευκότι, τὸν ἰδιωτικώτερον τῷ λογικωτέρῳ, τὸν ἀγροικότερον τῷ ἐμπειροτέρῳ καὶ τὸν νεώτερον τῷ γηραιοτέρῳ· εἰ δέ τινας καὶ μόνους εἶναι ἐν τοῖς κελλίοις κρίνοι ὁ προεστώς, αὐτὸς ἂν εἰδείη τὸν τρόπον.

μδ'. ***Περὶ τοῦ μὴ κλειδοῦσθαι τὰ κελλία τῶν μοναχῶν.*** — Κλειδία δὲ ἐν τοῖς κελλίοις ὑμῶν μήποτε κρεμασθήτωσαν· οὐδὲ γὰρ μοναχοῖς τοῦτο ἁρμόδιόν ἐστιν· ἐκεῖνα γὰρ κλειδοῦνται, ὅσα εἰσὶ κρυπτὰ καὶ οὐ βούλεται ὁ κατέχων φανερωθῆναι αὐτά. ὑμῶν δὲ πάντα κοινά εἰσι καὶ φανερὰ καὶ διὰ τοῦτο κλειδώσεως ἐν ὑμῖν χρεία οὐκ ἔσται· ὁ δὲ τοῦτο ποιῶν γνωριζέσθω παρὰ πάντων, ὅτι κλέπτης ἐστὶ καὶ οὐ θέλει φανεροῦσθαι τὰ παρ' αὐτοῦ κρυπτόμενα καὶ ἐπὶ τούτῳ τῇ κλειδώσει χρᾶται· καὶ διὰ τὸν κύριον φυλαττέσθω καὶ τοῦτο ἐν ὑμῖν· καὶ ἐὰν οὕτως ἐστέ, οὐδεὶς ἐξ ὑμῶν τῷ πάθει τούτῳ κρατηθήσεται. ἱμάτια ὠνεῖσθαι καὶ τῷ δοχείῳ ἀποτίθεσθαι ἐπιτρέπομεν, ὡς ἂν ὅτε χρήζοιτε λαμβάνοιτε· περιποιεῖσθαί τε καὶ τὰ παλαιὰ κατὰ δύναμιν καὶ χρᾶσθαι τούτοις καλόν. μόνην γὰρ τὴν ἀναγκαίαν ζητητέον χρείαν, τὸ δὲ περιττὸν ὡς τοῦ ἐναντίου μισητέον· τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν μανδυῶν καὶ τῶν περιστηθίων καὶ τῶν ὑποδημάτων καὶ ἁπλῶς πάντων τῶν χρειωδῶν λέγομεν. ὅταν οὖν σχοίη τις ἀναγκαίως καινότερόν τι τούτων ἀπολαβεῖν, τὸ παλαιὸν κομιστέον ἄρα ἐν τῷ δοχείῳ, δοτέον τε αὐτὸ τοῦτο καὶ ἕτερον ἀπολῃπτέον εἰδήσει τοῦ προεστῶτος· ἄλλως γάρ, εἰ μὴ τὰ παλαιὰ κομίζοιτε, διδόναι ὑμῖν οὐκ ἐντελλόμεθα.

6/18 Περὶ τοῦ μὴ ἔχειν — τὸν τρόπον] τυπ. Εὐεργέτιδος, σ. 641—642, § κδ'. 25 " ἱμάτια ὠνεῖσθαι " ἄχρι σ. 59,17 " παραμυθεῖσθαι "] αὐτόθι σ. 642—643, § κε'—κη'.

με'. ***Περὶ τοῦ τὴν αὐτὴν τροφὴν καὶ πόσιν καὶ ἔνδυσιν ἔχειν ἅπαντας.*** — Ἐπὶ δὲ τούτοις καὶ τοῦτο ὑμῖν ἐνώπιον τοῦ θεοῦ καὶ αὐτοῦ τοῦ δεσπότου ἡμῶν, τοῦ τιμίου Προδρόμου, παραγγέλλομεν, ὡς ἂν εἴη πᾶσιν ὑμῖν ἡ αὐτὴ τροφή τε καὶ πόσις, ἔνδυσίς τε καὶ ὑπόδησις καὶ μὴ διαφορά τις τούτων ποτὲ ἐν ὑμῖν γένοιτο, ἀλλὰ τοῖς αὐτοῖς χρήσεσθε πάντες, φημὶ δὴ ὁ ἡγούμενος, ὁ οἰκονόμος, ὁ ἐκκλησιάρχης, οἱ προΰχοντες τῷ χρόνῳ καὶ τῇ ἀρετῇ καὶ τῇ τοῦ βίου περιφανείᾳ καὶ οἱ τούτων κατὰ ταῦτα λειπόμενοι· μόνους γὰρ ἐκείνους θεραπευτέον ἐν ἅπασι καὶ χειραγωγητέον, ὅσοι δὴ προφανῶς ἐν ἀρρωστίαις κατάκεινται καὶ διὰ τοῦτο δέονται τυχὸν κρείττονος βρώσεώς τε καὶ πόσεως πρὸς σύστασιν τοῦ ταλαιπώρου αὐτῶν σώματος· τοῦτο γὰρ καὶ διακρίσεως οἶμαι καὶ τὴν συνείδησιν τῶν πολλῶν διατηροῦν ἀσκανδάλιστον. καὶ τοῦτο δὲ ποιεῖν τὸν ἡγούμενον ἀναγκαῖον, εἰσιέναι ἐν τοῖς κελλίοις ὑμῶν τοῦ μηνὸς ὁπότε καὶ βούλοιτο καὶ τὰ περιττά, εἴπερ εἰσί τινες ἔχοντες, ἐκφορεῖν καὶ τῷ δοχείῳ ἀποτιθέναι, ἢ τοῖς ἐνδεῶς ἔχουσιν ἐπιχορηγεῖν.

μς'. ***Περὶ τοῦ χρῆναι ἀλουτεῖν.*** — Καὶ ἄλουτοι δὲ τὸ παράπαν διάγοιτε, τοὺς ἀρρωστοῦντας δὲ μόνους δέον ἐστὶ παραμυθεῖσθαι κἂν τούτῳ.

μζ'. ***Περὶ τοῦ πῶς δεῖ χειροτονεῖσθαι τοὺς διακονητάς.*** — Αἱ χειροτονίαι τῶν διακονητῶν κατὰ τὴν τοῦ οἰκονόμου προχείρισιν ὀφείλουσι γίνεσθαι, τῶν κλειδίων δηλαδὴ ἐνώπιον τιθεμένων τοῦ Χριστοῦ ἢ τοῦ τιμίου Προδρόμου καὶ τρισαγίου γινομένου καὶ αὐτοῦ δὴ τοῦ προχειριζομένου μετὰ τὰς δεούσας τρεῖς γονυκλισίας τὰς κλεῖς ἐκεῖθεν λαμβάνοντος αὐτοχείρως, εἶτα τῷ προεστῶτι τὸν ἑαυτοῦ ὑποκλίναντος αὐχένα καὶ τὴν παρ' ἐκείνου ἐκδεχομένου εὐλογίαν οὕτως ἔχουσαν κατὰ ῥῆμα· " Ἡ πρεσβεία τοῦ τιμίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου δι' εὐχῶν τῶν ἁγίων πατέρων προχειρίζεταί σε οἰκονόμον ", ἢ τόδε, ἢ τόδε. ταῖς μέντοι μὴ ἐχούσαις κλειδία ὁ τῆς θείας εἰκόνος ἀσπασμὸς καὶ ἡ τοῦ ἡγουμένου σφραγὶς ἀρκέσουσιν εἰς προχείρισιν. πρέπον οὖν τρεῖς εἶναι δοχειαρίους, ὧν τὸν μὲν ἕνα τὰ τῆς μονῆς ἱερὰ σκεύη καὶ ἔπιπλα καὶ ἁπλῶς εἴ τι κρεῖττόν ἐστι παραφυλάττειν (ὃν δὴ καὶ σκευοφύλακα ἐπικλητέον), τὸν δὲ ἕτερον τὰ τῆς ἐξόδου νομίσματα κατέχειν, τὸν δ' ἄλλον διανέμειν τοῖς ἀδελφοῖς τὰ χρειώδη ἀπὸ τοῦ δοχείου, ἐνδύματα λέγω καὶ ὑποδήματα καὶ τὰ λοιπά, ποιεῖν τε καὶ τὴν τῶν παραβαλλόντων ἀδελφῶν ἀνάπαυσιν ἐνδεχομένως ἐν τοῖς κοιτῶσιν· ὧν ἄρα τὴν ἐπὶ βρώσει χρείαν ἡ κοινὴ τράπεζα παραθήσει πρός τε τὸν καιρὸν καὶ τὸ πρόσωπον.

μη'. ***Περὶ τοῦ χρῆναι εἶναι ἐπιστημονάρχην ἐν τῇ μονῇ.*** — Ὡς δὲ εἶναι καὶ

18 " Αἱ χειροτονίαι " ἄχρι σ. 61,36 " πατρὸς ἡμῶν καὶ κτήτορος "] ταὐτὰ ἐν τῷ τῆς Εὐεργέτιδος, σ. 643—646, § κθ'—λε'.

ἐπιστημονάρχην ἔν τε ταῖς τῶν ψαλμῳδιῶν εἰς τὸν ναὸν εἰσελεύσεσι καὶ ἐν ταῖς τῶν ἑστιάσεων ἐπιτηροῦντα τοὺς ἀδελφούς, ὡσαύτως καὶ κατὰ πᾶσαν ὥραν καὶ συγκαθημένους ἀνευλόγως καὶ ἀργολογοῦντας ἢ καὶ ἀργοῦντας εἴτε τι ἀπρεπὲς καὶ ἀνόνητον ποιοῦντας καὶ διορθούμενον πείθοντά τε ταῖς ἑαυτῶν προσιέναι κέλλαις, τῇ εὐχῇ καὶ τῷ ἐργοχείρῳ προσανέχοντας· ἀλλὰ μὴν καὶ τραπεζάριον διακονοῦντα μὲν καὶ ἐφ' οἷς ὁ κελλαρίτης αὐτῷ ἐπιτρέψειε, περιιόντα δὲ καὶ τὴν τράπεζαν ἐν τοῖς καιροῖς τῶν ἑστιάσεων καὶ τοὺς ἀδελφοὺς ὀχλοῦντας ἴσως ἢ ψιθυρίζοντας ὑπομιμνήσκοντα τὴν σιωπὴν καὶ τὸν πεντηκοστὸν ψάλλειν ἕκαστον κατὰ νοῦν· ἔτι γε μὴν καὶ τοὺς παραβάλλοντας ἀνερευνᾶν καὶ ὡς εἰκὸς καθίζειν εἰς τὴν τράπεζαν, παρατηρεῖσθαί τε καὶ τὴν τῶν ἀδελφῶν εἰσέλευσιν ἐν τῇ τραπέζῃ καὶ σημειοῦσθαι, τίς μὲν αὐτῶν ἀπέλειψεν ἐν τῇ εὐχαριστίᾳ, τίς δὲ καὶ εἰς τὴν ἑστίασιν, καὶ προσαγγέλλειν τούτους τῷ προεστῶτι· ὁ μὴ γὰρ οὕτω ποιῶν, ὡς μὴ ὁλοψύχως διακονῶν, ἐπιτιμηθήσεται. ἀμέλει τοὺς ἐφ' ἑκάστην τῶν διακονιῶν προκεχειρισμένους προσεκτικῶς μὲν καὶ θεοφόβως αὐτὰς μετιόντας ἐὰν ἀμετακινήτους δίκαιον, ἀμελοῦντας δὲ αὐτῶν καὶ καταφρονοῦντας, ἴσως δὲ καὶ δολιευμένους ἐν αὐταῖς, μεθιστᾶν καὶ ἑτέρους ἀποκαθιστᾶν· εἴ τις δὲ τούτων νοσφιζόμενος εἴη τι ἄχρι καὶ τοῦ τυχόντος, ὑπόδικος ἔσται τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ καὶ τῇ παναχράντῳ αὐτοῦ μητρὶ καὶ τῷ κυρίῳ ἡμῶν, τῷ τιμίῳ προδρόμῳ καὶ βαπτιστῇ Ἰωάννῃ, ἀφ' ὧν ἄρα τὰς κλεῖς παρέλαβεν ὑποσχόμενος ἀδόλως καὶ ἐκθύμως διακονῆσαι. παρακαλῶ οὖν τοὺς κελλαρίτας, τοὺς ἀρτοποιούς, τοὺς ὀψοποιούς, τοὺς ἐπιμελητὰς τῶν ἡμιόνων, τοὺς μετοχιαρίους, τοὺς οἰκονομοῦντας ἐν τοῖς τῆς μονῆς κτήμασι, τοὺς ἐν τῇ πόλει στελλομένους, τοὺς ἄλλοσε ἀπιόντας ἐκ προτροπῆς τοῦ ἡγουμένου ἢ καὶ τοῦ οἰκονόμου καὶ ἁπλῶς πάντας τοὺς διακονοῦντας, ὁλοψύχως τῶν διακονιῶν αὐτῶν ἔχεσθαι, ὡς οὐ μικρὰν ἐντεῦθεν ἐλπίζοντας τὴν ἀντάμειψιν· ὧν τοῖς μὲν ἀγραμμάτοις ἀρκέσει πάντως εἰς ἀπολογίαν καὶ θεῷ καὶ ἡμῖν ἡ περὶ τὴν διακονίαν προσοχή τε καὶ ἐπιμέλεια, τοὺς δέ γε εἰδότας γράμματα, κωλυομένους δὲ ἴσως διὰ τὸ τῆς διακονίας πολύοχλον τοῦ τὴν ἐν ταῖς εὐχαῖς αὐτῶν ἀκολουθίαν ἐκτελεῖν καὶ τοῦ συνιέναι τοῖς ἀδελφοῖς κατὰ τὰς συνάξεις παραινοῦμεν μὴ ὀλιγωρεῖν ἢ ἀπογινώσκειν, ὡς δὴ τὴν ἑαυτῶν ἀπολωλεκότας ὠφέλειαν, ἀλλ' εὐθύμως τε μᾶλλον καὶ χαρμοσύνως ἔχειν, ὅτι ἐνίσχυσεν αὐτοὺς ὁ κύριος τοῖς ἑαυτῶν ἀδελφοῖς κατὰ μίμησιν ἐκείνου διακονῆσαι, ὅς φησιν· "Οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ θεῖναι τὴν ψυχήν μου λύτρον ἀντὶ πολλῶν". ὁρᾶτε, ἀδελφοί μου, ποῖον αὐτοὶ ἔργον ἀποπληροῦτε; ὁρᾶτε τίνα μιμεῖσθε;

32 προβλ. Ματθ. κ' 29.

βλέπετε ὅτι τὸ κεφάλαιον παντὸς ἀγαθοῦ, τὴν ἀγάπην, μετέρχεσθε; τί οὖν λυπεῖσθε καὶ κατηφιᾶτε τῆς συνάξεως ἀπολειπόμενοι; οὐκ ἐννοεῖτε, ὅτι τὰς ἑαυτῶν ψυχὰς τίθεσθε ἀντὶ πολλῶν, ὡς ὁ ἐμὸς δεσπότης Χριστός, ἵνα δηλαδὴ τοὺς ἀδελφοὺς ὑμῶν ἀναπαύσητε; χαίρειν μὲν οὖν καὶ σκιρτᾶν ὑμᾶς δεῖ, ὅτι ὁ μόλις δύναιντ' ἂν κατορθῶσαι οἱ τῇ εὐχῇ προσανέχοντες, ἔργῳ καθ' ἑκάστην αὐτοὶ ἐκπληροῦτε. μακάριοί ἐστε τῆς ἐντεῦθεν ἀπασχολίας καὶ ζηλωτοί· καλὴ μὲν γὰρ καὶ ἡ προσευχὴ καὶ σφόδρα καλὴ θεῷ προσομιλεῖν ἡμᾶς ποιοῦσα καὶ ἀπὸ γῆς εἰς οὐρανὸν ἡμᾶς αἴρουσα, κρείσσων δὲ ἄρα καὶ μείζων πολλῷ πλέον ἀγάπη· ἐκείνη μὲν γὰρ μέρος ἀρετῆς καὶ τοῦ ὅλου σώματος τῆς τελειωτικῆς τελειότητος ἀπότμημά τι καὶ μόριον, ἡ δὲ ἀγάπη κεφαλὴ καὶ ἀπαρτισμός. καὶ γὰρ καὶ τὴν ὑψοποιὸν ταπείνωσιν συνεζευγμένην ἑαυτῇ δείκνυσι καὶ τὴν ἐλεημοσύνην καὶ τὴν φιλανθρωπίαν, δι' ἃ καὶ μᾶλλον ὁ θεὸς γέγονεν ἄνθρωπος καὶ δι' ἃ καλεῖται θεὸς καὶ δι' ὧν ὁ ἄνθρωπος θεὸς ἀποδείκνυται καὶ τῷ οὐρανίῳ πατρὶ ὅμοιος. ἵνα τί γοῦν τὸν θησαυρὸν τούτων πάντων τῶν ἀγαθῶν ἀφέντες καὶ τὴν κεφαλὴν ἐπὶ τὰ κάτω καὶ πρὸς ἑνὸς ἐπίκτησιν τρέχετε; δέον τὴν κεφαλὴν οὕτω φθάσαντας εὐπετῶς κατέχειν τε ἀσφαλῶς καὶ πάντα ποιεῖν, ὥστε μὴ ταύτης ἐκπεσεῖν. "Δεδοίκαμεν" φασί "διὰ τὴν τοῦ κανόνος ὑστέρησιν". ἀλλὰ μὴ δεδίατε· ἡ γὰρ καθαρὰ ἐξαγόρευσις τὸ ὑστέρημα ταύτης ἀναπληρώσει ὑμῖν, τὴν συγχώρησιν δικαίως ἐπιβραβεύουσα· μόνον μὴ ῥαθυμίας ᾖ τὸ ὑστέρημα· τοῦτο φοβεῖσθε, τοῦτο προσέχετε. εἰ δὲ τοῦτο μὴ εἴη, χαίρετέ μοι τῶν διακονιῶν ὁλοψύχως καὶ προθύμως ἐχόμενοι. οἱ μὲν διακονηταὶ οὕτως ἱκανῶς νουθετηθέντες ὅλοι τοῦ διακονεῖν ἔσονται καλῶς ποιοῦντες.

μθ'. ***Περὶ τοῦ ποσάπους εἶναι χρὴ τοὺς εἰς τὰ τῆς μονῆς ἀκίνητα στελλομένους.*** — Ἐπεὶ δὲ τῇ ἀσθενείᾳ ἡμῶν συνεπόμενος καὶ ὁ ποτὲ ἀνεγείρας βασιλεὺς τὴν τοιαύτην μονὴν καὶ κτήσεις τινὰς ἀκινήτους ἐπεκτήσατο, ἀφ' ὧν μικραί τινες καὶ οὐδαμιναὶ νῦν κατελείφθησαν, πολλῶν οὐσῶν καὶ προκαθαρπαγεισῶν παρὰ διαφόρων προσώπων, καὶ δεῖ τούτων φροντίζειν τὸν προεστῶτα, παρατηρείτω αὐτῷ τὰ εἰς δύναμιν ὁποίους εἶναι τοὺς εἰς τὴν τούτων πρόνοιαν πεμπομένους, εὐλαβεῖς δηλονότι καὶ σώφρονας καὶ γηραιοὺς εἰς ἅπαν, εἰ δυνατόν, καὶ πρὸς τὰ πάθη νεκροὺς διὰ τὰς ἐκ τοῦ Βελίαρ ἐπιβουλάς.

ν'. ***Περὶ τῶν κεκοιμημένων.*** — Ἀρκούντως οὖν ἤδη περὶ τῶν τῆς μονῆς καὶ ὡς εἰκὸς διαθέμενοι, περὶ τῶν κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν ἐπὶ τούτοις διαληψόμεθα. προσήκει τοίνυν λαμπρῶς καὶ μεθ' ὁλονύκτου ψαλμῳδίας ἑορτάζειν ἡμᾶς τὴν μνήμην τοῦ τρισμάκαρος καὶ ἀοιδίμου πατρὸς ἡμῶν καὶ κτήτορος κῦρι [Ἰωάννου], ἥτις κατ' αὐτὴν [τὴν ις' τοῦ Δε-

36 Ὁ χῶρος τῶν ὀνομάτων Ἰωάννου καὶ τὴν ις' τοῦ Δεκεμβρίου ἐξ ἀρχῆς κενός

κεμβρίου] τυγχάνουσα, κατ' αὐτὴν δήπου ἀνυπερθέτως τελεσθήσεται, ἐν ᾗ καὶ συνδράμῃ, εἰ μή τις εἴη Κυριακή. ἡ δὲ ἀκολουθία τῆς ψαλμῳδίας οὕτως ψαλεῖται, καθὼς ἐν τῷ βαμβακηρῷ βιβλιδαρίῳ εὑρήσετε ἀναταττομένην. ὁμοίως καὶ τὴν μνήμην τοῦ πανοσιωτάτου κῦρι Λουκᾶ, τοῦ γεγονότος μητροπολίτου Μεσημβρίας καὶ τῆς μονῆς ταύτης ἡγουμενεύσαντος, τοῦ ἁγίου μου πατρος καὶ ἀναδόχου μου· οὗ τῆς ἐργασίας τῆς πνευματικῆς καὶ τῆς ὑπομονῆς καὶ τῆς ταπεινώσεως καὶ τῶν ἀπείρων δακρύων αὐτοῦ τὴν ἀντάμειψιν εἰ βούλεσθε μαθεῖν, τῷ τιμίῳ καὶ ἁγίῳ αὐτοῦ λειψάνῳ ἀσθενοῦντες προσέλθετε καὶ ἐκ τοῦ ἐλαίου τῆς κανδήλας αὐτοῦ ἀλειφόμενοι τὴν δοθεῖσαν αὐτῷ παρὰ θεοῦ εὐωδίαν καὶ χάριν τῆς ἰάσεως ἐπιγνώσεσθε. ναὶ μὴν ἀλλὰ καὶ τῶν ὅσοι τι μνήμης ἄξιον τῇ μονῇ περιεποιήσαντο καὶ μνημονεύεσθαι παρ' ὑμῶν τετυπώκασιν ἐτησίως τὰ μνημόσυνα γίνοιντο, ἤγουν τοῦ μακαρίτου σεβαστοῦ κῦρι Νικηφόρου τοῦ Βοτανειάτου, τοῦ γεγονότος γαμβροῦ τοῦ ἀοιδίμου κῦρι Ἰσαακίου τοῦ σεβαστοκράτορος, τοῦ καὶ ἐν τῷ θείῳ καὶ ἀγγελικῷ σχήματι Νεοφύτου μετακληθέντος· ὁμοίως καὶ τῆς σεβαστῆς κυρᾶς Εὐδοκίας τῆς Κομνηνῆς, τῆς συμβίου αὐτοῦ καὶ τῶν παιδίων αὐτῶν, ἤγουν Ἰωαννικίου μοναχοῦ τοῦ συναδελφοῦ ἡμῶν καὶ υἱοῦ αὐτῶν· ὁμοίως καὶ τὴν μνήμην τῆς ἁγίας δεσποίνης κυρᾶς Μαρίας, ὁμοίως καὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Νικολάου· σὺν τούτῳ καὶ τὴν μνήμην τοῦ εὐεργέτου ἡμῶν κῦρι Λέοντος τοῦ Ἱκανάτου καὶ τῆς συμβίου αὐτοῦ Ἄννης καὶ τῶν παίδων αὐτῶν· σὺν τούτοις καὶ τοῦ ἠγαπημένου ἡμῶν ἀδελφοῦ τοῦ χαρτουλαρίου κῦρι Κωνσταντίνου τοῦ τοῦ Ζικχίας. ἐπὶ τούτοις καὶ τὴν μνήμην τῶν γονέων ἐμοῦ τοῦ ἁμαρτωλοῦ (ὧν τὰ ὀνόματά εἰσι ταῦτα· Νικηφόρος καὶ Θεοδούλη μοναχή, Χριστοφόρου καὶ Μαρίας μοναχῆς τῆς μητρός μου τῆς ἡγιασμένης), ὅπως εὕρωσιν ἔλεος σὺν ἐμοὶ ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως. τούτων δὲ τὴν μνήμην ἐντέλλομαι ὑμῖν ἐν κυρίῳ ποιεῖν ἅπαξ τοῦ ἐνιαυτοῦ, ἤγουν τῇ εἰκοστῇ τετάρτῃ τοῦ Σεπτεμβρίου μηνός. [ἐπεὶ δὲ μετὰ θεὸν δευτέρα ἡμῖν κτητόρισσα ἀνεδείχθη ἡ ἐν σεβασταῖς σεβαστὴ καὶ ἐν μοναχαῖς μοναχὴ κυρὰ Εὐδοκία ἡ Κομνηνή, ἡ θυγάτηρ τοῦ ἀοιδίμου σεβαστοκράτορος κῦρι Ἰσαακίου, ἣ καὶ Ξένη μετονομασθεῖσα καὶ πολλὰς καὶ πολλάκις ἐν ἡμῖν καὶ τῇ καθ' ἡμᾶς μονῇ τὰς δωρεὰς καὶ εὐεργεσίας ἐνεδείξατο· ἀλλὰ καὶ νῦν ἤγουν κατὰ τὸν Ὀκτώβριον μῆνα τῆς ζ' ἰνδικτιῶνος τοῦ ,ϛχνβ' ἔτους ἐδεδώκει πρὸς ἡμᾶς καὶ τὴν καθ' ἡμᾶς μονὴν χάριν ἐξωνήσεως ἀκινήτου τινὸς ἐπικτήσεως νομί-

ἣν ἐν τῷ κώδικι· προσετέθησαν δὲ μετέπειτα διὰ χειρὸς ἑτέρας, πάντως δὲ μετὰ τὸν θάνατον τοῦ τῆς μονῆς ἀνακαινιστοῦ καὶ τοῦ τυπικοῦ τούτου συντάκτου Ἰωάννου μοναχοῦ. 10/12 ναὶ μὴν ἀλλὰ — γίνοιτο] τυπ. Εὐεργ. σ. 647. 27 Ἡ τοῦ κώδικος σελὶς 83β ἀφέθη ἐξ ἀρχῆς κενὴ κατὰ τὸ ἥμισυ, κενὴ δὲ ἀφέθη καὶ πᾶσα ἡ σελὶς 84α. Οὕτως αἱ ἐν ἀγκύλαις προσθῆκαί εἰσι μεταγενέστεραι, οὐχὶ δὲ καὶ τοῦ 1144-ου ἔτους νεώτεραι.

σματα χρυσᾶ σταυρᾶτα τοῦ Μονομάχου λίτρας τέσσαρας καὶ συνεφωνήσαμεν καὶ ἡμεῖς ποιεῖν καθ' ἕκαστον χρόνον λόγῳ μὲν τοῦ μακαρίτου ἀνδρὸς αὐτῆς κατὰ τὴν α' τοῦ Ἰαννουαρίου μηνὸς ἰδικὴν παννυχίδα καὶ λειτουργίαν, λόγῳ δὲ τοῦ μακαρίτου υἱοῦ αὐτῆς, τοῦ μοναχοῦ κῦρι Ἰωαννικίου, κατὰ τὴν β' τοῦ Ἰουνίου ὁμοίως ποιεῖν ἰδικὴν παννυχίδα καὶ λειτουργίαν· ἀλλὰ καὶ λόγῳ αὐτῆς, ἄχρις ἂν ἐν τοῖς ζῶσίν ἐστι, κατὰ τὴν κβ' τοῦ Νοεμβρίου παννυχίδα παρακλητικὴν καὶ λειτουργίαν καὶ μετὰ θάνατον αὐτῆς κατὰ τὸν καιρὸν τῆς τελευτῆς αὐτῆς τὰ ὅμοια ποιεῖν· πρὸς ἐπὶ τούτοις δὲ καὶ κατὰ τὴν ε' τῆς Ἀπόκρεω λόγῳ πάντων τῶν προτελευτησάντων αὐτῶν παννυχίδα καὶ λειτουργίαν δι' οἰκείων πάντως, τῶν τῆς ἡμετέρας μονῆς ἐξόδων, ποιεῖν,—παρακαλῶ ὑμᾶς, ἀδελφοί, τοὺς νῦν ὄντας καὶ τοὺς μεθ' ἡμᾶς ἐλευσομένους, ὡς ἂν ταῦτα οὕτω φυλάττωνται, ἄχρις ἂν ἡ μονὴ ἡμῶν συνίσταται, ἵνα μὴ ἐκ παραβασίας εἰς κρῖμα ἐμπέσωμεν]. καὶ τῶν ἀδελφῶν δὲ ὁμοίως, ὧν δὴ καὶ τὰ ὀνόματα τοῖς διπτύχοις ἐνεγράφησάν τε καὶ ἐγγραφήσονται. οὐ μόνον δὲ ἀλλὰ καὶ τοῦ νεωστὶ τελευτήσαντος ἀδελφοῦ ἡμῶν καθ' ἑκάστην ἀνὰ πᾶσαν σύναξιν, ὄρθρου τέ φημι καὶ λειτουργίας καὶ ἑσπερινοῦ, τὴν ἀνάμνησιν γίνεσθαι ἐν ταῖς ἐκτενέσι δεήσεσιν ἄχρι τῶν τεσσαρακοστῶν αὐτοῦ· ἐν οἷς ὁσημέραι καὶ προσφορὰ ὑπὲρ αὐτοῦ προσκομισθήσεται. σὺν τούτοις δὲ ἀλλὰ καὶ τὰς μνήμας τῶν θνησκόντων σημειωτέον τὸν ἐκκλησιάρχην, ἵν' ἔχοιεν ὑμῖν αὗται ἀνεπιλήστως καὶ τελῶνται ἀπαραλείπτως. πλὴν ἀλλ' ἐνταῦθα δεῖ τι καὶ οἰκονομικώτερον διορίσασθαι. ἐπειδὴ γὰρ ἐνδέχεται πληθυνόντων τῶν θνησκόντων ἀδελφῶν πολλάκις ἐν τῇ τοιαύτῃ ἑβδομάδι τριῶν ἢ τεττάρων μνήμας συνδραμεῖν ἢ καὶ πλειόνων καὶ ἀναγκαῖον πάντως ἑκάστου μνήμην τελεῖν ἐν ταῖς παννυχίσι ταῖς καθ' ἡμέραν ἡμῖν χρεωστικῶς ὀφειλομέναις καὶ τὸν ἐπὶ τῷ προαπελθόντι ψάλλειν, ἵνα μὴ τοῦτο γένηται, ἐντελλόμεθα ὡς, εἰ μέν τινες τῶν ἀδελφῶν ἀπιέναι καὶ ψάλλειν τὸ νεκρώσιμον αἱροῖντό, οἱ δὲ λοιποὶ τὸν τετυπωμένον ψάλλειν τῆς παρακλητικῆς παννυχίδος, ἔστω καὶ τελείσθω τοῦτο καὶ εὐαπόδεκτον ἡμῖν, οἶμαι δὲ καὶ τῷ θεῷ· εἰ δὲ διὰ χειμῶνα ἴσως ἢ καὶ ἀσθένειαν, ἵνα μὴ λέγω ῥᾳθυμίαν, οὐ βούλεσθε τοῦτο, ἀλλὰ παρατηρητέον καὶ ὅσων ἂν πάντων εἰδῆτε μνήμας ἐν μιᾷ καὶ τῇ αὐτῇ ἑβδομάδι συνδραμούσας, πάσας ὁμοῦ τῶν πάντων διὰ μιᾶς τελεστέον τῆς παννυχίδος διὰ πάντων, εἰ μή τις εἴη μνήμη τινὸς τῶν ἡγουμένων γεγονότων ὑμῶν (τούτου γὰρ ἰδίᾳ ἡ μνήμη ὀφείλει τελεῖσθαι, ὡς ὑπὲρ πάντων ἀπολογησομένου ὑμῶν) καὶ οὕτως ἔσται τοῖς ἀδελφοῖς ἡμῶν τὸ χρέος τῆς μνήμης ἀφωσιωμένον καὶ τοῦ κανόνος ἡμῶν μὴ ἐκπίπτον. καὶ ἐν μὲν ταῖς παννυχίσιν οὕτως, ἐν δὲ

13 "καὶ τῶν ἀδελφῶν" ἄχρι σ. 65,20 "κἂν ἡμεῖς μὴ λέγωμεν"] τυπικοῦ Εὐεργέτιδος σ. 646—649, § λς'—λζ'.

ταῖς ὑπὲρ αὐτῶν λειτουργίαις καὶ τοῦτο καλόν, τὸ ὁμοῦ πάσας διὰ μιᾶς γίνεσθαι τὰς μνήμας, προσφορῶν ὑπὲρ ἑκάστου προσκομιζομένων, ἢ ὡς βουλητόν ἐστι τῷ κατὰ τὴν ἡμέραν ἱερεῖ, ἢ μᾶλλον ὡς δυνατὸν αὐτῷ ἐστιν, οὕτως καὶ ποιείτω. τὰ ἐν τῷ πυλῶνι δὲ διδόμενα ὑπέρ τινος, μνήμης τι ἄξιον, ὡς εἴρηται, τῇ μονῇ καταλείψαντος ἢ καταλείψοντος, ὑπὲρ οὗ καὶ δίδοσθαί τι ἐν τῇ μνήμῃ αὐτοῦ συμπεφώνηται ἢ συμφωνηθήσεται, παρέχεσθαι προτρεπόμεθα ἀνεγκρατήτως. τὰ μέντοι δίπτυχα ἐντελλόμεθα ἐν κυρίῳ τοῖς τε ἱερεῦσιν αὐτοῖς καὶ τοῖς διακόνοις κατὰ πᾶσαν ἐπιέναι λειτουργίαν εἰς ἀνάμνησιν τῶν ἐν αὐτοῖς ἀπογεγραμμένων, ἵνα μὴ αὐτοὶ τὸ κρῖμα βαστάσωσι τῆς ἐκείνων ἀμνηστίας τε καὶ ὑστερήσεως. εἴρηται μὲν δὴ καὶ περὶ τούτων δεόντως.

να'. Περὶ τοῦ πῶς δεῖ τοὺς ἀποκειρομένους ἀποκείρεσθαι.—Ῥητέον δὲ καὶ περὶ τῶν ἀποκειρομένων· οἵ γε, εἴ τινες εἶεν περιφανεῖς ἢ τῶν ἀνέκαθεν γνωρίμων ἡμῖν καὶ σχεδὸν εἰδότων τὴν ἡμετέραν δίαιταν, πρότερον τὴν τοῦ τυπικοῦ τούτου ἀκολουθίαν ἀναγνόντες καὶ ὑποσχεθέντες φυλάσσειν τὰ ἐν αὐτῷ ἀναταττόμενα ἅπαντα ἀπαράθραυστα, ἀποκειρέσθωσαν καὶ ἔσωθεν τοῦ νενομισμένου καιροῦ, ἀξιοῦντες καὶ αὐτοὶ τοῦτο ἴσως καὶ ἀποδεχόμενοι. εἰ δὲ τῶν τυχόντων εἶεν καὶ ἄγνωστοι, μετὰ παρέλευσιν ἡμερῶν ἑπτὰ τῆς ἐνταυθοῖ τούτων ἀφίξεως ἐνδυέσθωσαν τὰ ῥάκη καὶ τὰς μοναχικὰς περιβεβλήσθωσαν περικεφαλαίας, ἐπιταττέσθωσάν τε καὶ ταῖς κατὰ δύναμιν διακονίαις καὶ ἐπιτηρείσθωσαν, εἰ μεθ' ὑπομονῆς ταύτας καὶ ταπεινώσεως ἐκτελοῖεν. ἂν μέντοι οὕτως ἔχοντες διακαρτεροῖεν ἄχρι χρόνων τριῶν, τοῖς ἀδελφοῖς τηνικαῦτα συνταττέσθωσαν ἀποκειράμενοι καὶ τὸν ἀρραβῶνα τοῦ θείου καὶ ἀγγελικοῦ λαμβανέτωσαν σχήματος· εἰ δ' ὀκλάσαντες τυχὸν φανεῖεν, γογγύζοντές τε καὶ καταρραθυμοῦντες τῶν ἐντεταλμένων, τῷ προεστῶτι μελήσει περὶ τοῦ εἴτε δεῖ τούτους εἰσδέχεσθαι εἴτε καὶ μή.

νβ'. Περὶ τοῦ μὴ λαμβάνειν τινὰς μοναχοὺς ἐξ ἄλλης μονῆς.—Πρὸς δὲ τούτοις φροντιστέον ὑμᾶς καὶ τοῦ μηδόλως δέχεσθαί τινα ἀπὸ ξένης ἐρχομένων μοναχῶν καὶ ἀγνωρίστων, φυλάσσοντας κἂν τούτῳ τὴν τῶν ἁγίων κανόνων παράδοσιν· εἰ δὲ τούτου καταφρονήσετε, πολλὰ λυπηθήσεσθε καὶ οὐ μικρὰ βλάβη καὶ ζημία ψυχική τε καὶ σωματικὴ ὑμῖν ἐκ τούτου γενήσεται.

νγ'. Περὶ τοῦ μὴ αἰτεῖν ἐκ τῶν ἀποκειρομένων προσενέξεις τινὰς ἢ ἀποταγάς.—Τοὺς τοίνυν εἰσδεχθῆναι κριθέντας οὐ καταναγκαστέον περί τινος ἀποταγῆς τε καὶ προσενέξεως· οὐ γὰρ τὴν τοῦ θεοῦ χάριν καπηλεύειν χρεὼν ἢ χρήμασι πιπράσκειν, μή πού τις ἐντεῦθεν αἰσχύνη καὶ ὄνειδος προσ-

28 ἀπὸ ξένης = μονῆς.

τριβῇ τῷ προῖκα ἐν ἡμῖν ἀποκείρεσθαι καὶ τὸ κακὸν καὶ ἐπάρατον τοῦτο ῥῆμα παρεισαχθῇ, "τὸ ἐμὸν" καὶ "τὸ σὸν" δηλονότι καὶ "τὸ μεῖζον" καὶ "τὸ ἧττον" καὶ "τὸ κρείττονα" οἴεσθαι τὸν προσενέγκαντα τοῦ μὴ προσενέγκαντος. μὴ γένοιτο τοῦθ' ὑμῖν εἰς τὸν αἰῶνα, μὴ γένοιτο. εἰ δέ τις αὐτὸς ἐκεῖνος ἑκὼν ὁ ἀποκαρησόμενος προσενεγκεῖν αἱροῖτο, δεκτέον· προαιρετικὸν γὰρ τοῦτο καὶ ἀβίαστον καὶ γνώμης ἔργον θεοφιλοῦς καὶ ἐλεημοσύνης τάξιν ἐπέχον καὶ εὐποιίας καὶ ὑπὲρ τῆς θεόθεν ἀντιμισθίας γινόμενον εἰς ἐξίλασμα τῶν πεπλημμελημένων αὐτῷ, μᾶλλον δὲ ἵνα τἀληθὲς εἴπωμεν, ἀνάθημα προσφέρεται τῷ θεῷ καὶ τῷ τιμίῳ καὶ δεσπότῃ ἡμῶν προδρόμῳ καὶ βαπτιστῇ τοῦ θεοῦ Ἰωάννῃ· ἄλλο μὲν γὰρ ἀποταγὴ καὶ προσένεξις, ἄλλο δὲ δῶρον ἢ ἐλεημοσύνης ἀπόδομα ἢ ἀνάθημα. ἐκεῖνο μὲν γὰρ ἐντεῦθεν ἔχει τὴν τῆς ἐλπίδος ἀντάμειψιν καὶ ὥσπερ τι ὤνιον τῶν χρειωδῶν προκαταβάλλεται ἐπί τισιν ἴσως ῥηταῖς συμφωνίαις καὶ ἀνταλλάξεσι, τὸ δὲ προῖκα καὶ οὐρανίαις ἐλπίσι καὶ ἀνταμείψεσιν ἀποκείμενον· τῷτοι μηδὲ πρόκρισίν τινα τῶν λοιπῶν ἀδελφῶν ὁ διδοὺς ὑπολαμβανέτω, ἀλλ' ἐπίσης εἶναι τοῖς πᾶσι καὶ κατὰ τὸν κρατήσαντα τόπον τῆς μονῆς. ἂν δέ γέ ποτε πειραθεὶς ἐκ δαιμόνων ὁ δούς, οἷα πολλὰ τὰ τῆς ἀβουλίας, ἐκστῆναι μὲν τῆς μονῆς πειραθῇ, βούλοιτο δὲ καὶ τὸ δεδωρημένον ἀποκομίσασθαι, ἀλλὰ μὴ δοτέον αὐτῷ τοῦτο, κἂν ὅ τι τύχοιεν ὄν· τὸ γὰρ ἅπαξ τῷ θεῷ ἀφιερωθὲν ἀναφαίρετον καὶ ὁ ἀφαιρούμενος ἱερόσυλος· ὁποῖον δὲ τὸ ἱεροσυλεῖν ἔχει τὸ ἐπιτίμιον, πάντες ἴσασι, κἂν ἡμεῖς μὴ λέγωμεν. ἐπειδὴ δὲ καὶ περὶ τῆς δαιμονιώδους διαζεύξεως καὶ ἀποστασίας ἐμνήσθημεν, φέρε μικρά τινα πρὸς τὴν ὑμετέραν ἀγάπην περὶ αὐτῆς εἴπωμεν οὐκ ἀπὸ τῆς ἡμῶν διανοίας τῆς ἀσθενοῦς, ἀλλ' ἅπερ ὁ σοφὸς καὶ μέγας διδάσκαλος ἡμῶν, ὁ οὐρανοφάντωρ Βασίλειος, κατὰ ῥῆμα ἔλεξεν οὕτωσί:

νγ' (sic). Περὶ τοῦ μὴ διὰ τὸ τυχὸν σκάνδαλον μεθίστασθαί τινα τῆς μονῆς.—"Χρὴ μέντοι καὶ τοῦτο πεπεῖσθαι σαφῶς, ὅτι ὁ ἅπαξ εἰς σύνδεσμον καὶ συνάφειαν ἐλθὼν πνευματικῆς ἀδελφότητος, οὐχ οἷός τε ἂν εἴη ἀποκόπτεσθαι καὶ χωρίζεσθαι τούτων οἷς συνηρμόσθη· εἰ γὰρ ἄνθρωπος πολλάκις εἰς κοινωνίαν βίου τοῦ ὑλικοῦ συνερχόμενος οὐκ ἂν δύναιτο παρὰ τὰ συμβιβασθέντα χωρίζεσθαι, ἢ τοῦτο ποιῶν ἔνοχος ἔσται τοῖς εἰρημένοις ἐπιτιμίοις, πολλῷ μᾶλλον ὁ εἰς συμβίβασιν ἐλθὼν πνευματικῆς συμβιώσεως τοῖς ἄλυτον καὶ αἰώνιον τὴν συνάφειαν κεκτημένοις οὐχ οἷός τε ἂν εἴη μερίζειν καὶ ἀποκόπτειν ἑαυτὸν τούτων, οἷς συνεκράθη, ἢ τοῦτο ποιῶν βαρυτάτοις ἑαυτὸν τοῖς ἄνωθεν ἐπιτιμίοις ὑποβάλῃ. εἰ γὰρ γυνὴ εἰς κοινωνίαν ἀνδρὸς ἀφιγ-

24 Βασίλειος] Constit. monast. cap. 21 (Migne τ. 31, σ. 1393—6).

μένη καὶ σαρκικὴν ἔχουσα τὴν συνάφειαν αὐτοῦ, εἰ τούτῳ ἐπιβουλεύουσα φωραθῇ, θανάτῳ καταδικάζεται, πολλῷ μᾶλλον ὁ πνευματικῇ κοινωνίᾳ συναρμοσθεὶς ὑπ' αὐτῷ μάρτυρι καὶ μεσίτῃ τῷ πνεύματι ὑπόδικος ἐν τῷ χωρισμῷ γίνεται. καὶ ὥσπερ τὰ μέλη τοῦ σώματος φύσεως συνηρτημένα δεσμῷ κἂν τοῦ σώματος ἀπορρήγνυσθαι δύναιντο, εἰ ἀπορραγῇ νεκρὸν τὸ ἀπορρηγνύμενον γένοιτ' ἄν, οὕτως καὶ ἀσκητὴς ἀδελφότητι συναπτόμενος καὶ φύσεως ἰσχυροτέρῳ δεσμῷ τῇ τοῦ πνεύματος ἁρμολογίᾳ κρατούμενος οὐκ ἂν ἐξουσίαν ἔχοι τέμνεσθαι τούτων, οἷς συνηρμόσθη, ἢ ποιῶν τοῦτο νεκρός ἐστι τῇ ψυχῇ καὶ ἐστερημένος τῆς τοῦ πνεύματος χορηγίας, οἷα δὴ τὴν ἐπ' αὐτῷ συμβίβασιν ἀθετήσας. εἰ δέ γε λέγει τις, ὅτι φαῦλοί τινες τῶν ἀδελφῶν ἀφυλάκτως τὸ καλὸν παραλύοντες καὶ τῆς κοσμιότητος ἀμελοῦντες καὶ τὴν πρέπουσαν ἀσκηταῖς ἀκρίβειαν παρορῶντες καὶ διὰ τοῦτο προσήκει τῶν τοιούτων χωρίζεσθαι, οὐκ ἀρκοῦσαν ἀπολογίαν τοῦ χωρισμοῦ ταύτην ἐπινενόηκεν· οὐδὲ γὰρ Πέτρος ἢ Ἀνδρέας ἢ Ἰωάννης διὰ τὴν τοῦ Ἰούδα πονηρίαν ἀπερράγησαν τοῦ λοιποῦ τῶν ἀποστόλων χοροῦ, οὐδ' ἕτερός τις τῶν ἀποστόλων ταύτην ἀφορμὴν ἀποστάσεως ἐποιήσατο, οὐδέ τις πρὸς τὸ πείθεσθαι τῷ Χριστῷ ὑπὸ τῆς ἐκείνου μοχθηρίας ἐνεποδίσθη, ἀλλὰ τοῖς τοῦ κυρίου πειθαρχοῦντες διδάγμασι τὴν εὐσέβειαν καὶ τὴν ἀρετὴν ἐζήλουν, οὐδὲν πρὸς τὴν ἐκείνου πονηρίαν ἐπιστρεφόμενοι. οὔτε οὖν ὁ λέγων, ὅτι Διὰ τοὺς φαύλους χωρίζεσθαι τῆς πνευματικῆς ἀναγκάζομαι συναφείας, πρόφασιν εὗρεν εὔλογον τῆς οἰκείας ἀβεβαιότητος, ἀλλ' ἔστι μὲν αὐτὸς γῆ πετρώδης, τὸν τῆς ἀληθείας λόγον ἐκθρέψαι διὰ γνώμης ἀβεβαιοτάτης μὴ δυναμένη· ἀλλὰ διὰ μικρὰν πειρασμοῦ τινος προσβολὴν ἢ ἀκρασίαν παθῶν τὴν σώφρονα πολιτείαν οὐχ ὑπομένων, εὐθύς τε ἀποξηραίνεται τῷ καύσωνι τῶν παθῶν τὸ τῆς διδασκαλίας ἀρτιφυὲς βλάστημα. προφάσεις δὲ εἴρηκεν οὐκ ἀρκούσας πρὸς ἀπολογίαν ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ κατὰ πληροφορίαν οἰκείαν ἐπινοῶν καὶ εὐκόλως παρακρουόμενος· οὐδὲν γὰρ τοῦ ἑαυτὸν ἀπατᾶν εὐκολώτερον, ἐπειδὴ κριτὴς ἕκαστος ἑαυτῷ κεχαρισμένος γίνεται, τὰ ἡδέα κρίνων εἶναι συμφέροντα. ἔστω τοίνυν ὁ τοιοῦτος κατακεκριμένος παρ' ἀληθείας δικαζούσης, ὡς σκανδάλων ὑπόθεσις πλείοσι καθιστάμενος, ἤτοι πονηρῷ ὑποδείγματι πρὸς ζῆλον τῶν ἴσων ἀτοπημάτων διερεθίζων ἀεί. καὶ τοῦ οὐαὶ κληρονόμος γενόμενος "συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς κρεμασθῇ περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης". ἐὰν γὰρ ψυχὴ ἀπόστασιν ἐθισθῇ, πολλῆς ἐμπίπλαται ἀκρασίας, πλεονεξίας τε καὶ γαστριμαργίας, ψεύδους τε καὶ πάσης κακοηθείας, καὶ τὸ τελευταῖον εἰς τὸν πυθμένα καταστρέφει τῆς πονηρίας

31/33 Ματθ. ιη', 6.

τοῖς ἐσχάτοις ἐμπειρομένη κακοῖς. ὁ τοίνυν τῶν τοιούτων ὁδηγὸς καθιστάμενος σκοπείτω πόσων ψυχῶν ἀπωλείας ἔνοχος γίνεται, ὅ γε μηδὲ πρὸς τὰς εὐθύνας τῆς ἑαυτοῦ ψυχῆς ἀρκέσαι δυνάμενος. τί γὰρ οὐχὶ μᾶλλον ὁ τοιοῦτος μιμεῖται τὸν μέγαν Πέτρον καὶ ὑπόδειγμα βεβαίας πίστεως καὶ τῆς περὶ τὸ καλὸν ἐνστάσεως τοῖς λοιποῖς γίνεται, ἵνα λάμποντος τοῦ φωτὸς τῶν ἐκείνου κατορθωμάτων καὶ οἱ ἐν σκότει τῆς πονηρίας διάγοντες ἐπὶ τὸ κρεῖττον ὁδηγηθῶσιν; ἔπειτα Νῶε μὲν ὁ δίκαιος οὐκ εἶπε πρὸς τὸν θεόν, ὅτι "δεῖ με ἐκβῆναι τοῦ κόσμου, ἐπειδὴ πάντες εἰσὶ πονηροί", ἀλλ' ἐκαρτέρησε μᾶλλον ἀθλητικῶς καὶ γενναίως· ἀλλὰ μεταξὺ ἀβύσσου πονηρίας τὴν εὐσέβειαν ἀχείμαστον διετήρησεν, ἀλλ' ὑπομονῇ καὶ καρτερίᾳ μεταξὺ τῶν κυμάτων τῆς ἀσεβείας καὶ παρανομίας τὴν ἀρετὴν ἀπαράφθορον διεφύλαξε καὶ οὐδαμῶς κακίαις ἑάλω καὶ ἐπιβουλαῖς, ἀλλὰ μεταξὺ ξενοκτόνων καὶ ἐν ὕβρει πολλῇ καὶ ἀκολασίᾳ κατὰ τὸν τῆς φύσεως φερόμενον θεσμὸν τὴν ἁγιωσύνην ἀμίαντον αὐτός τε διεσώσατο καὶ τοῖς λοιποῖς, ὡς ἐνὸν ἦν, εἰσηγήσατο, πράξεσι πρὸ τῶν λόγων τὸ καλὸν ἐκπαιδεύων· σὺ δὲ προφασίζῃ τὰς τῶν ἀδελφῶν ὀλιγωρίας, ἢ οὔσας ἢ παρὰ σοῦ πλαττομένας, τὴν ἀποστασίαν ἐννοῶν καὶ τὴν ἀθέτησιν τοῦ πνεύματος μηχανώμενος καὶ τῆς ἑαυτοῦ πονηρίας καὶ τῆς τῶν πόνων καὶ τῆς ὑπὲρ ἀρετῆς ὀκνηρίας παραπέτασμα τὴν τῶν ἀδελφῶν ἐργάζῃ διαβολήν. ὥστε σωφρονισθεὶς ὁ τοιοῦτος τοῖς ὑποδείγμασι στεργέτω τὴν ἁρμονίαν τοῦ πνεύματος, ἣν ἑαυτῷ παρὰ τὰς πρώτας σπαργανώσεις τῆς οὐρανίου κυήσεως συνηρμόσατο· οὐδὲ γὰρ εἰ συμβαίη ἐπὶ τῆς χειρὸς ἕνα τῶν δακτύλων παθεῖν τι τῶν ἀνιαρῶν ἤδη καὶ ὁ ἕτερος ἐκτμηθῆναι φιλονεικήσει, ἀλλὰ φυλάξεται μὲν πρῶτον τὸ ἀλγεινὸν τῆς τομῆς, ἔπειτα δὲ καὶ στερρῶς παραμενεῖ, ὥστε καὶ τὴν τοῦ κινδυνεύοντος ἀναφέρειν χρείαν τῷ σώματι καὶ μὴ πάντῃ τὴν χεῖρα φυσικὸν κλάδον ἀφαιρεθεῖσαν ἀποσυληθῆναι τοῦ οἰκείου κόσμου καὶ προσφυοῦς. μετένεγκε τοίνυν ἐπὶ τὸν ἀσκητὴν τὸ ὑπόδειγμα καὶ σκόπησον, ὅσον ἄγος καὶ ἀκοσμίαν ταῖς αἰσθητικαῖς ψυχαῖς ἀποκοπὴ κατεργάζεται καὶ ὅπως ἑαυτὸν νεκρὸν καὶ ζωῆς ἀμέτοχον ἀποφαίνει. ὅτι δὲ ὁ ἀφηγούμενος οὐκ ἂν ἕλοιτο τὸν αὐτῷ μαθητευόμενον πρὸς πονηρίαν ἐνάγειν, ὥστε τὴν πονηρὰν ἀγωγὴν τοῦ διδασκάλου πρόφασιν τῷ μαθητῇ χωρισμοῦ γενέσθαι καὶ ἀποστάσεως, οὕτως εἰ δοκεῖ σκεψώμεθα, τί μὲν πατήρ, τί δὲ παιδοτρίβης. ἑκάτερος, ὁ μὲν τῷ παιδίῳ, ὁ δὲ τῷ μαθητῇ εὔχεταί τε καὶ διεσπούδακε· φύσις μὲν γὰρ πατράσιν εὔχεσθαι τοὺς παῖδας, ὥστε βελτίους καὶ φρονιμωτάτους γενέσθαι, κοσμιωτάτους τε καὶ μετριωτάτους, ἵνα οἱ μὲν παῖδες εὐδοκιμοῖεν, οἱ δὲ πατέρες εὐκλεέστεροι γίνοιντο τῇ ἐπ' αὐτοὺς ἀναφορᾷ τῶν καλῶν τοῦ παιδός. σπουδὴ δὲ καὶ παιδοτρίβαις ἀλκιμωτάτους τε καὶ τεχνικωτάτους τοὺς ὑπ' αὐτῶν ἀσκουμένους γενέσθαι, ἵνα ῥώμῃ καὶ ἐμπειρίᾳ

περιδέξιον τὸ ἀγώνισμα ποιησάμενοι λαμπροὶ νικηταὶ τῶν ἀντιπάλων ἀποδειχθῶσι καὶ ἡ τούτων ἔννομος ἄθλησις τῶν καθηγουμένων σαφὴς δόξα γένηται. φύσις δὲ παντὶ τῷ διδάσκειν προῃρημένῳ τὸ θέλειν ἂν εἰς ἀκριβεστάτην κατάληψιν ἀφικέσθαι τῶν διδαγμάτων τοὺς μαθητάς. τῆς τοίνυν τῶν πραγμάτων φύσεως τοῦτον ἐχούσης τὸν λόγον, πῶς οὐκ ἂν καὶ ὁ τῆς ὁσιότητος παιδευτὴς τὸν παρ' αὐτοῦ παιδευόμενον εὔξαιτο ἀκακώτατόν τε καὶ σωφρονέστατον τὴν πνευματικὴν σοφίαν ἐπιδειχθῆναι, καίπερ σαφῶς ἐπιστάμενος, ὅτι τοιούτου μὲν ὄντος τοῦ μαθητοῦ καὶ παρὰ ἀνθρώποις εὐκλεὴς ἔσται καὶ παρὰ τοῦ Χριστοῦ λαμπροὺς ὑποδέξεται στεφάνους, ὡς τοὺς οἰκέτας αὐτοῦ, μᾶλλον δὲ εἰπεῖν ἀδελφούς, ἐπειδὴ καὶ τοῦτο Χριστὸς εἵλετο, ἀξίους τῆς πρὸς αὐτὸν οἰκειώσεως διὰ τῆς αὐτοῦ ἐπιμελείας ἀπεργασάμενος; καὶ ἕτερον δὲ σκόπει· ὡς, εἰ φαῦλος ὁ μαθητὴς γένοιτο παρὰ τὴν αὐτοῦ ἀγωγήν, αἰσχύνεται αἰσχύνην ἀπαρηγόρητον ἐπὶ τῆς οἰκουμένης καὶ κατὰ τὸν τῆς κρίσεως καιρὸν καὶ τῆς πανηγύρεως καὶ ἐπὶ τοῦ πανδήμου τῶν οὐρανῶν ἀθροίσματος. καὶ οὐκ αἰσχύνεται μόνον, ἀλλὰ καὶ κολασθήσεται. πόθεν οὖν γενήσεται τὸ μὴ θελῆσαι τὸν καθηγούμενον κόσμιόν τε καὶ ἐπιεικῆ γενέσθαι τὸν οἰκεῖον μαθητήν; καὶ ἄλλως δὲ ἀλυσιτελὲς τῷ διδασκάλῳ ἡ τοῦ μαθητοῦ πονηρία· ἐπειδὴ γὰρ τὴν πρὸς ἀλλήλους ἑκάτεροι συμβίωσιν εἵλοντο, ἧς ἂν μετέχῃ πονηρίας ὁ μαθητής, τῶν ταύτης καρπῶν πρῶτον τῷ διδασκάλῳ μεταδώσει, ὥσπερ τὰ ἰοβόλα τῶν ἑρπετῶν τοῖς θάλπουσι πρῶτον ἐνιᾶσι τὸν ἰόν, ὡς εἶναι πάντοθεν δῆλον ἔκ τε τῆς φύσεως τῶν πραγμάτων ἔκ τε τοῦ λυσιτελοῦντος τῷ ἄγοντι, ὅτι εὔξεται καὶ πάντα τρόπον σπουδάσει ἐπιεικῆ τε καὶ κόσμιον τὸν ὑπ' αὐτῷ πεπαιδευμένον καταστῆναι. εἰ μὲν γὰρ ἦν κακίας καὶ πονηρίας ἀλείπτης, πρὸς τοῦτο πάντως ἄγειν τὸ πέρας τοὺς παρ' αὐτῷ ἀσκουμένους ἐσπούδακεν· εἰ δὲ ἀρετῆς καὶ δικαιοσύνης ἐστὶ παιδευτής, οὐκ ἂν ἐναντίον οἶμαι καὶ τοῖς οἰκείοις σπουδάσμασι τὸ πέρας ἐπὶ τὸν μαθητευόμενον ἐκβῆναι ἔλοιτο. ἅπασα τοίνυν πρόφασις ἀνεύλογος τῷ βουλομένῳ χωρίζεσθαι πνευματικοῦ συστήματος, ὥσπερ εἴρηται. αἰτία δὲ αὐτῷ ἀπεδείχθη τῆς τοιαύτης γνώμης ἡ τῶν παθῶν ἀκρασία καὶ τὸ τῆς κρίσεως σαθρὸν καὶ ἀβέβαιον· οὐ γὰρ ἤκουσεν οὗτος παρὰ τοῦ προφήτου, ὅτι " Μακάριοι οἱ φυλάσσοντες κρίσιν "; οὐχὶ οἱ καταλύοντες; οὗτοί εἰσιν οἱ τοῖς μωροῖς ὁμοιωθέντες, οἱ ἐπὶ τῆς ψάμμου τῆς κατὰ τὴν γνώμην ἀβεβαιότητος τὸν θεμέλιον τῆς πνευματικῆς τιθέντες οἰκοδομῆς, ὃν ὀλίγαι ψεκάδες πειρασμῶν καὶ βραχὺς χείμαρρος τοῦ πονηροῦ ὑφελκύσας τὴν ὑποβάθραν διέλυσέ τε καὶ διεσκόρπισεν ". εἰπέ μοι, ἀδελφέ, ποῦ οὐκ ἔνι θλῖψις; ποῦ οὐκ ἔνι κόπος; οἱ κοσμικοὶ οὐ

30 Ψαλμ. ρε', 3.

κοπιῶσιν; οἱ ναυτικοὶ πελαγοδρομοῦντες οὐ ναυαγοῦσιν; οἱ στρατιῶται ἐν τοῖς πολέμοις οὐ κινδυνεύουσιν; καὶ πῶς ἡμεῖς ὀλιγωροῦμεν ὡς μόνοι θλιβόμενοι; οἱ κοσμικοὶ εἰς τὰ κοσμικὰ κοπιῶσιν, οἱ πνευματικοὶ δὲ πάλιν εἰς ἔργα πνευματικὰ θλίβονται· ἀλλ' ἡ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται, ἡ δὲ κατὰ θεὸν λύπη μετάνοιαν εἰς ζωὴν αἰώνιον κατεργάζεται. καὶ ἡμεῖς οὖν θλιβόμενοι μὴ ὀλιγωρήσωμεν· ἡ θλῖψις ἡμῶν εἰς χαρὰν γενήσεται. καὶ σὺ τοσαῦτα ὑπέμεινας καὶ νῦν ὀλιγωρεῖς; ἀναλόγισαι, ὅτι τῷ κόσμῳ ἀπετάξω καὶ τοῖς ἰδίοις θελήμασι καὶ λόγων οὐκ ἀνέχῃ. οὐκοῦν τῇ ἑαυτῶν κοιλίᾳ δουλούμεθα καὶ τοῖς ἰδίοις θελήμασι, καὶ τούτου χάριν βούλει καὶ τῆς μονῆς ἀποστῆναι; οὗτος ἡμῶν ὁ ἔπαινος; ἄρα μὴ ὁ ἐχθρὸς τὸν λογισμὸν τῆς ταπεινοφροσύνης ἀπεσύλησε καὶ τούτου χάριν τὰ πάθη σφοδρῶς ἐπανίστανται; μή μοι ὀργίζου τὰ τῆς ἀληθείας λέγοντι πρὸς σέ· πάσχων γὰρ ὑπὲρ σοῦ ταῦτα λαλῶ. πόθεν γέγονεν ἡ αἰτία; πάντως ἢ διὰ βρῶμα ἢ διὰ πόμα ἢ διὰ τὸ μὴ ἀνέξεσθαι λόγων. τοσαῦτα ἐζημιώθης καὶ ἡγήσω σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσῃς, καὶ πάλιν τοῖς πάθεσι τοῖς παλαιοῖς ἀνέχῃ καταβυθίζεσθαι τὸν νοῦν; οὐκ ἀκούεις, τί λέγει ὁ ἀπόστολος; " Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία, ἢ διωγμὸς ἢ γυμνότης, ἢ κίνδυνος ἢ μάχαιρα; καθὼς γέγραπται· Ὅτι ἕνεκά σου θανατούμεθα, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ καλέσαντος ἡμᾶς πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος οὔτε ζωή, οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ". νόει τοίνυν, ὦ ἀδελφέ, τῶν εἰρημένων τὴν δύναμιν· ἐὰν γὰρ ἐγκράτειαν οὐκ ἀγαπῶμεν καὶ θλῖψιν οὐχ ὑπομένωμεν καὶ τὸ ἑαυτῶν θέλημα οὐ κόπτωμεν, οὐκ ἔστιν ἡμῖν παρρησίᾳ λέγειν· " Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι ". ἀναλόγισαι ποταπὸς ἦς, ὅτε παρεγένου πρὸς τὴν θύραν τοῦ μοναστηρίου ζέων τῷ πνεύματι εἰς τὸν φόβον τοῦ κυρίου. ἀλλ' ἴσως βούλει λέγειν, ὅτι οἱ ἄνθρωποι οὗτοι κατέστρεψάν μου τὸν λογισμόν. θέλεις δείξω σοι, ἀγαπητέ, ὅτι ἐκ τῆς ἡμῶν ῥαθυμίας ἡ αἰτία αὕτη γέγονεν; ὁ Λὼτ ἐν Σοδόμοις κατῴκει καὶ οὐ συναπώλετο αὐτοῖς, ὁ δὲ Γιεζῆ τῷ προφήτῃ Ἐλισσαίῳ ἐλειτούργει καὶ ἥμαρτεν. ὁμοίως καὶ Σαμουὴλ τῷ Ἠλεὶ παρέμενε καὶ τοῖς τέκνοις αὐτοῦ συνανεστράφη, κἀκεῖνοι παρέπεσον καὶ οὗτος διεσώθη, ὅτι ἠγάπα τὸν κύριον ἐν ἀληθείᾳ. Ἰούδας δὲ ὁ Ἰσκαριώτης σὺν τοῖς μαθηταῖς τῷ κυρίῳ ἠκολούθει καὶ παρέδωκε τὸν διδάσκαλον καὶ κύριον τῆς δόξης εἰς χεῖρας ἀνόμων. μὴ

16 Ῥωμ. η', 35—39. 26 Ματθ. ιθ', 27.

οὖν εἴξωμεν τῇ τοῦ ἐχθροῦ βουλῇ, τοῦ ὑποβάλλοντος δῆθεν εὐλόγους προφάσεις ἐπὶ καταστοφῇ τῶν ἡμετέρων ψυχῶν· ἔχομεν γὰρ ὑποδείγματα ἐκ τῶν θείων Γραφῶν τὸ ἑαυτῷ προσέχειν ἕκαστον εἴτε δικαίοις εἴημεν συναναστρεφόμενοι εἴτε ἁμαρτωλοῖς. δικαίοις τοίνυν συνοικοῦντες δικαίως καὶ ὁσίως ζήσομεν· ἁμαρτωλοῖς δὲ οὐχ ἵνα τὰ ἔργα ἐκείνων ζηλώσωμεν, ἀλλ' ἵνα ὑφ' ἡμῶν ἐκεῖνοι ἑλκυσθῶσιν εἰς ὁδὸν σωτηρίας, τῆς χάριτος συνεργούσης. εἰ δὲ βούλει εἰπεῖν, ὅτι ἀσθενής εἰμι καὶ ὀλίγωρος, ἀκούσωμεν τῶν θείων Γραφῶν καὶ ζηλώσωμεν τὴν πολιτείαν τῶν θείων πατέρων, ὅπως ἰαθῇ ἡμῶν ἡ ψυχὴ καὶ μὴ μόνον ἐν τῷ ἀκούειν λαμβάνωμεν κατάνυξιν καὶ μετ' ὀλίγον τὰ χείρονα ποιήσωμεν· ὁ γὰρ οὕτω λαμβάνων τὸν λόγον οὐδέποτε καρποφορήσει· ῥίζαν γὰρ ἔχουσιν ἐν ἑαυτοῖς· " πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς τὸ πῦρ βάλλεται ". ὡς ἀσθενεῖς ἀκούσωμεν ἀνδρῶν φοβουμένων τὸν κύριον, οἵτινες πρὸς ὑγείαν ὁδηγοῦσι τὴν ψυχήν, καὶ μὴ ὁμοιωθῶμεν ἐκείνοις, οἵτινες πρὸς τὸ ἴδιον θέλημα ἀκούειν βούλονται μόνον, ἵνα μὴ ταλαιπωρήσωμεν συγκολλώμενοι τῷ τῆς κακοφροσύνης λογισμῷ. ἐὰν ἴδῃς νεώτερον τῷ ἰδίῳ θελήματι εἰς οὐρανὸν ἀναβαίνοντα, κράτει αὐτόν· συμφέρει γὰρ αὐτῷ. νόει δὲ τοῦτο καὶ πρὸς παλαιὸν μὲν τῷ χρόνῳ, νεώτερον δὲ ταῖς φρεσί· λέγει γὰρ ἐν ταῖς Παροιμίαις· " Ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν, ὁ δὲ σοφὸς δέξεται συμβουλήν ". ἀκούσωμεν δὲ καὶ τοῦ λέγοντος· " Νεώτεροι, ὑποτάγητε πρεσβυτέροις· πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε, ὅτι θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν ". εἰσὶ γάρ τινες οἰόμενοι σοφοὶ εἶναι καὶ οὐκ ἀξιοῦσιν ὑποτάσσεσθαι τοῖς ὄντως σοφοῖς καὶ γνῶσιν θεοῦ ἔχουσιν, οὓς ὁ ἀπόστολος ματαιολόγους καὶ φρεναπάτας ἀποκαλεῖ λέγων· " ματαιολόγοι ἀνυπότακτοι καὶ φρεναπάται ". ἕτερον δὲ ὑποβάλλει πολλάκις ὁ λογισμὸς καί φησι " Νεώτερος εἶ· περὶ τὸ γῆρας σου μετανοεῖς ". καὶ ἐὰν φθάσῃ γηράσαι, προσφέρει αὐτῷ λογισμοὺς πάλιν· " Νῦν γεγήρακας καὶ ἀναπαύσεως δέῃ ". ὅθεν ἀναγκαῖον, ἀγαπητέ, μετὰ φόβου καὶ τρόμου δουλεύειν τῷ κυρίῳ καθ' ἑκάστην ἡμέραν. τίς γὰρ ἡμῖν εἴπῃ, ὅτι γηράσκομεν, ὅτι εὑρίσκομεν λογισμὸν ἀγαθόν, ἐάν περ ἀπεντεῦθεν ἀμελήσωμεν τῆς ἑαυτῶν σωτηρίας; ἀκούσωμεν τοῦ κυρίου λέγοντος· " Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ πειρασθῆτε, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ". ἡμεῖς τῇ ἑαυτῶν ῥαθυμίᾳ βαρὺν λογιζόμεθα τὸν χρηστὸν τοῦ κυρίου ζυγόν· πόσους δοκεῖς, ἀδελφέ, ἐν τῷ κόσμῳ στερουμένους καὶ τὰ ἑαυτῶν τέκνα ἐν ὑποθήκαις θεμένους; ἑτέρων δὲ τέκνα δυνατῶν ἐν αἰχμαλωσίᾳ περιπεσόντα καὶ εἰς δουλείαν πραθέντα δουλεύουσιν

11 ῥίζαν — ἑαυτοῖς] πρβλ. Ματθ. ιγ', 21. Λουκ. η', 13. Μάρκ. δ', 17. 12 Ματθ. γ', 10. 18 Παρ. ιβ', 15. 20 Πέτρ. 1, ε', 6. 24 Τίτ. α', 10.

οἰκτροτέροις ἐν γῇ ἀλλοτρίᾳ. ἄλλοι δὲ πτωχοὶ ἐρριμμένοι ἐν ταῖς πλατείαις καὶ ῥύμαις τῆς πόλεως γυμνοί, τῷ ψύχει καὶ τῷ καύματι θλιβόμενοι, καὶ ἡμῖν οὐ πολύ ἐστιν ὅτι ἔχομεν τὴν σκέπην ταύτην, ἣν ὁ κύριος ἡμῖν ἐχαρίσατο, καὶ τὴν ἀμεριμνίαν τῶν κοσμικῶν πραγμάτων; τούτων μνησθῶμεν καὶ μὴ ἀθετήσωμεν τὴν χάριν τοῦ θεοῦ καὶ τὰς εὐεργεσίας αὐτοῦ, ὅτι ἠξίωσεν ἡμᾶς τοῦ χρηστοῦ ζυγοῦ αὐτοῦ; ἀλλὰ καὶ ἐζητήσαμεν καὶ οὐκ ἔδωκεν ἡμῖν· καὶ τίς οἶδεν, ὅτι οὐκ εἰς τὸ συμφέρον ἡμῖν τοῦτο; εἴπωμεν καὶ τοῦτο. οὐ σύνοιδεν ἄρα τις ἡμῶν παρακούσας αὐτοῦ τοῦ κυρίου καὶ ἰδὼν ὁ κύριος ἐμακροθύμησεν; περὶ δὲ τῶν ἡγουμένων τῷ κυρίῳ καταλείψομεν· πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ· θεὸς γὰρ πρόσωπον ἀνθρώπου οὐ λαμβάνει. ἀνάστα οὖν καὶ περίζωσαι σεαυτὸν καὶ μὴ συγκατάπιπτε τοῖς λογισμοῖς. ἄκουε τοῦ λέγοντος· " Μὴ νικῷ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν ". οἴμοι τῷ ἁμαρτωλῷ, ἀγαπητοί. τοσαῦτα ὑπέμεινεν ὁ κύριος τῆς δόξης ὑπὲρ ἡμῶν καὶ ἡμεῖς τί δυνάμεθα ἀντάξιον προσφέρειν αὐτῷ ἕνεκεν τῶν παθημάτων, ὧν ὑπέμεινε δι' ἡμᾶς; προσπέσωμεν οὖν αὐτῷ ἐξ ὅλης τῆς διανοίας, τὴν ὑπομονὴν αἰτούμενοι παρὰ τῆς ἀγαθότητος αὐτοῦ· " διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ". εἶπε γὰρ ὁ σωτὴρ τῆς ἑαυτοῦ μαθηταῖς· " Ὑμεῖς μὲν λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. ἡ γυνή, ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς ὥρας ἐκείνης διὰ τὴν χαράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. καὶ ὑμεῖς ἕξετε θλῖψιν, πάλιν δὲ ὄψομαι ὑμᾶς καὶ χαρήσεται ὑμῶν ἡ καρδία καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν ". καὶ ἡμεῖς οὖν, ὦ ἀδελφοί, μακροθυμήσωμεν, ἀλλήλων τὰ βάρη βαστάζοντες. τίς γὰρ στρατιώτης θεωρήσας τὸν συστρατιώτην αὐτοῦ συλληφθέντα ὑπὸ τῶν ἐναντίων οὐκ ἀγωνίζεται καὶ πολεμεῖ τοὺς ὑπεναντίους ἐξελέσθαι τὸν συστρατιώτην αὐτοῦ ἐκ χειρὸς τῶν αἰχμαλωτισάντων αὐτόν; ὅταν δὲ οὐ δυνηθῇ ἐξελέσθαι αὐτόν, τότε κλαίει καὶ κόπτεται μιμνησκόμενος τοῦ ἑταίρου αὐτοῦ. οὐ πολλῷ μᾶλλον ὀφειλέται ἐσμὲν ἡμεῖς ὑπὲρ ἀλλήλων θεῖναι τὰς ψυχὰς ἑαυτῶν, τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος; " Μείζονα ταύτης οὐδεὶς ἀγάπην ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ ". ἀδελφοί, οὐ τῷ Χριστῷ ἐπηγγείλασθε ἀρέσαι; καὶ εἰ τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις τὰς ἐπερχομένας ὑμῖν ὑπὸ τῶν ἐναντίων μὴ φέρετε, μηδὲ τὰς νουθεσίας καὶ τὰς παιδείας τὰς ὑπὸ τοῦ προεστῶτος ὑμῶν δέχεσθε ἢ ὑπομένετε γενναίως, διέψευσται ὑμῶν ἡ ἐπαγγελία, τοῦ ἀποστόλου λέγοντος· " Εἰ δὲ χωρίς ἐστε παιδείας, ἄρα νόθοι

6 χρηστοῦ ζυγοῦ] πρβλ. Ματθ. ια' 30. 12 Ῥωμ. ιβ', 21. 16/17 Πράξ. ιδ', 22. 18/23 Ἰωάν. ις', 20—22. 23 ἀλλήλων τὰ βάρη βαστάζοντες] πρβλ. Γαλ. ς', 2. 30 Ἰωάν. ιε,' 13. 35 Ἑβρ. ιβ', 8.

ἐστὲ καὶ οὐχ υἱοί ". ὑβρίσθης, ὠνειδίσθης; χαῖρε, ὅτι ὑβρίσθης, ἀλλὰ καὶ διόρθωσον τὸ πταῖσμά σου. ἀδίκως ὑβρίσθης; περισσότερος ὁ μισθός· καὶ γὰρ καὶ οἱ ἀπόστολοι τὴν σωτηρίαν τῷ κόσμῳ καταγγέλλοντες κατὰ πόλιν ὡς κακοῦργοι ἐτύπτοντο καὶ οὐκ ὠργίζοντο, οὐκ ἠγανάκτουν, ἀλλ' ἔχαιρον ὅτι ἠξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. καὶ σὺ οὖν χαῖρε, ὅτι κατηξιώθης ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. ἀλλ' ἴσως ἐρεῖ τίς μοι τῶν ἀμελεστέρων· " Λυποῦμαι, ὅτι τοῦτό μοι συμβέβηκε μετὰ τοσούτους καμάτους ". τοῦτό σε λυπεῖ, δοῦλε κυρίου; ἐντεῦθεν τοιγαροῦν ἐπίγνωθι σεαυτόν, εἰ ὄντως μετὰ τοσαῦτα ἔτη τὰ πάθη ἐνίκησας, εἰ ἐχάρης ἐπελθούσης ἀτιμίας καὶ εἰ οὐχ ὑψώθης δόξης ἐπιγενομένης σοι· εἰ γὰρ δοκεῖ τις εἶναί τι μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ· ἡ γὰρ δοκιμὴ τοῦ κυβερνήτου ἐν τῷ καιρῷ τοῦ κλύδωνος ἀποφαίνεται· ὁ γὰρ μεγαλαυχῶν καὶ λέγων " Ἔχω τοσαῦτα ἔτη ἐν τῷ μοναδικῷ βίῳ " καὶ τὴν ἐργασίαν τοῦ ἐπαγγέλματος μὴ δεικνύων καὶ τοὺς τρόπους τοῦ σεμνοῦ βίου ἐκ τῆς καταστάσεως αὐτοῦ μὴ ἐμφαίνων, οὗτος περιφέρει ἐργαλεῖα, ὧν τὴν τέχνην οὔπω μεμάθηκεν. γεγήρακας ἐν τῷ σχήματι; ὡς ἔμπειρος τοῦ προλεχθέντος βίου τυγχάνων τύπος γενοῦ τοῖς νέοις καὶ ἀπείροις. εἰ δὲ νεόφυτος εἶ, ὑποτάγηθι πρεσβυτέροις· καὶ γὰρ οἱ τοῦ ἐπιγείου βασιλέως στρατιῶται τοῖς ἡγουμένοις καὶ ἐξάρχοις αὐτῶν ὑποτάσσονται· οὐ πολλῷ μᾶλλον ὑμᾶς ὑποτάσσεσθαι δεῖ, οὐ μόνον διὰ τὸν φθόνον, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν; εἰ γὰρ ἐκεῖνοι κατὰ σάρκα στρατευόμενοι πᾶσαν σπουδὴν ἐπιδείκνυνται, ὥστε θεραπεύειν τοὺς προεστῶτας αὐτῶν, πῶς ἡμεῖς οἱ καὶ αὐτὴν τὴν ζωὴν ἀπαρνησάμενοι ἐχόμεθα ὑπὸ τῶν τοιούτων παθῶν ἀνυποτακτοῦντες καὶ τὴν ἐν Χριστῷ παιδείαν ἀποσειόμενοι καὶ τοὺς μὲν ἐπαίνους καὶ τὰς δόξας τελείων ἀναχωρητῶν ἀπαιτοῦμεν, τοὺς δὲ πόνους, δι' ὧν αἱ τιμαί, ἀποφεύγομεν; διὰ τί τοσαύτην ἡσυχίαν καὶ ἀγῶνα διὰ μίαν ὥραν ἀπολέσαι ἀνεχόμεθα; ἐὰν γὰρ ἡμεῖς ἑαυτοὺς ἀποκτείνωμεν, τίς ὁ ἐλεήσων ἡμᾶς; οὗτος ἡμῶν ὁ ἔπαινος; αὕτη ἡμῶν ἡ δοκιμή, ἵνα μικρᾶς θλίψεως ἐπελθούσης καὶ τὸ σχῆμα αὐτὸ μικροῦ δεῖν ἀποθέσθαι βιαζώμεθα καὶ τὸν βίον ἀρνώμεθα τὸν ἀγγελικὸν καὶ ἐφοπλίζωμεν καθ' ἡμῶν τὸν ἐχθρὸν διὰ τῆς οἰκείας ῥαθυμίας; μή, ἀδελφοί μου, μὴ δότε νῶτα τοῖς ὑπεναντίοις, ἀλλ' ἀνθίστασθε καὶ πολεμήσατε καὶ φεύξεται ἀφ' ὑμῶν. λογίζομαι γάρ, ὅτι ὁ ἀναδεξάμενος ὑμῶν τὴν προστασίαν οὐ χαίρει ἐπὶ τῷ μώμῳ ὑμῶν, ὡς λόγον ὑπὲρ ὑμῶν διδόναι μέλλων τῷ κυρίῳ. ἔλθετε οὖν εἰς ἑαυτούς, ἀγαπητοί, καὶ ἀναστρέψατε εἰς τὴν ἀνάπαυσιν ὑμῶν. ἐνδύσασθε θώρακα πίστεως καὶ περικεφαλαίαν σωτηρίας. ἀναλάβετε καὶ " τὴν μάχαιραν τοῦ πνεύματος " τοῦ

34 ἐνδύσασθε — σωτηρίας] πρβλ. Θεσ. 1, ε', 8. 35 Ἐφεσ. ς', 17.

ἁγίου, ὅ ἐστι ῥῆμα θεοῦ. γίνεσθε τύπος πραότητος τοῖς ὁμοψύχοις ἀδελφοῖς ὑμῶν. θαυμάσουσι καὶ οἱ μείζονες ὑμῶν ἀδελφοὶ τὴν ὑμῶν ὑπομονήν. χαιρέτω τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἐνοικοῦν ἐν ὑμῖν, ἐπὶ τῇ ἀνδραγαθίᾳ ὑμῶν. εἰ δὲ μικρὸν πειρασμὸν οὐ φέρετε, πῶς μέγαν βαστάσετε; καὶ εἰ παιδίον οὐ περιγίνεσθε, τέλειον ἄνδρα πῶς καταπαλαίσετε; καὶ εἰ λόγον οὐ βαστάζετε, πῶς πληγὴν ὑπενέγκητε; καὶ εἰ ῥάπισμα οὐχ ὑποφέρετε, πῶς τὸν σταυρὸν τοῦ Χριστοῦ βαστάσετε; καὶ εἰ τὸν σταυρὸν τοῦ Χριστοῦ οὐ βαστάζετε, πῶς συγκληρονόμοι γενήσεσθε τῆς ἐπουρανίου δόξης μετὰ τῶν λεγόντων· " Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς καὶ οὐκ ἐπελαθόμεθά σου καὶ οὐκ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ " σου, καὶ πάλιν ὅτι " ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς ". μεθ' ὧν οὐκ ἠγωνίσασθε οὐδὲ συνεκοπιάσατε, πῶς μετ' αὐτῶν τῆς αἰωνίου ζωῆς ἀπολαύσετε; δράμετε, ὦ ἀδελφοί μου, δράμετε· ὀξυποδήσατε, ἵνα στεφανωθῆτε παρὰ Χριστοῦ τοῦ θεοῦ ἡμῶν καὶ ζήσητε εἰς αἰῶνας αἰώνων μετ' αὐτοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. καὶ ταῦτα μὲν περὶ τῶν ὑποχωρούντων τῆς μονῆς καὶ τῆς ἀδελφότητος καὶ προφασιζομένων ματαίας καὶ ψευδεῖς προφάσεις.

νδ'. ***Περὶ τοῦ χρῆναι διάδοσιν ἐν τῷ πυλῶνι γίνεσθαι καὶ τοὺς ξένους καὶ ἀσθενεῖς ἐπισκέπτεσθαι.*** — Τὸ δὲ δὴ ῥηθησόμενον καὶ λίαν ὑμῖν φυλακτέον οὐκ ὀλίγην ὠφέλειαν καὶ σωτηρίαν ἐπιδαψιλευόμενον. ποῖον δὴ τοῦτο; ἡ ἐν τῷ πυλῶνι διάδοσις καὶ ἡ τῶν ξένων καὶ ἀσθενῶν ἀνάπαυσίς τε καὶ ἐπίσκεψις· ἐφ' ᾧ καὶ παρεγγυώμεθα τοὺς ξένους τε ἀναπαύεσθαι ἀδελφοὺς καὶ τοὺς ἀσθενοῦντας αὐτῶν ἀνακλινομένους τῆς κατὰ δύναμιν ἐπιμελείας ἀξιοῦσθαι· καθὼς οἴδατε ἐμὲ τοῦτο ποιοῦντα, οὕτως καὶ ὑμεῖς ποιεῖτε· γυμνητεύοντάς τε καὶ ἀνυποδετοῦντας ἐνδιδύσκετε καὶ ὑποδύετε τοῖς παλαιοῖς ὑμῶν χιτῶσι καὶ ὑποδήμασιν, οὔκουν οὐ παρ' ὑμῶν αὐτῶν διδομένων (τοῦτο γὰρ οὐκ ἐπιτρέπομεν), ἀλλὰ παρὰ τοῦ προεστῶτος τρέφειν τέ φημι πεινῶντας καὶ ψυχαγωγεῖν, ὡς ἔφημεν, ἄρτῳ τε καὶ οἴνῳ καὶ ὀσπρίοις τισὶ τοῖς ἐκ τῶν χρειῶν ὑμῶν περιττεύουσι· τότε γὰρ τὸν πλείονα μισθὸν καὶ μᾶλλον ἕξετε, ὅταν ἐκ τοῦ ὑστερήματος ὑμῶν ταῦτα ποιῆτε· καὶ θεῷ γὰρ φίλον τὸ κατὰ δύναμιν. καὶ ἀποθνήσκοντας δὲ θάπτειν· θάπτειν δὲ οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ πρότερον ψαλλομένους τὰ ἐπιτάφια παρ' ὑμῶν καὶ τῆς ἄλλης ἀξιουμένους ἐπιμελείας, καὶ ἁπαξαπλῶς ἱλαρωτάτως τὴν πρὸς τοὺς ξένους ὑμῶν ἀδελφοὺς ἱλαρότητα διαδείκνυσθαι, ἵνα καὶ ἡμεῖς ἱλαρόν τε καὶ δαψιλὲς τὸ ὑπὲρ αὐτῶν ἔλεος τοῦ θεοῦ ἀπολάβωμεν.

3 τὸ πνεῦμα — ἐν ὑμῖν] πρβλ. Ῥωμ. η', 1. Τιμ. β', 1, 14. 9/10 Ψαλμ. μγ', 18,23. 18 " Τὸ δὲ δὴ ῥηθησόμενον " ἄχρι σ. 74,15 " ἑαυτοῖς περιφυλάττειν "] ταὐτὰ ἐν τῷ τυπ. Εὐεργέτιδος, σ. 649—650, § λη', λθ'.

νε'. ***Περὶ τοῦ μὴ χρῆναι γυναῖκας παραβάλλειν τῇ μονῇ, εἰ μη τινες εἶεν βίῳ καὶ ἀρετῇ περιβόητοι.*** — Οὐδέ τινα γὰρ κενὸν ἐκ τοῦ πυλῶνος ἡμῶν ὑποστρέφειν βουλόμεθα, εἰ μή τις εἴη γυνή· ταύταις γὰρ οὐ μεταδοτέον, οὐ μισοῦντας τὸ συγγενές, ἄπαγε, ἀλλὰ τὴν ἐκεῖθεν βλάβην ὑφορωμένους, ὡς μὴ συνηθείας κρατησάσης πυκνότερον τῷ πυλῶνι παραβάλλειν αὐτὰς (καὶ) κακῶν αἰτίας μᾶλλον ἢ ἀγαθῶν τοῖς διακονηταῖς εὑρίσκεσθαι. εἰ μέντοι καθολικὴ διάδοσίς ἐστιν, ὡς ἐν τῇ τῆς ἀποτομῆς ἑορτῇ τοῦ δεσπότου ἡμῶν, τοῦ τιμίου Προδρόμου, καὶ ἐν διαφόροις μνημοσύνοις τῶν προκεκοιμημένων, διδόναι καὶ ταύταις οὐ κωλυτέον· σπάνιον γὰρ τοῦτο καὶ βλάβην οὐδὲ μίαν ἡμῖν ἐμποιοῦν. καὶ τὴν μονὴν δὲ ἄβατόν τε καὶ παντελῶς ἀδιόδευτον γυναιξὶν ἐβουλόμεθα μὲν εἶναι καὶ ἀπεδεχόμεθα, ἡ δὲ τῶν πολλῶν περιφάνεια καὶ τὸ μὴ δύνασθαι ῥᾳδίως ἀποπέμπεσθαι ταύτας οὐκ εἴασεν ἡμᾶς τοῦτο δὴ καὶ προτρέψασθαι. διά τοι ταῦτα εἰσιέτωσαν μὲν ὅσαι βίῳ καὶ ἀρετῇ εὐγενείᾳ τε καὶ περιφανείᾳ διαβόητοι, σπανίως δὲ ἄγαν καὶ ἐπιτετηρημένως καὶ εἰ δυνατὸν ἀνωϊστί, ἵν' οὕτως ἔχοιμεν τό τε εὐλαβὲς ἐπ' αὐταῖς συντηρεῖν καὶ τὸ ἀβλαβὲς ἑαυτοῖς περιφυλάττειν. εἴρηταί μοι τοιγαροῦν ἄνωθεν ὀλίγα περὶ τῶν ἀρρώστων ἡμῶν ἀδελφῶν, τῇ τοῦ προεστῶτος βουλῇ τὸ πᾶν τῆς αὐτῶν προνοίας ἀνατιθέντι· χρὴ δὲ καὶ περὶ τούτων πλατύτερον διαλαβεῖν.

νς'. ***Περὶ τῆς τῶν ἀρρώστων ἀδελφῶν ἀναπαύσεως.*** — Ἐντελλόμεθα οὖν ἀφορισθῆναι χάριν τῶν ἀρρώστων κελλίον τύπον ἀποσῷζον νοσοκομείου, καὶ κραββάτους τέσσαρας πρὸς ἐκείνων ἀνάκλισίν τε καὶ ἀνάπαυσιν, καὶ ὑπηρετικὸν ἀδελφὸν ἕνα, ὥστε τούτοις ὑπηρετεῖν ἐν πᾶσι· καὶ ἄρουλαν δὲ μεγάλην, ἐν ᾗ δέον τὰ τούτων ἕψειν μαγειρευτά, θερμά τε ποιεῖν καὶ ἄλλ' ἄττα πρὸς τὴν ἐκείνων παράκλησιν· ποιεῖσθαι δὲ τὴν τούτων ἐπιμέλειαν οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὸ δυνατὸν ἔν τε βρώσει καὶ πόσει καὶ λοιποῖς χρειώδεσιν. οἶδα γὰρ ἐκ τῶν πρός με γινομένων εὐεργεσιῶν τοῦ θεοῦ, ὅτι οὐ μὴ παρίδῃ τῶν δούλων αὐτοῦ τὴν αἴτησιν, τῶν δεομένων αὐτοῦ νυκτὸς καὶ ἡμέρας, ἀλλ' ἐπακούσει καὶ πέμψει ἰατρὸν τὸν μέλλοντα παρηγορεῖν αὐτούς· καὶ ὁ θεὸς ὁ ἅγιος παρέχει τὴν ἴασιν αὐτοῖς καὶ τὴν θεραπείαν διὰ πρεσβειῶν τοῦ δεσπότου ἡμῶν καὶ κυρίου, τοῦ τιμίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, καὶ διὰ μεσιτείας τοῦ εὐεργέτου ἡμῶν, τοῦ θαυματουργοῦ καὶ ἁγίου Συμεών. ἐνδέχεται δὲ καὶ τὸν ἡγούμενον μὴ παρέργως μηδὲ σπανίως τῷ νοσοκομείῳ ἐπιφοιτᾶν, ἀλλὰ καθ' ἑκάστην σχεδόν, εἰ δυνατὸν αὐτῷ, ὥραν καὶ ὁλοψύχως ἐπισκέπτεσθαι τοὺς ἀδελφοὺς καὶ ἑκάστῳ συνεισφέρειν τὰ πρόσφορα. καὶ οἱ

16/25 εἴρηταί μοι τοιγαροῦν — χρειώδεσιν] ταὐτὰ ἐν τῷ τυπ. Εὐεργέτιδος, σ. 651—652, § μα. 21 ὑπηρετικὸν] κ ῶ δ. ὑπηρετὸν. 31/32 "ἐνδέχεται δὲ" ἄχρι σ. 75,9 "ἀπολάβωσιν"] πρβλ. τυπ. Εὐεργ. 652.

ἀδελφοὶ δὲ ἡμῶν οἱ ἄρρωστοι μὴ τούτῳ τεθαρρηκότες ἐκλύωσιν ἑαυτοὺς ζητοῦντες περιττά τινα καὶ ἅπερ ἴσως οὐδ' εἰς ἀκοήν ποτε ἐδέξαντο, μή ὅτι γε εἶδον ἢ ἔφαγον, ἀλλὰ συνεχέτωσαν ἑαυτοὺς καὶ συστελλέτωσαν, ἀρκούμενοι ἐν ἐκείνοις καὶ μόνοις, οἷς ἄρα ἡ τοῦ καιροῦ καὶ τῆς εὐπορίας τῆς μονῆς περιφορὰ τούτους δεξιοῦται· εἰ γὰρ καὶ ἐπιμελεῖσθαι αὐτῶν διὰ τὴν ἐντολὴν ἐντελλόμεθα, ἀλλ' οὐχὶ καὶ τρυφᾶν αὐτοὺς παραχωροῦμεν, συνεσταλμένως δὲ μᾶλλον ζῆν καὶ ὡς δεῖ τοὺς μοναχούς, ἵνα καὶ αὐτοὶ τὸν τῆς ὑπομονῆς μισθόν, ὃν ἡ στέρησις τῶν ὀρέξεων καὶ ἡ τῆς ἀρρωστίας δυσχέρεια προξενεῖν αὐτοῖς μέλλει, ἐκ θεοῦ ἀπολάβωσιν. ἑνὸς οὖν ἐπιμνησθεὶς καταπαύσω τὸν λόγον. τί δέ ἐστι τοῦτο; τὸ μεῖζον πάντων τῶν κακῶν καὶ πρῶτον καὶ οὐ μικρῶς βλάπτον τὰς ἡμετέρας ψυχάς, ἢ μᾶλλον εἰπεῖν καὶ τὰ σώματα, καὶ συγχέον πᾶσαν τὴν ἀδελφότητα τήν τε θαυμασίαν κατάστασιν ἡμῶν καὶ ἡσυχίαν τῆς ἐν τῷ ὄρει τούτῳ κατοικίας τῶν ἡμετέρων ψυχῶν.

νζ'. ***Περὶ τοῦ μὴ ἔχειν ὅλως ζῷα θηλυκά.*** — Ὅπερ καὶ ἀπὸ κυρίου θεοῦ ἐντελλόμεθα ὑμῖν, μὴ κεκτῆσθαί ποτε ὑμᾶς ἔσωθεν τῆς μονῆς ἢ ἔξωθεν ζῷα θηλυκά, μήτε βόας, μήτε πρόβατα, μήτ' ἄλλο τι τοιοῦτον· ἀπηγορευμένον γάρ ἐστι πᾶσι τοῖς κατὰ θεὸν πολιτευομένοις καὶ ἀποτασσομένοις τοῖς βίου πράγμασι. μόνον μέντοι ἀρρενικὰ ζῷα ἔχετε εἰς τὸ ἀλήθειν τὸν ἄρτον ὑμῶν, καὶ ταῦτα ὀλιγοστά, καὶ βόας ἄρρενας δύο, ἤγουν ζευγάριον ἕν, εἰς τὴν ὑπηρεσίαν ὑμῶν καὶ πλεῖον οὐχί· τῆς γὰρ ἐξ αὐτῶν βλάβης καὶ ζημίας ἐν πείρᾳ γενόμενος, τῆς τε ψυχικῆς καὶ τῆς σωματικῆς, ὑμῖν διατίθεμαι ἐκφυγεῖν τῆς πλάνης καὶ τῆς ἀπάτης αὐτῶν, ἵνα μὴ καὶ ὑμεῖς ὡς κἀγὼ πολλὰ λυπηθήσεσθε καὶ ἕξετε καὶ ὑπὲρ τούτων ζημίας οὐκ ὀλίγας καὶ οὐκ ὠφέλειαν. ἂν δὲ καὶ παρακούσητέ μου, τότε μνησθῆτε καὶ μὴ βουλόμενοι μακαρίσετε, ὅταν οὐκ ἐξ αὐτῶν ὠφέλειάν τινα καρπώσησθε, ἀλλὰ μᾶλλον ζημίας σωματικάς τε καὶ ψυχικὰς καὶ ὀχλήσεις καὶ ταραχάς· πιστεύω γὰρ τῷ θεῷ καὶ τῷ αὐθέντῃ ἡμῶν, τῷ τιμίῳ προδρόμῳ καὶ βαπτιστῇ τοῦ θεοῦ Ἰωάννῃ, ὅτι εἰ τὴν ἀκτημοσύνην καὶ τὴν πτωχείαν τὴν πνευματικὴν καὶ τὴν κατοίκησιν τοῦ ἁγίου τούτου ὄρους ἀσπάζοισθε καὶ δουλεύοιτε τῷ θεῷ ἀξίως τῶν προσταγμάτων αὐτοῦ καὶ καθὼς ὑμῖν διεταξάμην, οὐ μὴ λυπηθήσεσθέ ποτε ἕνεκεν πάντων τῶν χρειωδῶν ὑμῶν, ἀλλὰ πλουσίως καὶ κρειττόνως τῶν κεκτημένων τὰς ματαίας καὶ πολυόλους κτήσεις πάντων, ὧν χρῄζετε εἰς σύστασιν τοῦ ταλαιπώρου ὑμῶν σώματος, ἀπολαύσετε παρὰ τοῦ φιλανθρώπου θεοῦ, καθὼς αὐτὸς ὁ σωτήρ μου διὰ τοῦ ἁγίου Εὐαγγελίου φησί· "Μὴ οὖν μεριμνήσητε λέγοντες, Τί φάγωμεν ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα· πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄ-

34 Ματθ. ς', 31—34.

ζετε τούτων πάντων. ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς". ταῦτα δὲ ἀληθῶς ἔχει καὶ γίνεται, ἀδελφοί μου ἠγαπημένοι, τοῖς πιστεύουσιν ὁλοψύχως καὶ μὴ διστάζουσι, τοῖς ἀνατιθεῖσι τὰς ψυχὰς αὐτῶν καὶ τὰ σώματα τῷ πλάσαντι αὐτοὺς θεῷ καὶ τοῖς ζητοῦσιν αὐτὸν νυκτὸς καὶ ἡμέρας, ὡς καὶ ἐγὼ ὁ ἁμαρτωλὸς ἐξ ἔργων αὐτῶν ἔγνων καὶ ἐπληροφορήθην ἐκ τῶν πρός με γινομένων καθ' ἑκάστην ἀπείρων εὐεργεσιῶν τοῦ θεοῦ. πιστεύσατε γάρ μοι παραφρονοῦντι καὶ ἀληθεύοντι, ὅτι πολλάκις ἐμοῦ τοῦ ἀναξίου τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἐν τῷ ὄρει τούτῳ περιπολοῦντος καὶ δεομένου τοῦ ἐλέους κυρίου εὑρεῖν τινα μικρὰν ῥανίδα σωτηρίας καὶ συγχώρησιν τῶν πολλῶν καὶ ἀναριθμήτων μου πταισμάτων, ὧν ἔπραξα ἐν τε ἀγνοίᾳ καὶ γνώσει μου, μεγάλαι παρακλήσεις, μᾶλλον δέ, εἰ δεῖ τἀληθέστερον εἰπεῖν, καὶ ἐλλάμψεις θεῖαι καὶ θαύματα φοβερὰ ἐνεδείχθησαν τῇ ἀσθενείᾳ μου ὑπὸ τοῦ θαυμασίου βαπτιστοῦ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν Ἰωάννου τοῦ τιμίου προδρόμου καὶ κυρίου μου· καὶ διὰ τοῦτο παρακαλῶ καὶ δυσωπῶ ὑμᾶς μὴ κενοὺς ἐν τῷ ὄρει τούτῳ καθέζεσθαι, διότι κατὰ πολύ ἐστι τὸ ὄρος τοῦτο ὠφέλιμον τοῖς σῴζεσθαι βουλομένοις. τοῦτο γὰρ εἴ τις καλέσει ὄρος Χωρήβ, ὄρος τε Καρμήλιον ἢ Σινᾶ ὄρος, ὄρος τε Θαυμάσιον ἢ Θαβώρ, ὄρος, ἐν ᾧ ὁ Χριστὸς καὶ θεός μου τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις ἔδειξε τὴν ὑπερβάλλουσαν αὐγὴν τῆς θεότητος αὐτοῦ, οὐχ ἁμαρτήσει τοῦ πρέποντος. ἐν τούτῳ γοῦν τῷ ἁγίῳ ὄρει καὶ θαυμαστῷ προσκαθήμενοι, τὰ λεχθέντα ἐπὶ νοῦν φέροντες καρποφορήσητε ἐν τριάκοντα καὶ ἑξήκοντα καὶ ἑκατόν, μακρὰν ὄντες τοῦ δολίου δράκοντος, τῆς πορνείας καὶ τῶν ἑτέρων αἰσχρῶν παθῶν, ὧν τὸ κατ' εἶδος αἰσχρόν ἐστι καὶ λέγειν καὶ ἀκούειν ὑμᾶς. τὴν δὲ ἁγίαν ἐντολὴν τοῦ ὁσίου πατρὸς ἡμῶν τοῦ θαυματουργοῦ, τὴν παραδοθεῖσαν ὑμῖν περὶ τοῦ τρισαγίου τοῦ τε σίτου καὶ τῆς ζύμης, διὰ τὸν κύριον μὴ ἐκκακήσητε ποιεῖν καθ' ἕκαστον Σάββατον ἢ ἐν τῷ καιρῷ τῆς ζυμώσεως, ἐπιλέγοντος καὶ ταύτην τὴν εὐχὴν τοῦ ἱερέως ἐν τῷ ὠρείῳ: — Εὐχή,[1] ἣν ὀφείλει λέγειν ὁ ἱερεὺς ἐν τῷ ὠρείῳ: — Κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους καὶ τοὺς πεντακισχιλίους χορτάσας, αὐτὸς εὐλόγησον τὸν σῖτον τοῦτον καὶ πλήθυνον αὐτὸν ἐν τῇ ἁγίᾳ σου ταύτῃ μονῇ καὶ εἰς τὸν κόσμον σου ἅπαντα, ὅτι ἐν σοὶ πᾶσα ἡ ἐλπὶς ἡμῶν ἐστι καὶ παρὰ σοῦ τὴν ἐφήμερον τροφὴν ἐλπίζοντες σοῦ δεόμεθα. μὴ ὑπερίδῃς ἡμᾶς τοὺς ἁμαρτωλούς· σὺ γὰρ εἴρηκας, ὅτι " ὅσα ἐν τῷ ἐμῷ ὀνόματι αἰτήσητε, λήψεσθε"· καὶ σός ἐστι λόγος τὸ " αὐξάνεσθε καὶ πληθύνεσθε ". θαρροῦντες οὖν τῷ ἐλέει τῆς εὐσπλαγχνίας σου αἰτούμεθα, μὴ ἐγκαταλίπῃς ἡμᾶς· ἀλλ' ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου, ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου καὶ τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ δούλοις σου πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ θαυματουργοῦ καὶ πάντων σου τῶν ἁγίων· ὅτι σὺ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

νη'. Περὶ τοῦ εἴτε χρὴ δέχεσθαι παῖδας ἐν τῇ μονῇ εἴτε καὶ μή. — Ἐπεὶ δὲ ἀναγκαῖόν ἐστι διατάξασθαι ὑμῖν καὶ περὶ τοῦ εἴτε δέχεσθαι δεῖ παῖδας ἢ ἀγενείους ἐν τῇ τοιαύτῃ μονῇ, εἴτε καὶ μή, ἀναγκαῖον ἐποιησάμην καὶ περὶ τούτου τοῦ κεφαλαίου ὑμῖν παραθέσθαι, ὅσα ἔκ τε πείρας αὐτῆς καὶ ἀπὸ τῶν φωστήρων ἡμῶν τῶν ἁγίων πατέρων παρέλαβον. θέλω τοίνυν καὶ ἀποδέχομαι κατὰ τὰς διατάξεις τῶν ἁγίων μὴ δέχεσθαι τοὺς ἀγενείους, ἵνα ἦτε ἐλεύθεροι καὶ ἀνενόχλητοι ἀπὸ τῶν ἐξ αὐτῶν ἐπερχομένων ὑμῖν βλαβῶν. εἰ δὲ καὶ πολλάκις εἴτε διὰ δουλείαν ἢ δι' ἀνάπαυσιν τῶν γερόντων ὀφείλει ὁ προεστὼς δέξασθαί τινα τοιοῦτον, στενοχωρουμένων ἴσως τῶν ἀδελφῶν καὶ μὴ ἐχόντων τοὺς ὑπηρετοῦντας αὐτοῖς, ἐντέλλομαι ὑμῖν ἐν τῷ προαστίῳ τῆς μονῆς, ὃ Ἅγιος Πέτρος λέγεται καὶ Χαλκεῖον ἐπονομάζεται, ἐγχωρίως δὲ Παντείχιον καλεῖται, τούτους καθῆσθαι καὶ ὑπηρετεῖν τοῖς ἀδελφοῖς, ἕως ἂν γένειον φέρωσι, καὶ τότε εἰς τὴν μονὴν μετὰ τῶν πατέρων δέχεσθαι· ἄλλως γὰρ τοὺς τοιούτους ἔσωθεν τῆς μονῆς μετὰ τῶν γερόντων διάγειν οὐκ ἔστι καλόν, ἀλλὰ καὶ λίαν βλαβερὸν κατὰ πολλοὺς τρόπους. εἰ δὲ καί τινες εἶεν καὶ ἀμφιβάλλουσι καὶ λέγουσι μὴ βλάπτειν τοὺς τοιούτους καὶ μάλιστα ἐν τοῖς ὄρεσι, ματαιάζουσιν· εἴ τι γὰρ καὶ προβάλλονται, ἀνίσχυρόν ἐστι καὶ ἀδρανές. εἰ δὲ θέλουσιν ἡμᾶς εἰπεῖν τι πρὸς αὐτούς, πρὸς ὠφέλειάν τε αὐτῶν καὶ προσοχὴν καὶ διδασκαλίαν τοῦ πολέμου τοῦ ἐπεισερχομένου ἐξ αὐτῶν καὶ πρὸς ἐπιστηριγμὸν καὶ ἀσφάλειαν τῶν μετὰ τοιούτων ὀφειλόντων συνδιάγειν, φέρε τινὰ πρὸς αὐτοὺς διαθώμεθα. — "Οἱ λέγοντες γυναιξὶ καὶ παιδίοις συν-

23 καρποφ. — ἑκατόν] πρβλ. Ματθ. ιγ', 8. 31 εὐλογήσας κέ.] πρβλ. Ματθ. ιδ', 19—21. 35 πρβλ. Ἰωάν. ις', 24.

1 Γεν. α', 28. 31 " Οἱ λέγοντες " κέ. ἄχρι σ. 81, 29] τοῦτο ὅλον συναποτελεῖ τὸ ἄχρι τοῦδε τύποις μεῖναν ἀνέκδοτον „Ἴσον ἐπιστολῆς τοῦ μακαρίου ἀββᾶ Παύλου τοῦ Ἑλλαδικοῦ" (cod. Coisl. 303, f. 232v—236) οὗ τεμάχιον, τὸ περὶ Ἱεριχοῦντος, προεξέδωκα σὺν τοῖς βίοις τοῦ ὁσίου Θεογνίου (Правосл. Палест. Сборникъ, 189 τεῦχος 32, σ. 25). Ἐπειδὴ δὲ τὸ ἐν τῷ ἀνὰ χεῖρας τυπικῷ κείμενον πολλαχοῦ διαφέρει λεκτικῶς τοῦ ἐν τῷ cod. Coisl., σημειοῦμαι τὰ διαφέροντα τούτου ἀναγνώσματα ὧδε τῷ στοιχείῳ C χρῆναι ποιησάμενος τῶν ὑπὸ τοῦ σοφωτάτου φίλου μου Père Hippolyte Delehaye ἀποσταλεισῶν μοι φωτογραφιῶν.

27 κ ῶ δ. προβάλλωνται.

διάγειν καὶ μηδὲν εἰς ψυχὴν βλάπτεσθαι ὑπὸ τῆς ἡδυπαθείας, ἀλλὰ καὶ νευροῦσθαι μάλιστα καὶ ἀντιπαρατάττεσθαι τοῖς τῆς πορνείας πολέμοις καὶ τοῖς γαργαλισμοῖς τῆς σαρκός, οὗτοι πάντως ὑπὸ τῆς πλάνης τῶν δαιμόνων ἐνεργοῦνται· πολλαὶ γὰρ ὑπάρχουσιν αἱ μέθοδοι τοῦ διαβόλου καὶ αἱ τέχναι, καθά φησιν ὁ μακάριος ἀπόστολος Παῦλος, καὶ ἓν τῶν δύο, ἢ μωροὶ τυγχάνουσιν οἱ τοιοῦτοι καὶ ἄπειροι τῆς κακουργίας καὶ πολυμηχανίας τῶν ἀοράτων ἐχθρῶν, ἢ φιλήδονοι ἀληθῶς καὶ ἐμπαθεῖς καὶ ἐν σχήματι εὐλαβείας καὶ ἐγκρατείας δῆθεν τὴν κενοδοξίαν πληροφοροῦντες καὶ τὴν ἀνθρωπαρέσκειαν, πλείστην κακὴν καὶ ἄθεσμον ἡδονὴν κατὰ τὸ λεληθὸς ἐκτελοῦντες, τοῖς πόρνοις καὶ μοιχοῖς καὶ ἀρσενοκοίταις συναριθμοῦνται καὶ συγκολασθήσονται ἐν ἡμέρᾳ κρίσεως, κἂν μηδέν, καθὼς λέγουσι, τὸ σῶμα βλάπτον αἰσχρὸν διαπράττονται. εἰ γὰρ ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, πολλῷ μᾶλλον ὁ συνδιάγων νεωτέροις, κἂν γέρων ὑπάρχῃ, κἂν νεώτερος καὶ σφριγῶν καὶ ἀκμάζων καὶ ζέων τῇ φλεγμονῇ τῆς σαρκός. ἔγνωμεν γάρ τινας τῷ ὄντι ἀληθεῖς ἄνδρας καὶ ἀγωνιστὰς καὶ δυναμένους τῇ πνευματικῇ πράξει, ἀκτήμονας καὶ ἰσχυροὺς καὶ εὐτόνους καὶ εἰδότας παλαίειν καὶ πυκτεύειν τοῖς ἀντιπάλοις δαίμοσι, καὶ ἀγρυπνοῦντας καὶ νηστεύοντας καὶ ὑδροποτοῦντας καὶ μόνῃ ψιάθῳ εἰς ὕπνον ἀρκουμένους, καὶ πολλὰ κατορθώματα ἔχοντας καὶ εὐχομένους διὰ παντός, ὅτι εἰς μητέρας ἰδίας ἐπολεμοῦντο καὶ ἀδελφὰς καὶ ἀδελφοὺς καὶ εἰς υἱοὺς ἰδίους νεωτέρους τὴν μανίαν τῆς πονηρᾶς ἐπιθυμίας πληρῶσαι κατηναγκάσθησαν ὑπὸ τῶν φιληδόνων τῆς ἀκαθαρσίας πνευμάτων καὶ μετὰ ταῦτα ἐξωμολογήσαντο φανερῶς ταῦτα μετὰ δακρύων κοπτόμενοι καὶ βοῶντες· Ἡμάρτομεν, ἠνομήσαμεν, ἐδαιμονίσθημεν. μέγας γὰρ ἀληθῶς δαίμων ὑπάρχει ἡ σαρκικὴ ἐπιθυμία καὶ ἄθεσμος καὶ πικρὰ καὶ ὀλεθρία ἡ ἡδονή. διὰ ταύτην ἔγνωμεν καὶ εἴδομεν ἀρνουμένους μοναχοὺς τὸ σχῆμα τὸ ἅγιον καὶ εἰς μυρία καὶ αἰσχρὰ αὐτοὺς ἐξοκείλοντας, καὶ ταῦτα καὶ Μεσοποταμηνοὺς μοναχοὺς παθόντας καὶ Κίλικας καὶ Ἀσιανοὺς καὶ Ποντικοὺς καὶ Αἰγυπτίους καὶ Θετταλοὺς καὶ Ἑλλαδικοὺς καὶ Ἄραβας καὶ Πέρσας, καὶ τοὺς καθεξῆς ἡ ἱστορία παρέδωκε. πλὴν γνῶθι πανουργίαν, μᾶλλον δὲ κακουργίαν τοῦ δαίμονος τῆς πορνείας· ὑποχωρεῖ γὰρ χρόνον τινὰ καὶ νεκροῖ τὸ σῶμα, ἵνα μὴ πυροῦται, καὶ παύει

1 συνδιάγειν] συγκαθεύδειν ἐν μιᾷ στρωμνῇ C. 2 μάλιστα] μᾶλλον C 3 τῶν δαιμ. τῆς πλάνης C. 4 μέθοδοι] μεθοδίαι C. 5 Παῦλος] πρβλ. Ἐφ. ς', 11. 6 αὐτῶν τῶν ἀοράτων C. 8 ἀνθρωπαρεσκίαν C. 11 τὸ σῶμα βλάπτον] τῷ σώματι C. 13 συνδιάγων νεωτέροις] συγκαθεύδων τοῖς σώμασι C. 20 ἐπολ. καὶ εἰς ἀδελφοὺς καὶ εἰς C. 23 κοπτόμενοι C, κ ῶ δ. κρυπτόμενοι. 24 καὶ δεινὸς δαίμων C. 25 ἡ ἄθεσμος — ὀλ. ἡδονή C ‖ διὰ ταύτην] ταῦτα C. 25/27 καὶ εἴδομεν — καὶ ταῦτα καὶ] λείπουσι τῷ C. 27/29 Μεσοποταμηνοὺς — καθεξῆς] Ἀρμενίους μοναχοὺς παθ. καὶ Μεσοπ. καὶ Αἰγ. καὶ Θεσσαλεῖς — καὶ ἑξῆς C. 29 ἡ ἱστορία παρέδωκε] λείπ. τῷ C.

τὰς ἐμπαθεῖς κινήσεις καὶ ποιεῖ τὸν χλευαζόμενον ὑπονοῆσαι, ὅτι ἔφθασε τὸ ὅρος τῆς ἀπαθείας καὶ ὅτι ἠξιώθη τοῦ μέτρου τῶν ἀποστόλων καὶ ὅτι ἀναληφθήσεται λοιπόν, καθάπερ Ἠλίας ἐν ἅρματι πυρίνῳ, εἰς τὰ ἐπουράνια. ποιοῦσι δὲ αὐτὸν καὶ διδάσκειν πολλοὺς καὶ κομπάζειν καὶ λαλεῖν ὑπέρογκα καὶ ὀνειδίζειν τοὺς ὀλισθαίνοντας εἰς ἡδονὰς καὶ κατακρίνειν τοὺς πορνεύοντας καὶ ἀλαζονεύεσθαι καὶ καυχᾶσθαι ἐπὶ τοῖς τῆς ἀσκήσεως αὐτοῦ μεγάλοις ἔργοις καὶ μυκτηρίζειν τοὺς ἀδελφοὺς ὡς χαύνους καὶ ἀνάνδρους καὶ μηδὲν ἔχοντας ἔργον πνευματικῆς ἀρετῆς. μετὰ δὲ ταῦτα πάντα, χρόνου τινὸς παρελθόντος, ἐξαίφνης ἐπιπίπτει ὁ δαίμων τῆς πορνείας τῷ πλανηθέντι ἀδελφῷ, κἂν παρθένος ὑπάρχῃ, καὶ μεταλλάσσει τὸν νοῦν ῥέψας πρὸς τὴν αἰσχρὰν ἡδονήν, καὶ τὴν σάρκα κάτω κοχλάζειν βιάζων ὡς πρὸς τὸ μυσαρὸν καὶ ψυχοβλαβὲς ἔργον, καὶ χαλᾷ τοὺς τόνους τῆς διανοίας καὶ ἐμπυρίζει τὰ μέλη τῷ ἐμπαθεῖ καὶ ἀκαθάρτῳ πυρί, καὶ καταλύει πᾶσαν τὴν δύναμιν τοῦ ἀνθρώπου καὶ τὴν διάθεσιν πᾶσαν ἀλλοιοῖ πρὸς τὸ ψεκτὸν καὶ χεῖρον, καὶ δείκνυσι τὸν πρὸ τούτου δοκοῦντα δίκαιον καὶ ἅγιον καὶ ἀσκητὴν ὥσπερ χοῖρον ἐν βορβόρῳ κυλινδούμενον καὶ χείρονα φαινόμενον τῶν εἰς τὴν ἀγορὰν φανερῶς καὶ δημοσίως πορνευόντων ἀνθρώπων· καὶ τότε νοεῖ πόθεν καὶ ποῦ ἐξέπεσε καὶ λέγει λοιπόν· Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης τῶν παθῶν καὶ καταιγὶς κατεπόντισέ με· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου· νῦν ἔγνων ἀληθῶς, ὅτι οὐκ εἰμὶ τέλειος οὐδὲ φρόνιμος οὐδὲ ἔμπειρος τῶν τεχνασμάτων τοῦ διαβόλου καὶ τῶν δαιμόνων, ἀλλὰ μωρὸς καὶ ἄφρων καὶ νήπιος· διόπερ καὶ κράζει· Ὁ θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν· ἡ γὰρ νομιζομένη δικαιοσύνη μου ὡς ῥάκος ἀποκαθημένης γυναικὸς ἐν τῇ ἀφροσύνῃ μου κατελογίσθη. ταῦτα λέγω οὐχ ὡς δίκαιος οὐδὲ ὡς ἐνάρετος, ἀλλ' ὡς ἁμαρτωλὸς διδαχθεὶς ὑπὸ πατέρων ἁγίων καὶ πολυπείρων καὶ δυναμένων ἀνθίστασθαι τοῖς τῶν ἐχθρῶν μηχανήμασιν. ἐπειδὴ οἶδεν ὁ διάβολος, ὅτι ὁ μοναχὸς πρὸ πάντων τὴν θεοσέβειαν καὶ τὴν ἁγνείαν τοῦ βίου ἀσπάζεται καὶ βούλεται πάντοτε ἐν ἁγιασμῷ καὶ φόβῳ θεοῦ διατρίβειν, διὰ τοῦτο ὁ Σατανᾶς ἀντιβαίνων καὶ ἀντιτασσόμενος τῇ τοιαύτῃ προθέσει τοῦ μοναχοῦ ἐν πονηραῖς ἐπιθυμίαις καὶ σαπραῖς καὶ ἀτόποις ἡδοναῖς ἐκταράσσει καὶ συγχεῖ καὶ μολύνει οὐ μόνον βλεπομένων προσώπων ἀνθρώπων σαρκί-

1 τὰς κιν. τὰς ἐμπαθεῖς C. 2 τὸ ὅρος] τοὺς ὅρους C. 5 εἰς ἡδονὰς] εἰς τὸ λί(=εῖ)ον τῆς ἡδονῆς C. 9 πορνείας καὶ ἡδυπαθείας C. 10 ῥέψας C. 11 κοχλάζει βιαζόμενος πρὸς C. 14 χλευασθέντος ἀνθρώπου C. 16 φαιν. τοῦ - - - πορνεύοντος ἀνθρώπου C. 18 Ἦλθον — κατεπόντισέ με] πρβλ. Ψαλμ. λζ', 6. 22 Ὁ θεὸς — ἀπεκρύβησαν] Ψαλμ. ξη', 6. 25 ἀφροσύνη μου] ἀφαίδρῳ αὐτῆς C. 27 ἀνθίστ. μετὰ τῆς ἐνοικούσης ἐν αὐτοῖς θείας χάριτος τοῖς τῶν C. 30 προθέσει πᾶσαν σχεδὸν τὴν ζωὴν τοῦ C. 32 ἀνθρώπων] λείπει τῷ C.

νων, ἀλλὰ καὶ μὴ ὁρωμένων τῇ ἀφανεῖ παρενοχλήσει κατὰ ψυχὴν καὶ τῇ κινήσει τῶν κινημάτων τοῦ σώματος, πολεμῶν καὶ θλίβων καὶ μιαίνων τὸν ἀγωνιζόμενον ἄνθρωπον, νυκτὸς μὲν ῥυπαροῖς ἐνυπνίοις, ἡμέρας δὲ τῇ ἐνθυμήσει καὶ τοῖς τῆς σαρκὸς γαργαλισμοῖς καὶ τῇ οἰστρηλασίᾳ τῆς ἀτοπίας. πολλάκις δὲ καὶ ὁ τῆς βλασφημίας δαίμων συντρέχει καὶ συναγωνίζεται τῷ δαίμονι τῆς ἀκαθαρσίας, ἵνα εἰς ἀπελπισμὸν καὶ ἀπόγνωσιν ἐμβάλῃ τὸν ἀσκητήν. χρὴ οὖν φυλάττεσθαι τὰς μηχανὰς καὶ τὰς μεθοδείας τοῦ παμποικίλου καὶ πανούργου δαίμονος, καὶ διδάξωμεν ἑαυτούς, ὅταν συντυγχάνωμεν εὐμόρφῳ προσώπῳ, κἂν ἀδελφοὶ ἡμῶν ὑπάρχωσι, κἂν ἴδιοι κατὰ γένος, μὴ ὁρᾶν τρανῶς τὸ πρόσωπον τὸ καλόν, ἀλλὰ κάτω βλέποντας εἰς τὴν γῆν λαλεῖν καὶ οὕτω τὰς ἀποκρίσεις παρέχειν τοῖς ὁμιλοῦσιν ἡμῖν· ὁ γὰρ ὀφθαλμὸς τοῦ ἀνθρώπου κύων ὑπάρχει ἀναιδὴς καὶ λυσσῶν καὶ ἐπιτρέχων ταῖς ὄψεσι τῶν βλεπομένων, καὶ τούτῳ διὰ παντὸς τῷ ὅπλῳ καθ' ἡμῶν οἱ δαίμονες χρῶνται, ἀλλὰ καὶ τῇ χειρί. καὶ γὰρ κατ' ἀρχὰς ἡ Εὔα πρῶτον εἶδε τὴν καλλονὴν τοῦ δένδρου, εἶτα ἐπιθυμήσασα ἥψατο τῇ χειρὶ καὶ ἔφαγε τοῦ κωλυθέντος καρποῦ, καὶ μετὰ τοῦτο γυμνωθεῖσα τῆς ἁγνείας καὶ τῆς δικαιοσύνης κατηνέχθη πρὸς θάνατον καὶ φθοράν. ἵνα δὲ ἀκριβέστερον τὸ λεγόμενον μάθῃς καὶ νοήσῃς, πρόσεχε τοῖς νῦν λεχθησομένοις· πρὸ γὰρ ἐτῶν ἱκανῶν Εὐτρόπιός τις εὐνοῦχος, νοτάριος Ἰουλιανῆς τῆς κατὰ Πλακίδα, τῆς γυναικὸς Ἀρεβίνδου τοῦ στρατηλάτου, ἀποταξάμενος τῷ κόσμῳ ἐγένετο μοναχός· καὶ λαβὼν τὸν δεύτερον πύργον, τὸν κτισθέντα παρὰ Ἠλίᾳ ἀρχιεπισκόπου Ἱεροσολύμων, κατῴκησεν ἐν αὐτῷ καὶ συνήθροισε συνοδίαν εὐνούχων μοναζόντων οὐ μακρὰν τῆς Ἱεριχώ. οὗτος τοίνυν ὁ Εὐτρόπιος μετὰ χρόνους πολλοὺς ἐξωμολογήσατο μετανοῶν καὶ θλιβόμενος καὶ λέγων ὅτι· «Ἀνήρ τις Ἱεριχούντιος εὐγενὴς καὶ εὔπορος ἐφιλήθη μοι καὶ ἐκαρποφόρει τῷ μοναστηρίῳ μου καὶ πυκνὰ συνετύγχανέ μοι καὶ συνήσθιε. γεννήσας δὲ υἱὸν παρεκάλεσέ με, φησίν, ἵνα ἐγὼ ἀπὸ τοῦ ἁγίου βαπτίσματος αὐτὸν ἀναδέξωμαι· ὃ καὶ πεποίηκα. ἔφερεν οὖν ὁ ἄνθρωπος πάντοτε τὸ παιδίον πρός με, καὶ περιελάμβανον ἡδέως καὶ μετὰ χαρᾶς καὶ καρδίας καθαρᾶς ἐν ἁπλότητι ψυχῆς μου τὸ βρέφος καὶ ἐφίλουν αὐτὸ καὶ περιεπτυσσόμην ὡς τέκνον δωρηθέν μοι παρὰ θεοῦ διὰ τοῦ ἁγίου βαπτίσματος ἐν πνεύματι ἁγίῳ. ὅτε δὲ ἠδρύνθη τὸ παιδίον καὶ γέγονεν ὡς δέκα ἐτῶν, ὁ λογισμός μου ἐτράπη εἰς τὸ χεῖρον καὶ ἠλλοιώθη ἡ ἕξις μου εἰς κακόν· καὶ ἐταλαιπώρησα καὶ κατεκάμφθην πρὸς βδελυρὰν ἐπι-

3 ὑστριλασία C. 5 δαίμ. τῆς ἀθεσμίας καὶ τῆς C. 8 ἵνα ὅτ' ἂν C. 9 ὁρᾶν] ὁρῶμεν C. 19 πλακηδίαν C. 21 παρὰ] ὑπὸ ἡλία τοῦ C. 23 χρόνους πολλοὺς] χρόνον C. 27 ἀναδ. αὐτὸν ὅπερ C. 29 τὸ πρῶτον καὶ λείπει τῷ C. 31 ἁγίου] σεβασμίου C ‖ ἠνδρύνθη C. 32/33 ἠλλ. μου ἡ ἕξις C.

θυμίαν καὶ τὸ θηρίον τῆς ἀθέσμου ἐπιθυμίας καὶ ἡδυπαθείας εἰς τὴν καρδίαν μου ἦν κατακαῖόν με. καὶ οὐ θαῦμα, ὅτι ὁ εὐνοῦχος ἐπιθυμεῖ· φησὶ γὰρ ἡ Γραφή, ὅτι Ἐπιθυμία εὐνούχου ἀποπαρθενεῦσαι νεάνιδα. καὶ γὰρ οὐ μόνον ἐπιθυμεῖ ὁ εὐνοῦχος, ἀλλὰ καὶ συγκοιμᾶται γυναικὶ καὶ μίγνυται καὶ ῥέει, πλὴν μέντοι ἀδρανὲς ἐκφέρει τὸ σπέρμα ὁ εὐνοῦχος καὶ οὐ δύναται τεκνοποιῆσαι. καὶ μὴ ξενισθῇς περὶ εὐνούχου ἀκούων· καὶ γὰρ γυναῖκα πολλάκις γυναικὸς ἐπιθυμεῖν προτρέπει ὁ Σατανᾶς, καὶ διὰ τοῦτο αἱ θεοσεβεῖς μητέρες τῶν κοινοβίων παραγγέλλουσι ταῖς ὑπ' αὐτὰς μοναστρίαις μὴ θεωρεῖν ἀλλήλων τὰ πρόσωπα ἁπλῶς καὶ ὡς ἔτυχεν, ἵνα μὴ διὰ τῆς ὁράσεως κατολισθήσωσι πρὸς τὸ ἐμπαθὲς καὶ βλαβῶσιν, ἀλλὰ καὶ κάτω νεύειν καὶ βλέπειν πρὸς τὸ ἔδαφος καὶ οὕτω διαλέγεσθαι παρθένον πρὸς παρθένον. ἐγὼ τοίνυν, φησὶν ὁ Εὐτρόπιος, ἀλλοιωθεὶς τὴν ὄψιν καὶ ὅλος τοῦ πάθους τοῦ ῥυπαροῦ γενόμενος ἠθέλησα μιγῆναι τῷ παιδὶ καὶ συγγενέσθαι αὐτῷ εἰς ἀσχημοσύνην τοῦ προσώπου μου. ἐδυσώπησα δὲ τὸν θεόν, ἵνα ἐμποδίσῃ με, καὶ ἔλεγον· Κύριε ὁ θεός μου, μᾶλλον πέμψον ἄνωθεν πῦρ καὶ κατάκαυσόν με καὶ μὴ παραχωρήσῃς με τὸ μῦσος τοῦτο ἐργάσασθαι. ἔδωκε δέ μοι ὁ θεὸς μικρὸν ἀνανῆψαι καὶ ἀναλαβεῖν ἀπὸ τοῦ βορβόρου καὶ τοῦ σκότους τῆς ἀλόγου ἐπιθυμίας. καὶ εἶπον τῷ πατρὶ τοῦ παιδίου· Λάβε τοῦτον καὶ ἀπάγαγε εἰς τὸν οἶκόν σου καὶ μηκέτι ἐνέγκῃς αὐτὸν εἰς τὸ μοναστήριόν μου. ἀπὸ τότε οὖν οὐκέτι ἐθεασάμην τὸν παῖδα. γνοὺς δὲ τοῦτο ὁ ἐχθρὸς ἐπῆλθέ μοι σφοδροτέρως καὶ θερμότερον καὶ δριμύτερον καὶ τὴν μορφὴν τοῦ παιδὸς τῷ νοί μου ἐνετύπωσε καὶ τὸ εἴδωλον αὐτοῦ καὶ τὸ πλάσμα αὐτοῦ καὶ τὴν εἰκόνα αὐτοῦ προσεκόλλησε τῇ καρδίᾳ· καὶ βιαζόμενος οὐκ ἴσχυον ἀποσπασθῆναι καὶ χωρισθῆναι τοῦ παμμιάρου καὶ ὀφιώδους πάθους, ἀλλὰ καὶ ἐν τῷ εὔχεσθαι καὶ ψάλλειν καὶ ἀγρυπνεῖν καὶ ἐν τῇ ἀναγνώσει εἶχον ἐνεργοῦντά μοι τὸν πονηρὸν συνδέτην, τὸν δαίμονα τῆς αἰσχρᾶς ἐπιθυμίας ἐκπορθοῦντά με καὶ στρεβλοῦντα τῷ πάθει καὶ καταδαμάζοντά με. ἐνήστευον, ἐξήραινον τὸ ἄθλιόν μου σῶμα, ἐδάκρυον, ἐστέναζον, ἔβρυχον τοὺς ὀδόντας μου ὠρυόμενος, κονδύλους παρεῖχον κατὰ τῆς κεφαλῆς μου· ῥάβδῳ τοὺς πόδας μου μετὰ θυμοῦ ἔτυπτον καὶ τὸ κακὸν οὐκ ἀφίστατο, ἀλλὰ καὶ μᾶλλον τὸ μόριόν μου ἐπυροῦτο καὶ ἐπανίστατό μοι καὶ ἀπέσταζε σταγόνας βορβόρου, ὥστε μολύνεσθαι τοὺς μηρούς μου τῇ ἀκαθάρτῳ ὑγρότητι. χρόνου οὖν

3 γὰρ καὶ C ‖ ἀποπαρθενῶσαι C. 6 ξενισθεὶς C. 10 κάτω βλέπειν καὶ νεύειν C. 12 ὄψιν καὶ ὅλος] ἕξιν μου καὶ ὅλως C. 17 νῆψαι C ‖ ἀναλ. ἐμαυτὸν ἀπὸ τοῦ βόθρου καὶ τοῦ σκ. C. 19 μοναστήριόν μου· ἐθάρρησα δὲ αὐτῷ καὶ τὸν πειρασμόν μου. ἀπὸ τότε C. 21 σφοδρότερον καὶ δριμύτερον C. 23 καρδία μου C ‖ ἴσχυσα C. 27 τὸ δεύτερον με λείπει τῷ C. 29 ὠρυόμην C.

15 Σειρ. κ', 4.

οὐκ ὀλίγου τούτοις παρελθόντος, ὅτε ἀπέγνων καὶ οὐκέτι ἐνόμισα ἐλεηθῆναι, παρ' ἐλπίδα ἐπεκάμφθη ὁ τῶν ὅλων θεὸς εἰς τὸ ἐλεῆσαί με· καὶ ἐπέβλεψεν εἰς τὴν ταπείνωσιν τῆς ψυχῆς μου καὶ ἀπήλλαξέ με τοῦ σκοτεινοῦ νέφους ἐκείνου, καὶ ἠλευθέρωσέ με τοῦ ὀλεθρίου πειρασμοῦ, καὶ οὕτως ἀναπνεύσας ηὐχαρίστησα καὶ εὐχαριστῶ καὶ μέχρι τῆς τελευτῆς μου εὐχαριστήσω Χριστῷ τῷ θεῷ ἡμῶν. οὐκοῦν τὰ συμβάντα Εὐτροπίῳ τῷ εὐνούχῳ, τῷ πρεσβυτέρῳ καὶ ἡγουμένῳ, διδασκαλία γινέσθω τῶν λεγόντων, ὅτι Μετὰ γυναικῶν καθεύδομεν καὶ μετὰ παίδων συνδιάγομεν καὶ οὐδὲν βλαπτόμεθα». καὶ τί λέγω μετὰ γυναικῶν καὶ παίδων; καὶ εἰς αὐτὰ τὰ ἄλογα ζῷα πολλάκις πολεμούμεθα, καὶ τοῦτο ἀπὸ πολλῶν ἐξομολογησαμένων ἡμῖν ἴσμεν καὶ ἀπὸ τοῦ νῦν ῥηθήσεσθαι μέλλοντος· ὅτι ποτὲ ὁ πρεσβύτερος τῶν Κελλίων ἦλθεν ἐκ τοῦ ὄρους τῆς Νητρίας καθήμενος ὄνῳ θηλείᾳ καὶ ἀπέστειλε πάλιν αὐτὴν μετὰ τοῦ ἰδίου μαθητοῦ, καὶ κατὰ τὴν ὁδὸν ἐπολέμησεν αὐτὸν ὁ διάβολος εἰς τὴν ὄνον τὴν θήλειαν καὶ κατήνεγκεν αὐτὸν ἑπτάκις τοῦ ἁμαρτῆσαι μετ' αὐτῆς· καὶ ἀγωνιζόμενος ὁ ἀδελφὸς ἐποίει εὐχὴν καὶ ἀνήρχετο καὶ οὕτως ποιῶν ἀπέδωκε τὴν ὄνον καὶ ὑπέστρεψε πρὸς τὸν πατέρα αὐτοῦ καὶ ἦν τὸ πρόσωπον αὐτοῦ τεταραγμένον. ἦν δὲ ὁ γέρων διορατικὸς καὶ θεωρεῖ ἑπτὰ στεφάνους ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ἐποίησε μετάνοιαν ὁ ἀδελφὸς τῷ γέροντι λέγων· Εὖξαι ὑπὲρ ἐμοῦ, ὅτι πέπτωκα εἰς πορνείαν. καὶ ἀπήγγειλεν αὐτῷ, πῶς ἐπολέμησε μετ' αὐτοῦ ὁ διάβολος εἰς τὴν θήλειαν ὄνον ἐν τῇ ὁδῷ. καὶ λέγει αὐτῷ ὁ γέρων· Θάρσει, τέκνον, ὅτι ἑπτὰ στεφάνους εἶδον ἐν τῇ κεφαλῇ σου, ὅτε ἦλθες· οὐ γὰρ ἡττήθης, ἐφ' ὅσον οὐκ ἐτέλεσας τὴν ἁμαρτίαν, ἀλλὰ μᾶλλον ἐνίκησας. μέγας γὰρ ἀγών ἐστιν, ὅταν εὕρῃ ἄνθρωπος εὐκαιρίαν καὶ ἐγκρατεύσηται, καὶ ἔχει τὸ πρᾶγμα τοῦτο μισθὸν μέγαν, ὥσπερ καὶ ἐπὶ τοῦ μεγάλου ἀθλητοῦ τοῦ μακαρίου Ἰωσήφ. ταῦτα οὖν ἅπαντα ἀκούοντες, ἀδελφοὶ καὶ πατέρες μου, προσέχωμεν μετὰ ἀκριβείας, πῶς περιπατῶμεν τὴν κατὰ θεὸν ὁδὸν ἡμῶν, πῶς συνδιάγωμεν μετὰ τῶν ἀδελφῶν ἡμων τῶν νεωτέρων, ἵνα μὴ γενώμεθα ἐν τῷ λιμένι μᾶλλον τοῦ διαβόλου κατάβρωμα καὶ ἐπίχαρμα τοῖς ἐχθροῖς ἡμῶν, τοῖς δαίμοσι λέγω, τοῖς μηδέποτε παυομένοις τοῦ πολεμεῖν ὑμᾶς, "Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ· ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐ-

1 ἐλεηθῆναι παρὰ θεοῦ, ἀλλὰ τελείως ἀπολέσθαι, τότε παρελπίδα C. 2 δεσπότης θεὸς C. 6 ἡμῶν] λείπει τῷ C | τῶ εὐνούχω Εὐτροπίω C. 7 τῶν νῦν λεγ. ὅτι καὶ μετὰ C. 8 συνδιάγομεν καὶ οὐδὲν] κοιμώμεθα καὶ οὐδὲν οὐδέπω C. 30 Τοῦτο γινώσκοντες — αἰώνιος] Ῥωμ. ς', 6—14, 16, 19, 21, 23.

τῷ, εἰδότες, ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει· ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. οὕτως καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ, μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ· ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ ὡς ἐκ νεκρῶν ζῶντας καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ. ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην; ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, οὕτως νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν· τὸ γὰρ τέλος τῆς ἁμαρτίας θάνατος, τὸ δὲ χάρισμα τοῦ θεοῦ ζωὴ αἰώνιος· οὐ γὰρ ἐκάλεσεν ὁ θεὸς ἡμᾶς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ". τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν θεόν, τὸν δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς. ἔστι μὲν οὖν ταῦτα, ὅσα γε ἡμῖν βουλητὰ καὶ τῷ τιμίῳ προδρόμῳ καὶ βαπτιστῇ Ἰωάννῃ καὶ τῷ θεῷ εὐαπόδεκτα, καὶ τῇ ὑμῶν δὲ ὠφελείᾳ οὐκ ὀλίγα λυσιτελοῦντα.

νθ'. ***Ἀνακεφαλαίωσις ἐν ἐπιτόμῳ τῶν προρρηθέντων ἁπάντων.*** — Ὑμῖν δὲ τὸ ἑξῆς μελήσει φυλάξαι ταυτὶ ἀπαράθρευστά τε καὶ ἀπαραποίητα ἄχρι παντός, λέγω δὴ

α'. Τὸ ἀπαραλείπτως τὴν παραδοθεῖσαν ὑμῖν ἀκολουθίαν ἐκτελεῖν ἐν πάσαις ταῖς συνάξεσι,

β'. Τὸ φυλάττειν τὰς παραδεδομένας ὑμῖν νηστείας, καθὼς παρὰ τῶν ἁγίων πατέρων παρελάβομεν καὶ ἐνταυθοῖ ἀνατάττονται, μετὰ προθυμίας πολλῆς καὶ ζεούσης καρδίας, καὶ

γ'. Τὸ φυλάττειν πίστιν καὶ τιμὴν τὴν ἁρμόζουσαν τοῖς προεστῶσιν ὑμῶν.

δ'. Τὸ ἀλλήλους ἀγαπᾶν καὶ σπουδάζειν ἕκαστον ἑκάστου προέχειν ἐν ταπεινοφροσύνῃ, συμπονεῖν τε ἀλλήλοις ἐν πᾶσιν ὡς ἑνὸς μέλη σώματος καὶ τὰ ἀλλήλων ἀναπληροῦν ὑστερήματα.

ε'. Μὴ πρὸς ἔρεις ὁρμᾶν ἢ πρὸς φιλίας ἀπρεπεῖς, ἢ παρασυνάξεις καὶ σχίσματα.

ς'. Ἀπέχεσθαι προκαθεδρίας καὶ τῶν κοσμικῶν προτιμήσεων, συνεστιάσεών τε καὶ συγκαθισμάτων καὶ συνελεύσεων καὶ συντυχιῶν, πρὸς ἓν δὲ μόνον ὁρᾶν, τὸ ἐναρέτως ζῆν δηλονότι καὶ πολιτεύεσθαι καὶ μηδὲν ἄλλο εἰ δυνατὸν ἀναπνεῖν, ἢ λόγον σωτήριον καὶ πᾶν τὸ εἰς οἰκοδομὴν ψυχῆς τυγχάνον καὶ ὠφέλειαν.

13 οὐ γὰρ ἐκάλεσεν — ἐν ἁγιασμῷ] Θεσ. 1, δ', 7—8.

ζ'. Πρὸς τούτοις ἐξορίζειν ἀφ' ὑμῶν πάντων τῶν κακῶν τὴν πηγήν, τὴν φιλοχρηματίαν λέγω καὶ τὸ παρακερδαίνειν ἀπὸ τῶν τῆς μονῆς ἢ ἑτέρου τοῦ οἱουδήτινος τρόπου καὶ ἀποτιθέναι καὶ θησαυρίζειν ἄχρι καὶ τοῦ τυχόντος, ἐν ᾧ μὴ εὐδόκησεν ὁ προεστώς, οὔτε ὁ δοθεὶς ὑμῖν κανὼν συνεχώρησεν· οὐ μὴν ἀλλ' οὐδὲ ἐξ ἀμελείας ἤ τινος ἑτέρας καταφρονήσεως ἐάν τι τῆς μονῆς παρ- 5 απόλλυσθαι· ἴσον γὰρ καὶ τοῦτο τοῦ προτέρου, κἄν τι διαφέρειν δοκεῖ, καὶ τῆς ἴσης ἐνοχῆς παρὰ τοῦ θεοῦ πρόξενον.

η'. Ὁμοίως καὶ τὴν παρρησίαν ὅση δύναμις ἐκκοπτέον, καὶ ἵνα συνελὼν εἴπω, πᾶν ὅ τι μὴ εἴη πρὸς σωτηρίαν ὁδηγοῦν ἐκδιωκτέον. ἐὰν ἀδικῆσθε παρά τινος, εἰς δικαστήριον ποτὲ μὴ ἀπέλθητε, ἀλλὰ φεύγετε ἐκ τού- 10 του, ὡς φεύγει τις ἀπὸ ὄφεος, φυλάττοντες κἀν τούτῳ τὴν δεσποτικὴν ἐντολὴν τὴν λέγουσαν· " Ἐάν τις σὲ ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο ". καὶ πάλιν φησίν· " Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε 15 τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς ". μετὰ ταπεινώσεως δὲ προσερχόμενοι παρακαλεῖτε τὸν ἀδικοῦντα λέγοντες αὐτῷ ὅσα εἰκός, καὶ εἰ μὲν παύσεται τῆς ἀδικίας, τῷ θεῷ χάρις· εἰ δ' οὖν, ἀνατιθέατε τοῦτο τῷ θεῷ κἀκεῖνος τὸ συμφέρον 20 ὑμῖν ποιήσει καὶ " οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι παρ' ὃ δύνασθε ". φυλάσσετε δὲ καὶ τοῦτο, τὸ μὴ κεκτῆσθαι ζῷα θηλυκὰ μήτε ἔσωθεν τῆς μονῆς μήτε ἔξωθεν, ἀλλ' ἔχειν βίον ἀκτήμονα καὶ ἀπράγμονα καὶ ἐν ἐκείνῳ τῷ ἔργῳ ἀγωνίζεσθαι κοπιᾶν, ἐν ᾧ ἡσυχίαν ἔχετε καὶ οὐκ ὀχλήσεις καὶ περισπασμούς· σπεύδειν τε πάντας δουλεύειν κατὰ δύναμιν καὶ ἐκ τοῦ ἔργου τῶν χειρῶν 25 ὑμῶν τὴν τροφὴν ὑμῶν πορίζεσθαι, διακονεῖν τε ἀλλήλοις ἔν τε τῷ ἐψήματι τῆς τροφῆς ὑμῶν καὶ τῇ τραπέζῃ χριστομιμήτως μὴ παραιτεῖσθαι, καθὼς ἕκαστος σχοίη δυνάμεως καὶ ἀνατροφῆς καὶ διαγωγῆς καὶ παιδεύσεως καὶ καθὼς προαιρεῖσθε τῇ καρδίᾳ ποιεῖν τὸ συμφέρον τῶν ψυχῶν ὑμῶν. μὴ ἐκκακήσητε, καὶ οἱ μὲν ἀσθενεῖς δουλευέτωσαν ταῖς νηστίμοις ἡμέραις, οἱ δὲ 30 δυνατοὶ ταῖς λοιπαῖς· ἱλαρὸν γὰρ δουλευτὴν καὶ πρόθυμον ἀγαπᾷ ὁ θεός, τὸν δὲ ῥᾴθυμον καὶ ὀκνὸν καὶ μὴ μετὰ προθυμίας ὁλοψύχου δουλεύοντα ἀποστρέφεται καὶ τὸ ἔργον αὐτοῦ οὔτε θεῷ οὔτε ἀνθρώποις ἀρεστόν ἐστι. μὴ οὖν, ὦ τέκνα καὶ ἀδελφοί, μηδαμῶς τὰ βλάπτοντα προτιμήσωμεν, τὰ δὲ σώζοντα παραδράμωμεν· οὐδὲν γάρ τι τῶν παραδοθέντων ὑμῖν ἀδύνατον ἢ δυσ- 35

12/15 Ματθ. ε', 39—41. 15/18 Ματθ. ε'. 44—45. 21 Κορ. 1, ι', 13.

κατόρθωτον· εἰ δὲ καί τι τοιοῦτον ἴσως τούτων νομίζοιτο, ἀλλ' ἀγωνισώμεθα, ἀλλ' ὑπομείνωμεν, ἀλλὰ καρτερήσωμεν, φέρωμεν γενναίως, βιασώμεθα μικρὸν ἑαυτούς· οὐδὲ γὰρ ἀνέσεως ἕνεκα καὶ τρυφῆς τὸν κόσμον κατελίπομεν, ἀλλὰ σπουδῆς καὶ ἀγῶνος τοῦ κατὰ δύναμιν, πρὸς τὸ τυχεῖν τῶν ἐν ἐπαγγελίαις 5 ἀγαθῶν. βιασώμεθα οὖν ἑαυτούς, ὡς εἴρηται, βιασώμεθα· βιαστὴ γάρ ἐστιν " ἡ βασιλεία τῶν οὐρανῶν καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν ". οὐδεὶς ἀμελῶν ἔστησέ ποτε τρόπαιον, οὐδεὶς ὑπνώττων καὶ ὀνειρώτων τὸν ἑαυτοῦ πολέμιον ἐτροπώσατο. ἐκείνων εἰσὶν οἱ στέφανοι καὶ τὰ τρόπαια, τῶν τρεχόντων καλῶς, τῶν ἀγωνιζομένων, τῶν κοπιώντων, τῶν ὑπομενόντων τὰ ἐκ τῶν ἀγώνων πο- 10 νήματα. " διὰ πολλῶν θλίψεων ", φησὶν ὁ κύριος, " δεῖ ὑμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ". " εἰ δέ τις ἀφ' ὑμῶν ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται τοῖς παροῦσι λόγοις τοῖς ὑγιαίνουσι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ ", κατὰ τὸν ἀπόστολον, ἀντίχριστος καλείσθω παρ' ὑμῶν· " ὁ γὰρ τοιοῦτος τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλ' ἔστι νοσῶν 15 περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί, διαπαρατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας καὶ νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας· οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον· δῆλον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. ἔχοντες διατροφὰς καὶ σκεπά- 20 σματα, τούτοις ἀρκεσθησόμεθα· οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν· ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινος ὀρεγόμενοι πολλοὶ ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως καὶ τοῦ ἐπαγγέλματος αὐτῶν καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις 25 πολλαῖς. ὑμεῖς δέ, ὦ ἀδελφοί μου, ταῦτα φεύγετε, διώκετε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πραότητα. ἀγωνίζεσθε τὸν καλὸν ἀγῶνα τῆς πίστεως· ἐπιλάβεσθε τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθητε καὶ ὡμολογήσατε τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων ". " ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι μετὰ τὴν ἐκ τοῦ σώματός μου ἀποδημίαν εἰσελεύσον- 30 ται λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι ὑμῶν, καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονταί τινες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς ἀσθενεστέρους ὑμῶν ὀπίσω αὐτῶν. διὸ γρηγορεῖτε μνημονεύοντες, ὅτι οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν καθ' ἑκάστην νύκτα καὶ ἡμέραν. καὶ ταῦν παρατίθημι ὑμᾶς, ἀδελφοί, τῷ θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, 35 τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμέ-

6 Ματθ. ια', 12. 10 Πράξ. ιδ', 22. 11/28 εἰ δέ τις ἀφ' ὑμῶν — μαρτύρων] πρβλ. Τιμόθ. 1, ς, 3—12. 28—σ. 86,3 πρβλ. Πράξ. κ', 29—34.

νοις πᾶσιν. ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα· μάρτυς κύριος ὁ θεός· οὐ τὸ καὶ τό· αὐτοὶ γινώσκετε". ἀλλ' ἀντὶ πάντων τῶν φθαρτῶν καὶ γηΐνων τὰ ἐπουράνια προετίμησα· ὑμᾶς δὲ ἠρετισάμην ἔχειν παραμυθίαν καὶ στέφανον καὶ καύχημά μου, ἀκριβῶς ἐπιστάμενος, ὅτι διὰ τῶν ἁγίων εὐχῶν ὑμῶν εὑρήσω μικρὰν ἄνεσιν καὶ συγχώρησιν τῶν πολλῶν καὶ ἀναριθμήτων μου ἁμαρτιῶν ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως. διὰ τοῦτο οὖν πᾶσαν θλῖψιν καὶ στενοχωρίαν ὑπέμεινα ἐν τῷ ὄρει τούτῳ καθήμενος καὶ πᾶσιν ὑπέδειξα ὑμῖν, ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ κυρίου, ὅτι αὐτὸς εἶπε· "Μακάριόν ἐστι διδόναι ἢ λαμβάνειν". καὶ ἰδοὺ "παραγγέλλω ὑμῖν ἐνώπιον τοῦ θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα καὶ Χριστοῦ Ἰησοῦ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, τηρῆσαι ὑμᾶς τάς τε ἐντολὰς καὶ τὰς παραδόσεις τὰς ἐνταῦθα ἀνατατομένας καὶ παραδοθείσας ὑμῖν ἀσπίλους καὶ ἀνεπιλήπους μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου ὑμῶν Ἰησοῦ Χριστοῦ, ἣν καιροῖς ἰδίοις δείξει ὁ μόνος δυνάστης καὶ μακάριος, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον". ναί, παρακαλῶ πάντας ὑμᾶς ἀξίως πορευθῆναι τῆς κλήσεως ὑμῶν. παραστήσατε τὰ σώματα ὑμῶν ἅγια τῷ κυρίῳ. ἀγαπᾶτε ἀλλήλους, καλῶς τρέχετε τὸν προκείμενον ὑμῖν ἀγῶνα. ὅσα καλά, ὅσα θεοφιλῆ, ταῦτα λογίζεσθε· ἃ ἠκούσατε καὶ ἐμάθετε, ταῦτα ποιεῖν μὴ ἀπόσχησθε. "ἀδελφοί, ὁ καιρὸς συνεσταλμένος ἐστί"· μνημονεύετε τῶν ψυχῶν ὑμῶν καὶ τῆς ἡμῶν εὐτελείας μὴ ἐπιλανθάνεσθε ἐν ταῖς προσευχαῖς ὑμῶν. τὸ γοῦν παρὸν τυπικὸν ἐντέλλομαι ὑμῖν ἀναγινώσκειν ἀπὸ ἑκάστου μηνὸς ἀρχῆς, ἄχρις ἂν καὶ περατωθῇ, ἐν τοῖς καιροῖς τῶν ἑστιάσεων ὑμῶν εἴς τε ἀνάμνησιν τῶν ἐντεταλμένων ὑμῖν καὶ ὠφέλειαν τῶν ψυχῶν ὑμῶν· οὕτω γὰρ ἔσεσθε ὑμεῖς μὲν ἐπὶ τῇ σωτηρίᾳ ὑμῶν πεπληροφορημένοι, ὡς καλῶς φυλάξαντες ἃ παρελάβετε παρὰ τῶν πατέρων ἡμῶν καὶ ἐμοὶ τὰ τροφεῖα τῆς πνευματικῆς ταύτης ἀναγωγῆς καὶ παιδεύσεως ἐν κυρίῳ ἀποτινύντες· ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον ζωὴν καὶ δόξαν αὐτοῦ διὰ πολλὴν αὐτοῦ καὶ ἄφατον ἀγαθότητα, καταρτίσαι ὑμᾶς καὶ στηρίξαι εἰς τὸ ἅγιον αὐτοῦ θέλημα διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις καὶ μεγαλοπρέπεια, νῦν τε καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.+++

9 Πράξ. κ', 35 10/16 πρβλ. Τιμ. 1, ς' 13—16. 17 ἀξίως — κλήσεως ὑμῶν[πλβλ. Ἐφ. δ', 1 ‖ παραστ. τὰ σώμ. ὑμῶν] πρβλ. Ῥωμ. ιβ', 1. 18 ἀγαπᾶτε ἀλλήλους] Ἰω. ιε', 12 ‖ τρέχετε — ἀγῶνα] πρβλ. Ἑβλ., 1. 20 πρβλ. Κορ. 1, ζ', 29.

[+ Ἐπεὶ δὲ μετὰ πάντων τῶν συνεργησάντων καὶ κοπιασάντων ἐν τῇ καθ' ἡμᾶς μονῇ καὶ ὁ λαμπρότατος χορηγετὴς κῦρ Θωμᾶς ὁ Εὐγενιώτης καθέστηκε καὶ οὐκ ὀλίγα συνετέλεσε ταύτῃ ἔν τε τῇ κτίσει τοῦ ναοῦ καὶ ἐν ἄλλαις παντοίαις ὑποθέσεσι τῆς ἡμετέρας μονῆς καὶ ἔτι καὶ ἕως τοῦ νῦν οὐ λήγει συνεργῶν καὶ ὡς εἷς τῶν ἐν τῇ μονῇ μοναχῶν διακονῶν καθ' ἑκάστην, ἅτε καὶ πνευματικὸν παιδίον τοῦ ἀοιδίμου πατρὸς ἡμῶν καὶ κτήτορος χρηματίσας, εἰκότως καὶ ἡ τούτου ὀνομασία τῷ παρόντι τυπικῷ τῆς μονῆς ἐγγέγραπται, ὡς ἂν καὶ οὗτος μετὰ τῶν ἄλλων τῶν ἐνταῦθα ἐγγεγραμμένων καὶ ἐν τοῖς ἱεροῖς διπτύχοις τῆς μονῆς ἀναταττομένων συγκαταλέγηται καὶ ἄχρις ἂν ἡ καθ' ἡμᾶς αὕτη μονὴ συνίσταται σὺν θεῷ μνημονεύηται +.

+ Μακαρίας + Νικολάου καὶ Ἄννης].

Προσθῆκαι ταῖς ὑποσημειώσεσι τοῦ προτεταγμένου κειμένου.

Ἐκτυπουμένου τοῦ πέμπτου φύλλου (σ. 38 κε), διέκρινον αὐτὸς ἐγώ, ὅτι ἱκανὰ τῶν ἐν τῇ διατυπώσει Ἰωάννου μοναχοῦ κεφαλαίων εἰσὶ ταὐτόλεκτα τοῖς τοῦ τυπικοῦ μονῆς Θεοτόκου τῆς Εὐεργέτιδος, οὗ συντάκτης ὁ ταύτης ἡγούμενος Τιμόθεος μοναχός· καὶ τοῦτο μὲν συνετάχθη τῷ δευτέρῳ ἡμίσει τῆς 11-ης ἑκατοντ., μεταγενέστερον ὂν οὕτω τοῦ προτέρου· εἶτα δὲ διέκρινον, ὅτι καὶ ἐν ἄλλοις τισὶ τυπικοῖς ἤδη γνωστοῖς, οἷον ἐν τῷ τῆς μονῆς Ἐλεημῶν καὶ τῷ τῆς Θεοτόκου τοῦ Μαχαιρᾶ ὑπάρχουσιν ὡσαύτως ἔνια μέρη ταὐτόλεκτα. Ἡ τούτων πάντων ὁμοιότης τὴν ἀρχὴν ὡς εἰκὸς δύναται ἔχειν ἐξ ἀρχαίου τινὸς τυπικοῦ, ὅθεν ἕκαστος τῶν ἱδρυτῶν ἢ ἀνακαινιστῶν μονῶν ἀντέγραφεν ὅ τι τῇ οἰκείᾳ ἐχρῆζε μονῇ. Τούτων οὕτω διακριθέντων, ἀπὸ κεφαλαίου κ' καὶ ἑξῆς ἐδήλωσα προφθὰς τὰ ταὐτιζόμενα τοῖς ῥηθεῖσι τυπικοῖς ἐν ταῖς ὑπὸ τῷ κειμένῳ παρατηρήσεσιν· ἐπειδὴ δὲ καὶ ἕτερά τινα προτετυπωμένα κεφάλαια ταὐτολέκτως αὐτοῖς ἔχουσι, νῦν καὶ ταῦτα σημειοῦμαι ὧδε.

1) Σελ. 19,35 — 21,27 (Χρὴ τοίνυν — Δωδεκαήμερον) = τυπ. Εὐεργέτιδος (ἐκδ. Дмитріевскій), σ. 617, δ'.

2) Σελ. 22 16—27, 17 (τὰ μὲν οὖν περὶ τῆς πρώτης — ἐν αὐταῖς πάντοτε) = τυπ. Εὐεργέτιδος, σ. 619—624, § ε'—η'. Προστεθείσθω αὖθις, ὅτι αἱ ἀπὸ σελ. 52, 10—27,6 λέξεις „ἐφείσθω δὲ τούτῳ — „φάρμακα" εὕρηνται καὶ ἐν τῷ τυπ. Θεοτόκου τοῦ Μαχαιρᾶ. Acta et diplomata, τ. 5, σ. 404—405.

Διορθωθεῖσαι λέξεις, μὴ σημειωθεῖσαι δ' ὑπὸ τῷ κειμένῳ:—Σελ. 3, 33 κοσμείτω πως] κοσμεῖτο πῶς. — 5, 7 λαμβάνῃ] λαμβάνει ‖ 14 γεώδους] γαιώδους. — 6, 9 ὄν] ὧν ‖ 15 φάραγξιν ‖ 32 ῥῖψις] ῥίψης. — 7, 3 φυσῶν] φυσσῶν ‖ 19 ξενίζον] ξενίζων. — 8,13 πεδινῶν] πεδηνῶν ‖ 17 οὐριοδρομοίη] οὐριοδρομείη.—12,32 χλιδυῖα] χλιδυιὰ ‖ ἐλαύνων] ἐλαύνον. — 13, 11 ὑπὲρ μέτρον] ὑπέρμετρον]. — 16, 26 Μωϋσέως - - - οὖς]

1/10 Ἐπεὶ δὲ — μνημονεύηται] προσθήκη μεταγενεστέρα, πάντως δ' οὐ παλαιτέρα μεσούσης τῆς 12-ης ἑκατονταετηρίδος· τὰ δὲ λοιπὰ τρία ὀνόματα μεταγενέστερα ταύτης.

μωϋσέος - - - ὂν || 28 Μωϋσεῖ] μωϋσῆ || 33 λιποτάκτην] λειποτακτην. —17, 15 ἡμᾶς] ὑμᾶς. — 18, 8 ἔνματον] ἔνματον (ο ὗ τ ω καὶ ἑ ξ ῆ ς) || 23 μιμεῖσθε] μιμεῖσθαι. 25 παραπέμπεσθαι. — 19, 7 λοιδορῆσθε] λοιδορεῖσθε || 22 μονίαν] μονιὰν || 33 περίεργον] περὶ ἔργον. — 20, 1 ἐφημερίαν] ἐφημερείαν. — 21, 21 χαυνωθέντας] χαυνωθέντα. — 23,6 πνευματορρήτωρ] πνευματορήτωρ. || 31 κ ῶ δ. ψαλλέντος, ἀ λ λ' ἐ κ δ ι ο ρ θ. ψαλέντος || 32 ἐπειπόντος] ἐπιπόντος]. — 24, 18 καλέσει] καλέση. — 25, 19 ἐνδοιάζοντες] ἐνδυάζοντες. — 27, 26 συσταυροῖ] συνσταυροῖ. — 31, 33 κυβερνήτης] κυβερνῆτις. — 33, 19 ἐσθίομεν] ἐσθίωμεν. — 34, 6/7 ἀπαιτεῖσθε] ἀπαιτεῖσθαι || 21 παραβάλῃ] παραβάλλη || 34 πεπηγὸς] πεπηγῶς. — 36, 9 ὑμῖν] ἡμῖν. — 37, 14 συνήθη] συνήθει. — 38, 20 γινομένην] γινομένου || ἐρέσθαι] ἔρεσθαί. — 39,13 ὑμῖν] ἡμῖν. || 15 ὑμῶν] || ἡμῶν || 19 αὐτῷ] αὐτὸ || 23 ὑμῶν] ἡμῶν. — 42, 35 ἑστιάσεσιν] ἐσθιάσεσιν. — 43, 22 μετατεθεῖσθαι] μετατεθῆσθαι || 25 πάθη] πάθει. — 46, 17 ἑστιαθησόμενος] ἐσθιαθησόμενος || 21 οἴκοθεν] οἴκωθεν. — 54,1 ὑπείκετε] ὑπήκετε. — 58, 34 προχείρισιν] προχείρησιν. — 61, 16 ὑμῶν] ἡμῶν. — 63, 3 ἐκπῖπτον] ἐκπίπτων.—66, 23 ἀκρασίαν] κρασίαν. — 64, 3 τοῦτο] τοῦτον. — 65, 23 εἴπωμεν] εἴπομεν. —19 31 Γιεζῆ] γιαιζῆ. — 71, 2 καύματι] καύματοι. — 71, 6 χρηστοῦ] Χ(ριστο)ῦ. — 72, 30 δότε] δῶτε. — 73, 23 γυμνητεύοντας] γυμνιτεύοντας. — 77, 18 ὑμῖν] ἡμῖν. —78, 10 μοιχοῖς] μυχοῖς || 20 μυρία] μυρία. — 80, 6 συμβάλῃ] συμβάλλη. — 82, 4 ἠλευθέρωσε] ἠλευθέρωσαί || 33 συζήσομεν] συσζήσομεν. — 83, 30 ἔρεις] ἔρις. — 84, 27 παραιτεῖσθαι] παραιτεῖσθε.

Σελ. 77—82. Ἡ ἐπιστολὴ Παύλου τοῦ Ἑλλαδικοῦ ἐξεδόθη καὶ ὑπὸ *V. Lundström*, Anecdota byzantina e codicibus Upsaliensis cum aliis collatis. Upsaliae 1902, σ. 15—23) ἐπὶ τῇ βάσει τοῦ cod. Coisl. 303, καὶ τῶν cod. Upsal. 5 καὶ Monac. 318), ἀγνοήσαντος, ὡς εἰκός, τὸν ἐμὸν κώδικα. Ἐν τῇ ἐκδ. Lundström ἡ τοῦ Παύλου Ἑλλαδικοῦ ἐπιστολὴ τελευτᾷ οὕτω κατὰ τὸν κώδικα M: βλαπτόμεθα. ταῦτα οὖν ἀκούσαντες, ἀδελφοὶ καὶ πατέρες, φοβηθῶμεν καὶ φρίξωμεν καὶ πάσῃ δυνάμει φύγωμεν καὶ μετὰ πολλῆς σπουδῆς καὶ προσοχῆς ἑαυτοὺς φυλάξωμεν καὶ τηρήσωμεν καὶ τῷ θεῷ εὐξώμεθα, ἵνα σκεπάσῃ ἡμᾶς καὶ διατηρήσῃ ἀπὸ παντὸς πάθους καὶ πάσης ἡδονῆς καὶ ἐπιθυμίας ἀτόπου καὶ ἐκ πάντων ἐπινοιῶν καὶ τεχνασμάτων τοῦ πονηροῦ διαβόλου, ὅπως ῥυσθέντες ἐξ αὐτοῦ Χριστῷ τῷ θεῷ ἡμῶν εὐχαριστίαν καὶ δόξαν ἀναπέμψωμεν σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Β'.

ΕΥΘΥΜΙΟΥ ΤΟΥ ΜΑΛΑΚΗ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΝΕΩΝ ΠΑΤΡΩΝ

ΣΤΙΧΟΙ ΚΑΙ ΤΙΝΕΣ ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ ΑΥΤΟΥ.

Τοῦ μακαριωτάτου μητροπολίτου Νέων Πατρῶν κυροῦ Εὐθυμίου τοῦ Μαλάκη στίχοι γραφέντες εἰς τὸ λουτρὸν τοῦ Χούμνου, μέσον ὂν κήπου.

Καλὸν τὸ λουτρόν· ῥύψις ἐστὶ σαρκίου.
ἡδὺς ὁ λειμών· τέρψις ἐστὶν ὀμμάτων,
θέλγει δὲ καὶ δώματος ἡ ποικιλία·
πλὴν ἀλλ' ὁ τούτων τῶν τριῶν σὺ δεσπότης,
5 μὴ πάντα τὸν νοῦν ἐγκεχηνὼς τοῖς κάτω
στήσῃς τὸ φιλόκαλον ἐν τούτοις μόνοις·
παρέρχεται γὰρ ἡ παροῦσα λαμπρότης
καὶ τέρψις οὐδέν ἐστιν ἐκ τῶν ἀστάτων.
ὁρᾷς τὸ λουτρόν, τὴν κάμινον δ' οὐ βλέπεις
10 καὶ τὴν ὑποσμύχουσαν ἐν ταύτῃ φλόγα.
δέδοικα μὴ λυθῶσι τὰ θέλγοντά σε,
οἴκου περιφάνεια, λειμῶνος χάρις,
τὸ λουτρὸν αὐτό, καὶ τὸ πῦρ μίμνῃ μόνον,
τὸ τοῖς πονηροῖς συμφλέγον σε πρακτέοις.
15 καίνιζε λουτρόν, ὃ ψυχῆς πλύνει ῥύπον.
λειμὼν ἐκεῖνος ἐννοείσθω σοι μόνος,
οὗ χεῖρ φυτουργὸς ἡ κρατοῦσα τὴν κτίσιν.

Κῶδ. Πετρουπ. 250, φ. 81β.

5 κ ῶ δ. ἐκκεχηνώς. 6 στήσεις. 13 μείμνῃ. 14 συμφλέγων.

ἀντὶ δὲ λαμπρῶν καὶ περικλύτων δόμων
μικρὰν καλιὰν πῆξον ἐν πόλου πλάτει.
τοιαῦτ' ἐμαυτῷ καὶ παραινῶ καὶ γράφω
Χοῦμνος σεβαστός, ἀλλὰ καὶ τοῦργον δίδου,
σῶτερ, θελητὰ τῆς ἐμῆς σωτηρίας.

ΕΠΙΣΤΟΛΑΙ.

1.

(Τῷ πατριάρχῃ Κ/πόλεως Θεοδοσίῳ τῷ Α').

— — — — — — — αὐτὸς μὲν ἐπεπόνθεις, ἕτεροι δέ μοι γεγόνασιν ὑφηγηταὶ καὶ διδάσκαλοι. εἰ δὲ καὶ χρημάτων ἀμυθήτων ηὐμοίρουν καὶ ἀφαρπάσαντες ταῦτα ᾤχοντο οἱ τότε με περιστοιχίσαντες ἄνδρες ἔνοπλοι, οὐκ ἂν τοσοῦτον ἤλγησα τὴν ψυχήν, ὁπόσον ὅτι κεκώλυμαι πρὸς τὴν σὴν ἀναδραμεῖν ἁγιότητα, τὸν μέγαν θησαυρὸν τὸν ἄσυλον, τὸν ἀνεπιβούλευτον, κἂν τινες ἀφρόνως περὶ τὴν ἐπιβουλὴν ἐθρασύναντο· ὃν εἴ τις καὶ τῆς Ἐκκλησίας στῦλον καλέσειε καὶ λαμπτῆρα τῆς οἰκουμένης καὶ ἑδραίωμα πίστεως καὶ ἀρετῆς κανόνα καὶ τοῦ κατὰ θεὸν βίου διδάσκαλον, πάντως ἂν κατευστοχήσοι τῶν κλήσεων. ἐγὼ δ' ἂν προσθείην, ὅτι καὶ τοῦ σωτῆρος ἀκριβὲς ἀφομοίωμα τά τε ἄλλα καὶ οἷς μετὰ τὴν ἄμαχον τῶν λόγων ἰσχύν, οἷς ὀλίγα τινὲς προσεῖχον ἑκουσίως κωφεύοντες, τελευτῶν ἐπήγαγες τὰ θαυμάσια· καὶ οὓς οὐκ ἔπεισαν λόγοι, τούτους τὰ παράδοξά σου τῶν ἔργων καὶ κατήδεσαν καὶ κατέπεισαν. καὶ νῦν καθαπερεὶ τὸ σὸν πρωτότυπον, ὁ Χριστός, μετὰ τὴν ἀνάστασιν εἴρηκεν, " Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ", διὰ τὸ πάντως τῆς ὑποταγῆς ἐθελούσιον, ἣν αὐτῷ τὰ σύμπαντα ὑπετάγησαν, οὕτω δὴ καὶ αὐτὸς δίκαιος ἂν εἴης λέγειν, πατριαρχῶν ἁγιώτατε, μετὰ τὴν ὑπερβολὴν τῶν σῶν παθημάτων καὶ τὴν οἷον ταφὴν ἐκείνην καὶ ἐν σκότει καὶ γωνίᾳ κατάκρυψιν ἀναστάς τε αὖθις καὶ ἀναβλέψας καὶ τὴν ἑκούσιον παρὰ πάντων ὑποταγὴν κληρωσάμενος. οὐ γὰρ ἔφερεν ὁ περὶ σὲ τῶν κρατούντων ζῆλος καὶ τὸ φιλευσεβὲς καὶ φιλόκαλον στερεῖσθαί σου τῆς αἴγλης καὶ τοῦ φωτὸς ἐπὶ μακρὸν τὸ περίγειον. τοιούτου θησαυροῦ τὴν ἀποτυχίαν πῶς ἂν πράως ἐνέγκοιμι; πῶς δὲ οἴσω τηλικούτων ἐκπεσὼν τῶν ἐλπίδων, αἷς ἐτρεφόμην ὁσημέραι; ἀλλ' ἐμοὶ μὲν οὕτω, δέσποτα πανάγιε, πρόθυμον μὲν τὸ

Κῶδ. φ. 111ᵃ—113ᵃ. 23 Ματθ. κη', 18.

11 κῶδ. ἀφαρπάσαντας. 32 ὁσήμεραι.

πνεῦμα, τὰ δὲ τῆς σαρκὸς ἀσθενῆ· ἔτι γὰρ ὑπὸ τρομεροῖς σαλεύω τοῖς γόνασι καὶ τὰ πολλὰ βακτηρεύομαι, ὡς οἱ μακρῷ συγκεκυφότες τῷ γήρει καὶ τοῦ χρόνου κατάμεστοι. μάχεται δέ μοι καὶ ἡ τοῦ στομάχου καὶ τῶν σπλάγχνων κακοπραγία καὶ τὸ τῆς κεφαλῆς εὐπαθέστατον, οὗ χάριν οὐδὲ τῷ ἀέρι μετ' ἐλευθερίας ἔχω προσομιλεῖν, ἀλλ' ἀτυχῶ καὶ τοῦτο τὸ μέρος ὑπὸ στενῷ καὶ ἀκλύτῳ τῷ δωματίῳ οἷον ἐγκελυφούμενος. καὶ ἅπας ἄνεμος ἐμοὶ φοβερός, κἂν αὔρα μόνον ᾖ λεπτὴ καὶ πραεῖα καὶ γαλήνης μεστή. τὰ μὲν οὖν καθ' ἡμᾶς τοιαῦτα· πλὴν ἀλλ' ὅτι ζῶ καὶ τῷ θανάτῳ οὐ παρεδόθην, τῷ ἐμῷ δεσπότῃ πάντως ἡ χάρις, οὗ καὶ μόνον ὄνομα μνημονευθὲν οὐκ ἐμέλλησεν, ἀλλ' εὐθύς μοι τὴν τῶν πυρετῶν ἀπέσβεσε κάμινον. μὴ λόγοις οὖν, παναγιώτατε δέσποτα, ⟨εἴης, ἀλλὰ⟩ ταῖς σαῖς εὐχαῖς ἐπιστηρίζων ἡμᾶς, ἕως ἂν ἐπὶ τὴν παλαιὰν κατάστασιν ἀναδράμωμεν καὶ καθαρὰν τὴν ὑγείαν ἀπολαβόντες καὶ δυναμωθέντες τὰ γόνατα οὕτω δρομαῖοι πρὸς τὴν σὴν μεγίστην περιωπὴν ἀναπταίημεν +.

2.

Τῷ κριτῇ τοῦ βήλου κῦρι Λέοντι τῷ Μοναστηριώτῃ.

+ Εὐλογητὸς κύριος ὁ θεός, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ὁ θανατῶν καὶ ζωογονῶν, κατάγων καὶ ἀνάγων καὶ " πάντα ποιῶν καὶ μεταβιβάζων " ὅπως ἄρα καὶ βούλοιτο· ὃς καὶ ἡμᾶς, φίλτατέ μοι αὐθέντα καὶ ἀδελφέ, διὰ μὲν τὰς ἡμῶν ἁμαρτίας μέχρι τῶν Ἅδου πυλῶν κατήγαγε, διὰ δὲ τὴν οἰκείαν φιλανθρωπίαν τάχιον αὖθις ἀνείλκυσε καὶ θάνατον ἠπείλησε μέν, οὐκ ἐπήγαγε δέ. τίνος ἕνεκεν; ἵν' αὐτὸς ἐπιστρέψω καὶ τῶν ἐμῶν τραυμάτων ἐπιμελήσωμαι· ὃ καὶ γένοιτό μοι τάχιον, Χριστὲ βασιλεῦ, καὶ μὴ δευτέρας ὑπομνήσεως δεηθείην ἢ ἑτέρας αὖθις παιδεύσεως. ἀλλ' ἐρωτᾷς καὶ ὁποία τις ἡ νόσος· πρῶτα μὲν κεφαλῆς ἄλγος καὶ προσκατακλίσεις, εἶτα ⟨δὲ⟩ συνεχεῖς πυρετοὶ καὶ τὰ ἐκ τούτων συμπτώματα, καταφοραὶ καὶ παραφοραὶ καὶ ὅσα τούτοις ἀκόλουθα, ἰατροὶ στυγνάζοντες καὶ ἀπογινώσκοντες καὶ κλαυθμοὶ τῶν ἡμετέρων ἀπόκρυφοι. καὶ εἶχε μὲν ἡμᾶς ἐπὶ ἑξκαίδεκα ἡμέραις ἡ κλίνη ὀλίγα τῶν δεομένων αἰσθανομένους, μηδὲ εἰδότας οἷ κακοῦ τυγχάνομεν κατ-αντήσαντες, ὡς ἄν τι καὶ ἐπιστυγνάσωμέν πως ἐπιθανάτιον· τὰ δὲ ἐντεῦθεν ὁποῖα; ὅπλα περὶ ἡμᾶς καὶ φυλακαὶ νυκτὸς ἄγρυπνοι· οἱ γειτονοῦντες πολέμιοι καὶ πρὸς ἁρπαγὴν τῶν ἡμετέρων ἕτοιμοί τε καὶ προθυμότατοι, ἀγανα-

1 πρόθυμον — ἀσθενῆ] Ματθ. κ', 41. 17 θανατῶν — ἀνάγων] πρβλ. Βασιλ. 1, β', 6. 18 Ἀμὼς ε', 8.

6 κῶδ. ἀκλίτω. 7 ᾖ] εἶ. 11 εἴης, ἀλλὰ] προσθήκη ἡμετέρα. 25 δὲ] προσθ. ἡμετ.

κτεῖν ἐοικότες, ὅτι μὴ καὶ τάχιον ἀποθνήσκομεν. τί σοι λέγω τοὺς ἀλλοτρίους; ἀλλὰ καὶ οἱ περὶ ἡμᾶς αὐτοὶ μικροῦ ἂν ᾤχοντο λιπόντες ἡμᾶς, μονονοὐκ ἔφιπποι γεγονότες, τὰ δ' ἄλλα πρὸς φυγὴν παρασκευασθέντες, ὡς ἂν μὴ σὺν ἡμῖν ἀποθάνοιεν. τὰ μὲν δὴ καθ' ἡμᾶς ἐν τούτοις· καὶ οὕτως ἀνακληθέντες καθαρῶς νῦν ὑγιαίνομεν· γένοιτο δὲ ⟨καὶ σ⟩ὲ μετὰ τῶν σῶν τε καὶ ἡμετέρων καθαρῶς ὑγιαίνειν καὶ βίον ἕλκειν εὔθυμόν τε καὶ ἄλυπον +.

3.

Τῷ Εὐσταθίῳ Θεσσαλονίκης.

Κ⟨ατήχθη⟩μεν νε⟨ωστὶ μέχρι τ⟩ῶν Ἅδου πυλῶν καὶ μέντοι καὶ εἰσδῦναι ταύτας παρεβιάσθημεν ὑπὸ τῶν ἡμετέρων ἁμαρτιῶν, ἀλλ' ἀνειλκύσθημεν ἄνωθεν ὑπὸ τῆς παναλκοῦς δεξιᾶς καὶ τῷ θανάτῳ οὐ παρεδόθημεν. τίς δὲ ἡ νόσος; πυρετοὶ συνεχεῖς, κεφαλῆς ἄλγος ἀφόρητον, καταφορὰ πολλὴ καὶ παραφορὰ καὶ τὰ τούτοις ἑπόμενα. τὰ δὲ ἑξῆς οἷα; ἀπογνωσθείσης τῆς ἡμετέρας ζωῆς, οἱ μὲν ἀλλότριοι κύκλωθεν ἡμᾶς παγχάλκοις ὅπλοις περιεστοίχιζον καὶ πρὸς ἁρπαγὴν τῶν ἡμετέρων παρεσκευάζοντο· εἰσὶ δὲ οἱ καὶ τῶν δοκούντων φίλων καὶ τῶν πλησίων ἐξ ἐναντίας ἤγγισαν καὶ ἐξεβιάζοντο ζητοῦντές μου τὴν ψυχήν, οἱ δὲ ἐγγὺς καὶ ἡμέτεροι ἀπὸ μακρόθεν ἔστησαν τῷ δέει παρελαυνόμενοι καὶ τὸ συλληφθῆναι διαδιδράσκοντες. ἀλλὰ ταῦτα μὲν τοῦ χειμῶνος καὶ τῆς ζάλης ἐκείνης, ὑφ' ἧς καὶ τὰ πολλὰ τῶν ἀγωγίμων ἀπεβαλόμεθα· νῦν δ' ἀλλ' ἐνεαρίζομεν τοῖς τῆς ὑγείας καλοῖς ἀνακτώμενοί τε κατὰ μικρὸν καὶ πρὸς τὴν ἀρχαίαν κατάστασιν σχολαιότερον ἀπὸ τόσης οὕτω τῆς ἀσθενείας καὶ γονάτων τρομερῶν ἀναγόμενοι. σῶν γοῦν εὐχῶν ἔργον ἀναπτῆναι θᾶττον ἡμᾶς πρὸς τὴν προτέραν ὑγείαν, καὶ εἴης μοι πρῶτα μὲν αὐτὸς ὑγιαίνων, εἶτα δὴ καὶ ἡμῖν παρὰ θεοῦ τὰ ὅμοια ἐξαιτούμενος· ἑνωθῆναι δὲ ἡμᾶς καὶ ἐποφθῆναι τοῖς ἀλλήλων προσώποις ὁ μὲν παρὼν καιρὸς ἴσως δυσκολίας γέμων οὐ συγχωρήσεται, γ⟨ενήσ⟩εται δέ, ὅταν ὁ πάντα κραίνων εὐδο⟨κήσ⟩ῃ θεός.

4.

Τῷ σεβαστῷ καὶ μεγάλῳ δρουγγαρίῳ κῦρι Ἀνδρονίκῳ τῷ Καματηρῷ.

Π⟨είθει μὲν⟩ ἡμᾶς ⟨ὀκνεῖν⟩ περὶ τὸ ⟨χαράττε⟩ιν σοι γράμματα, πανσέβαστέ

9 Κ⟨ατήχθη⟩μεν νε⟨ωστὶ μέχρι⟩] συμπλήρωσις Kurtz ἐντὸς ἐφθαρμένων χώρου στοιχείων 7+2.
29 τὰς περὶ Ἀνδρονίκου Καματηροῦ μαρτυρίας ἴδε παρὰ τῷ *E. Miller*, Recueil des historieus des Croisades. Hist. grecs, τ. 2, σ. 349—350.

5 ⟨καὶ σ⟩ὲ] τόπος διάτρ. τεσσάρων στοιχείων, ὧν τοῦ μὲν κ διακρίνεται ἡ ἄνω γωνία, τῶν δὲ λοιπῶν οἱ δύο τόνοι. 8 Κ⟨αντικρὺ⟩] τόπος διατρ. ἑπτὰ στοιχείων· συνεπλ. Η || νέ⟨ειν τ⟩ῶν] τόπος διάτρ. τριῶν στοιχείων· Η ν έ ε σ θ α ι. 26 γ⟨ενήσ⟩εται — εὐδοκ⟨κήσ⟩ῃ συμπλ. ἡμετ. 30 Π⟨είθει⟩] μικρὸς τόπος διάτρητος, μὴ δυνάμενος χωρῆσαι τὸ τοῦ Η π α ρ α π ε ί θ ε σ θ α ι || ⟨πάντως⟩] συμπλήρωσις ἡμετέρα, Η ἐ ν ν ο ο ῦ ν τ α ς || ⟨χαράττε⟩ιν] συμπλ. ἡμετ.

μου αὐθέντα, τὸ σὸν περὶ τὰ ἀντιγράμματα δυσοκνότατον· ⟨γράψα⟩ντες γὰρ πολλάκις, μᾶλλον δὲ ἀεὶ τὸ ἐπιστέλλειν ἐπιμελὲς ἔργον ἔχοντες, οὔποτέ σοι ἀντιγράμματος ἠξιώθημεν, ἀλλ' ἐλπίσι μὲν ἐπὶ μακρὸν βουκολούμενοι, ἔπειτα πόρρω τῶν ἡμετέρων ἐλπίδων πίπτοντες ⟨στυ⟩γνοὶ καὶ κατηφεῖς μεμενήκαμεν κατὰ τοὺς ὅσοι τῶν ἁλιέων πολλάκις μὲν τὰ δίκτυα πρὸς ἄγραν ἐχάλασαν, τοσαυτάκις δὲ τὸ ἄκρον ἐδυστύχησαν. ἀλλὰ νικᾷ τὸν ὄκνον ὁ πόθος καὶ πείθει μνημονεύειν τε τῶν ἀμνημονεύτων καὶ πρὸς τοὺς σιωπῶντας στωμύλλεσθαι. γράφω τοίνυν καὶ νῦν καὶ προσκυνῶ σε τὴν πανσέβαστον ἐμοὶ κεφαλὴν καί σοι πᾶν ὅ τι κάλλιστον καὶ σωτήριον ἀπὸ βαθείας τῆς καρδίας ἐπεύχομαι, ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος, εὐμένειαν τὴν ἐκ βασιλέων καὶ τὴν ἐπὶ πλέον ἐν τῷ βίῳ παραμονήν, οὐχ ἵν' αὐτὸς ἀπολαύσαις (τί γὰρ σοι περισπούδαστον τῶν ὧδε τερπνῶν καὶ ἃ νικῶσι τοὺς πλείονας; ὅς γε καὶ νηστείαις κατατήκεις τὸ σῶμα καὶ τῇ κατὰ θεὸν ἀγρυπνίᾳ προσανέχων οὐ διαλείπεις· ⟨καὶ γὰρ⟩ δόξαν σὺ μὲν οὐκ ἐπιζητεῖς, αὐτὴ δέ σε διώκει μάλιστα), ἀλλ' ἵν' ἡμεῖς οἱ τῶν σῶν χαρίτων πεπειραμένοι ἀπολαύσωμέν σου μακρότερον, ἵνα τὸ πολίτευμα μὴ σκυθρωπὸν μείνῃ καὶ ἄδοξον τοιούτου στερηθὲν βουλευτοῦ καὶ θεμιστοῦ καὶ κοσμήτορος. τούτων ἕνεκεν, ὦ ἄνθρωπε τοῦ θεοῦ, ἵνα μὴ καὶ τὰ λοιπὰ καταλέγων σου τῶν κατορθωμάτων λάθω τὸ μέτρον ὑπερβὰς τῆς ἐπιστολῆς, εἴης ἐπὶ μα⟨κ⟩ρὸν ἐν τῷ βίῳ παρὰ θεοῦ συντηρούμενος. ἀλλὰ γὰρ ποθεῖς, οἶμαι, καὶ σὺ καταμαθεῖν τὰ ἡμέτερα. τὰ δὲ εἰσὶ — — — — — — — — — — — — — — — — — —

5.

(Τῷ αὐτῷ).

— — — — — — — — — — — — — — — — —

τοῖς οὖν τοιούτοις παθήμασι, θεσπεσιώτατε σεβαστέ, τίς ἂν καὶ πόθεν ἴασις εὑρεθήσεται, ὅταν οὐδὲ βασιλεῖς κατισχύωσιν; ἰδοὺ γὰρ καὶ τὸ ἀπολυθὲν πρὸ μικροῦ πρακτορικὸν καὶ ἀξιέπαινον θέσπισμα τοῦ νῦν κρατοῦντος εὐσεβοῦς ἡμῶν αὐτοκράτορος, δι' οὗ τὰ φοβερώτατα τοῖς τῶν ἐκκλησιῶν κατεπεμβαίνουσιν ἠπειλήσατο, συκίνην ἡμῖν ἐπικουρίαν οἱ φορολογοῦντες ἀπέδειξαν, τοσοῦτον ὠφελοῦσαν τούς τε θνήσκοντας τῶν ἀρχιερέων καὶ τὰς ἐκκλησίας θε-

26 θέσπισμα] νοητέον τὸ τοῦ Μανουὴλ Κομνηνοῦ "πρόσταγμα χάριν τοῦ μὴ ἁρπάζεσθαι τὰ τοῖς τελευτῶσιν ἐπισκόποις ἀνήκοντα παρὰ τῶν πρακτόρων" (*Zachariae*, Jus graeco-romanum, τ. 3, σ. 457—459). 29 συκίνην — ἐπικουρίαν] Corpus parcoem. 2, σ. 216, ἀριθ. 83.

1 ⟨γράψα⟩ντες] συμπλ. ἡμετ. 4 ⟨στυ⟩γνοὶ] συμπλ. ἡμετ. 14 ⟨καὶ γὰρ⟩] συμπλήρωμα ἡμετ. 21/24 μεταξὺ τῶν ε ἰ σ ὶ καὶ τ ο ῖ ς ο ὖ ν λείπει τῷ κώδικι ἓν ὅλον φύλλον· διὸ καὶ τὸ ἑξῆς τεμάχιον ἐπιστολῆς σεβαστῷ τινι ὡσαύτως φαίνεταί μοι ὂν τὸ πέρας ἄλλης τινός, αὐτοῦ τοῦ Μαλάκη ἐν τῇ 4 η προειδοποιοῦντος τῷ Καματηρῷ τὸ μὴ ταύτης μακρόν. Διὸ τὸ περὶ ἐναντίου τοῦ Heisenberg παρατήρημα (Byz. Zeit. 1904, τ. 13, σ. 226) ἔστιν ὅλως ἀβάσιμον.

οῦ, ὅσον τοὺς μὲν πικρότερον τελευτᾶν, τὰς δὲ σκυλεύεσθαι γενναιότερον. ἐλπιστέον τοίνυν ἐπὶ μόνον τὸν ἐν οὐρανοῖς βασιλέα, τὸν τὰ πάντα δυνάμενον, καὶ οὗτος ἀνθέξεται τῶν οἰκείων πάντως καὶ πολεμήσει τοῖς ἀντικειμένοις αὐτῷ +.

6.

Τῷ Ἀθηνῶν κῦρι Μιχαὴλ τῷ Χωνειάτῃ.

+ Ἐμοὶ καὶ τοῦτο συμφορᾶς ἐπιθήκη, δέσποτά μου καὶ ἀδελφέ, ὅτι καὶ αὐτόθι παρὼν τῆς ἡδίστης ἀπεστερούμην σου ξυναυλίας, καὶ παρὰ τῇ βασιλίδι τῶν πόλεων γεγονὼς οὐχ ἧττον ταύτην ἐπιποθῶ, πάσης ἄλλης ἀμοιρῶν παρακλήσεως. τίς γὰρ καὶ πόθεν, ὅταν οὐ πάρεστι μὲν ὁ καλὸς Θεσσαλονίκης, ἄπεστι δὲ καὶ ὁ θεσπέσιος Ἀθηνῶν, ὡς εἴ γε μηδ' ὡς οἷον ἐκ μηχανῆς ὁ σοφὸς ἡμῖν πατριάρχης ἐδωρήθη παρὰ θεοῦ, τὸ κοινὸν ἀγαθόν, ἡ πάντων παραψυχή, αὐτίκα ἂν ἐξελίπομεν καὶ λύπαις καὶ φροντίσι συμμεριζόμενοι. οὗτος γὰρ ἡμᾶς καὶ λόγοις ἀναψύχει καὶ τοῖς ἔργοις παρακαλεῖ, καὶ ἀπογνώσεως πόντῳ βεβυθισμένοις, ὡς οὕτως εἰπεῖν, χεῖρά τε βοηθὸν παρέχει καὶ ἀνανήχεσθαι δίδωσι. τούτῳ μὲν οὖν χάρις ἀπὸ θεοῦ, πολλὰς καὶ παντοίας ἡμῖν ἐπιχορηγοῦντι τὰς χάριτας. εἰ δὲ σύ, παναγιώτατε δέσποτα, τὸ τῆς θέας ὑστέρημα διὰ γραμμάτων ἀναπληρῶν τῷ τῆς σῆς γλώττης μέλιτι τὴν περὶ ἡμᾶς ἀψινθίαν θαμινώτερον ἐπιχρίεις, τάχ' ἂν ἀκέραιον ἡμῖν ἐσεῖται τὸ ἀγαθὸν καὶ τάχιον ἐπὶ τὴν προτέραν εὐθυμίαν ἀναδραμούμεθα, ὡς ἔγωγε τὰς Ἀθήνας νῦν εἴπερ ποτὲ καὶ μακαρίζω διὰ σὲ καὶ φιλῶ, δύο τοὺς Ὑμηττοὺς ἀνθ' ἑνὸς πλουτούσας καὶ διπλᾶς τὰς χρυσέας ζώνας, ὑφ' ὧν αὐταῖς διπλασιάζεται τὸ μακάριον. ὡς ἄρα ἦσθα τῆς ἐν πόλεσι χρυσωνυμουμένης θύτης ἐπάξιος καὶ χώρου μελισταγοῦς κληρονόμος ἰθαγενής, ὁ χρυσοῦς ἐν ἀνθρώποις, τὴν γλῶσσαν μελίρρυτος, ἔσχε σε καὶ ἡ Καλλιρρόη δικαίως· οὗ τὰ ῥεύματα τῆς σοφίας καὶ πολύκρουνα καὶ καλλίρροα. μὴ τοίνυν φθονήσῃς ἡμῖν, μὴ τῶν παρὰ σοὶ τοῦ χρυσοῦ ψηγμάτων, μὴ τῆς γλυκαζούσης φωνῆς, μὴ τοῦ πλημμύροντος ῥεύματος· εἰ δὲ καὶ ταῖς εὐχαῖς ἐπιστηρίζοις, τὴν ἄνωθεν ἡμῖν ἐπισκοπὴν ἐφελκόμενος, τοῦτ' ἂν εἴη σοι φιλίας τε ἀκραιφνοῦς ἔλεγχος καὶ τῆς κατὰ θεὸν ἀδελφότητος οὐκ ἀγενὴς χαρακτήρ.

7.

Τῷ αὐτῷ Ἀθηνῶν κυρῷ Μιχαὴλ τῷ Χωνειάτῃ.

+ Γέγονάς μοι πάρεργον καὶ σύ, σοφώτατε δέσποτα, τῆς ἀλωπεκῆς τοῦ παμμάκαρος· ὀκνῶ γὰρ εἰπεῖν τῶν προφανῶν ἐμπαιγμῶν, οὗς οὐ πρὸς ἀνθρώπους ἅπαντας μόνον ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν θεὸν ἐπιδείκνυται. ἠπά-

5 πρβλ. Μιχ. Ἀκομ. τοῦ Χωνιάτου τὰ σωζόμενα, ἐκδ. Σ. Π. Λάμπρου. Ἐν Ἀθήναις 1879—1880 τ. 2, σ. 399—400. 10 ὡς ἐκ μηχανῆς] Corpus parcoem. 2, σ. 12, ἀριθ. 78.

τησαι παρὰ τοῦ λαοπλάνου καὶ σύ, καὶ ἵνα γυμνὸν τὸ τοῦ λόγου δείξω σοι πρόσωπον, τῶν ἐπικαλυμμάτων ἀφέμενος, ὁ τοῦ τῶν ἀθλίων Εὐριπιωτῶν ἐπισκόπου παιδαγωγὸς καὶ διδάσκαλος, ὁ κυβερνήτης, ὁ ἰθυντήρ, ὁ πάσης αὐτῷ κακίας ἔνδον ὑφηγητὴς καὶ παντοίας κῆρυξ ἔξωθεν ἀρετῆς, οὗτος ἐκεῖνος παρέπεισε μετὰ τῶν ἄλλων καὶ σέ, δι' ὧν εἴωθε ποιεῖν λαοσυναξιῶν τε καὶ συσκευῶν, ὡς οὐ μόνον οὐχ ὑπεύθυνός ἐστιν ὁ θαυμαστὸς οὗτος ἐπίσκοπος ἐφ' οἱῳδήτινι ἁμαρτήματι, ἀλλὰ καὶ πάντων ἁπαξαπλῶς ἐπισκόπων ὁσιώτερός τε καὶ θαυμασιώτερος. καὶ τοῦτο μὲν οὐ πάνυ καινόν (ὑπεραπολογήσομαι γάρ σου μικρόν), ἐὰν ἁπλούστατόν τε ἄνθρωπον καὶ ἀκεραιότατον καὶ ἄρτι πρώτως ἐπὶ πράγματα παρακύψαντα πονηρὸς ἀνὴρ συνήρπασε καὶ ἐπίκλοπος, ᾧ σπουδὴ καὶ ἔργον καὶ μέλημα τὸ τὰ τοιαῦτα σκαιωρεῖν τε καὶ κατεργάζεσθαι. (νῦν δ' ἐκεῖνο ἔσται πάντως δεινότατον, εἰ καὶ μετὰ τὴν παροῦσαν γραφήν, ἥτις μικρά σοι τῶν ἐκείνου τίθησιν ὑποζώγραφα, ἔτι εἰς κατάληψιν τῶν κατ' αὐτὸν μικροῦ φθάσασαν ἤδη καταγνῶναι, τούτου φανερῶς ἀποσκευαζομένου σὺν ἀναιδείᾳ τὴν ὀφειλομένην σοι προσέλευσιν καὶ προσκύνησιν, καὶ ταῦτα προσκληθέντος πολλάκις, ὁ διδάσκαλος συνεὶς ὅπῃ φέρει τὸ πρᾶγμα καὶ ἅμα καὶ τὴν ἐντεῦθεν προσδοκωμένην συνοδικὴν μετάκλησιν ὑφορώμενος ἔρμαιον εὕρατο τὸν καιρόν, καθ' ὃν ἡ παγκόσμιος τῆς Θεομήτορος πανήγυρις Ἀθήναζε συναγείρει τοὺς ἀπανταχόθεν λαούς. καὶ δὴ τοὺς αὐτίκα παρευρεθέντας Εὐριπιώτας παραλαβών, οὓς εἴωθε μετακινεῖν τε καὶ μεταφέρειν κατὰ τὰ ἐν ἐν χερσὶ τῶν παιδαρίων ὑπὸ λεπτῇ τῇ μηρίνθῳ στρεφόμενα στρουθὰ καὶ παιζόμενα, ἔστι δὲ οὓς καὶ Εὐριπόθεν ἐπ' αὐτῷ τούτῳ μετακινήσας καὶ διδάξας ἃ χρὴ λέγειν, τῇ σῇ τούτους ἁγιότητι παρεστήσατο καὶ τάχα παρηνώχλησάν σου ταῖς ἀκοαῖς, στόματί τε πλατεῖ καὶ φωναῖς αἰθερίοις ἀνακηρύττοντες τὸν ἐπίσκοπον. καὶ ἡ μὲν συσκευὴ τοιάδε καὶ τούτου χάριν πάντως ἐπινενοημένη, ἵνα δηλαδὴ σύ τε καὶ ὁ μεγαλεπιφανέστατος πραίτωρ ταῖς τοιαύταις φωναῖς προσσχόντες καὶ ὡς ἀπραγματεύτους παραδεξάμενοι σὺ μὲν ἀπολύσῃς τοῦτον τῆς καταγνώσεως, ἧς ἔφθης ὡς ἀπαιδεύτου καταγνῶναι καὶ ἀπειθοῦς, τάχα δὲ καὶ ἵνα (καταστοχάζομαι γὰρ τῆς ἐσφαλμένης τοῦ διδασκάλου προσδοκίας καὶ τοῦ σκοποῦ) ἀντιλάβῃ τοῦ ἐπισκόπου σου ἐνταῦθα καθελκομένου οὐχ ὡς ἀνεγκλήτου μόνον, ἀλλὰ καὶ ὡς δικαιουμένου παρὰ σοὶ μόνῳ δικάζεσθαι, ὁ δέ, ὁ πραίτωρ, ἐμφράξῃ τὰς ἀκοὰς τοῖς ἐγκαλεῖν Εὐρίπῳ μέλλουσι καὶ ἐπιβοᾶσθαι ὅσας παρὰ τοῦ ἁγίου τούτου τὰς ἀδικίας ὑπέστησαν. καὶ μέντοι οὐκ ἀπέτυχον τοῦ σκοποῦ· οὐ γὰρ μόνον τὸ ἀκατάγνωστον, ὥς φασι, τῷ ἀρχιερεῖ ἐπεδικαιώσατε, ἀλλὰ καὶ προσεπηνέσατε καὶ τοὺς αὐτῷ

26 κ ῶ δ. ἐπινενοουμένη.

τὰ ἀγαθὰ ἐπιμαρτυροῦντας ὡς υἱοὺς εὐγνωμονοῦντας ἐμακαρίσατε. ὑμᾶς δὲ ἀλλὰ καὶ τὸ σκελετόν, οἶμαι, τοῦ ἀνδρὸς καὶ τὸ σιωπηλὸν ἐδελέασαν, οἰηθέντας ἀρετῆς εἶναι ταῦτα καρποὺς καὶ μὴ τὸ μὲν ἄκρας ἀναισθησίας καὶ ἀφασίας, τὸ δὲ σωματικῆς ἰδιότητος· οὐ γάρ ἐστιν ἀνοιγῆναι τούτῳ ποτὲ τὸ στόμα καὶ μὴ γελοιωδέστατον προελθεῖν τι ῥῆμα ἢ ἀσεβέστατον· εἰ δὲ καὶ νηστεύειν τοῦτον ἐνσταίη τις, ἀλλ' οὐαὶ τοιαύτῃ νηστείᾳ, ἣν οὐκ ἐξελέξατο κύριος. οἱ μὲν οὖν ταῦτα· ἡ δὲ ἀλήθεια ὑπεγέλα μὲν τῷ τότε, ὑπεκρύπτετο δὲ καὶ ὑπεχώρει τὸ τέως καλυψαμένη χρόα καλόν, οἷα πολλὰ πάσχει πολλάκις τὴν τοῦ ψεύδους παρρησίαν οὐ φέρουσα. εἰ δὲ καὶ ἐπεζήτει περιϊοῦσα τῶν αὐτῇ φίλων τινά, ὅδ' αὐτὸς ὁ συναντήσας ἐγώ. ἀλλὰ βαβαὶ τοῦ πλήθους, ὅσους εἶδον ταύτην παρεπομένους καὶ γοερὸν ἀνοιμώζοντας· ὁ μὲν ἐθρήνει τὴν ἄμπελον, ἣν ὁ δεσπότης ἀφήρπασεν, ὁ δ' ἐπεστέναζε ταῖς ἀρούραις, ὧν ὁ πατὴρ ἀπεστέρησε· καὶ ὁ μὲν ἀνεκαλεῖτο τὰ θρέμματα, ὁ δὲ τοὺς βόας, ὁ δὲ τοὺς ὄνους, ὁ δὲ τὰς ὄρνιθας. ἐκεῖ καὶ τραυματίαι πολλοὶ καὶ ταῖς πληγαῖς ἐπιστένοντες, οὐκ ἐκ τῶν τοῦ λαοῦ μόνον, ἀλλὰ πολλῷ πλέον ἔκ τε μοναστῶν καὶ τῶν παραστατούντων θεῷ· τῷ μὲν γλουτὸς ὑπὸ μωλώπων κατάστικτος, τῷ δὲ χεῖρες καὶ πόδες καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος· ἄλλῳ περὶ τὸ κρανίον σμῶδιξ ὅτι πολὺς καὶ πληγαὶ καὶ τρίχες αἱμόφυρτοι. πόσοι καὶ οἱ ὠχροὶ καὶ κεκονιαμένοι τὰ πρόσωπα, οὓς ἐπὶ μακρὸν εἶχον οἱ λάκκοι, τὰ τοῦ ἀρχιερέως θαυμαστὰ φρούρια, οὓς καὶ οἰωνισάμην ἰδὼν ὡς ἐκ τῶν τοῦ Τροφωνίου ἀναδεδομένους ἄντικρυς καταδύσεων· εἰ δὲ μὴ ἀσφαλῶς ἐπεπείσμην μήπω τὴν ἡμέραν ἐπιστῆναι τὴν τελευταίαν, τάχ' ἂν καὶ τῶν πάλαι τεθνεώτων εἶναι τούτους ἐνόμισα καὶ εἰς τὴν τοῦ κυρίου νῦν ἐξαναστῆναι συνάντησιν. πόσοι δὲ καὶ οἱ τοὺς τοῦ σίτου κόκκους τῶν ἐμβάδων ἀποτινάσσοντες καὶ τὰ σφῶν ἐνδύματα κατασείοντες, οὓς μετὰ τῶν τῆς ὥρας καρπῶν τοῖς ἑαυτοῦ σιτῶσιν ὁ δεσπότης ἐνεθησαύριζεν. ἐκεῖ καὶ ἱερεὺς τὴν γένυν κατὰ τρίχα μίαν τιλλόμενος καὶ κρουνοῖς αἱμάτων κατάβροχος, καὶ ἄλλος αὖ τὸν ἱερὸν τῆς κεφαλῆς ἐκτινασσόμενος φέψαλον, ὃν ἀπεγέννησεν ὁ ἐπὶ κορυφῆς αὐτῷ καταφλεχθεὶς τοῖς ἱερεῦσι κόσμος ἐπιτραχήλιος· ἕτεροί τε τὰς ἱερατικὰς στολὰς πρὸς βίαν πᾶσαν ἀπεκδυόμενοι καὶ στρατιωτικὰς ἀντεπενδυόμενοι κἀπὶ τῆς ἀγορᾶς ὡς κακοῦργοι καὶ ἀσεβεῖς πομπευόμενοι. ὁ δὲ τοῦ ἐπισκόπου κλῆρος πάντες μεμωλωπισμένοι, πάντες κατάπληκτοι καὶ πολλὰ τὴν ἀρχιερατικὴν δεξιὰν ὡς Καταιβάτην βριαρὸν αἰτιώμενοι. οὐδὲ οἱ νόμοι μετὰ τῶν κανόνων

6 οὐκ ἐξελέξατο κύριος] πρβλ. Ἡσ. νη', 6. 8 Καλυψ. χρόα καλὸν] Ἡσιόδου ἔργων 198. 20 τροφωνίου . . . καταδύσεων] πρβλ. Σουΐδ. ἐν λ. 23 συνάντησιν] πρβλ. Ματθ. η', 34 33 Καταιβ. βριαρὸς] πρβλ. Αἰσχ. Προμ. 359. Λυκόφρ. 382.

8 κ ῶ δ. τωτέως. 15 ἐπισταίνοντες.

ἀπελιμπάνοντο· συνείποντο δὲ καὶ οὗτοι θρηνοῦντες καὶ τὴν προοδεύουσαν ἀλήθειαν ἐπιμαρτυρούμενοι, οἱ μὲν τὰς πυκνὰς ἀθεμιτογαμίας ἐπεγκαλοῦντες, οἱ δὲ τὰ ἀσεβῆ ληρήματα καὶ παράφορα, ὡς ἄρα πένθιμος μὲν ἐκ τρόπου παντὸς ἡ χαρμόσυνος τῆς Ὀρθοδοξίας Κυριακὴ καὶ οὐ δεῖ τοὺς χριστωνύμους πανηγυρίζειν αὐτίκα καὶ μετὰ λαμπάδων καὶ ᾠδῶν ὑμνεῖν τὸν θεόν, ἢ μὴν αὐτοὺς ἀφορίζεσθαι. ματαία δέ τις καὶ ἀνόνητος προσφορὰ τὰ ἐπὶ ταῖς μνήμαις τῶν ἁγίων προσφερόμενα κόλλυβα καὶ ἄξια προσεπιρριπτεῖσθαι χοίροις· ὃ καὶ διὰ τῶν ἔργων οὗτος εὐθὺς ὑπέδειξε, τὰ ἐν τῇ μνήμῃ τοῦ μεγαλομάρτυρος Θεοδώρου ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ παρὰ τῶν πιστῶν προσενεχθέντα κατὰ γῆς σκορπίσας πάντων ὑπόψια καὶ τοῖς χοίροις βρῶσιν προθέμενος. τοιοῦτος ὁ σὸς ἐπίσκοπος, πανάγιε δέσποτα, ὅσα γε μὴ ἐμὲ μόνον εἰδέναι, ἀλλὰ καὶ τοὺς ἐν Εὐρίπῳ πάντας καὶ αὐτόν γε δὴ τὸν τὰ καλὰ καὶ εὔφημα διοικονομούμενον. καίτοι κόκκον ἐκ μεδίμνου σοι παρεμέτρησα, ἀμφότερον ἵν' αὐτός τε τάχιον ἀπαλλαγείην ἀηδοῦς διηγήσεως καὶ σοὶ μὴ καταχράνοιμι τὰς ἱερὰς ἀκοάς. τί γὰρ εἴη παθεῖν, πῶς δὲ πληγῆναι καὶ τὴν ψυχήν, εἰ καὶ τοὺς καταστραφέντας παρ' αὐτοῦ θείους ναοὺς ἠδυνήθην ἀπαριθμήσασθαι; ταῦτα μὲν οὖν τὰ τῆς ἀληθείας· εἰ δ' ἁπλῶς οὕτω παραδεκτέα τὰ παρὰ τῶν πολλῶν πρὸς χάριν λεγόμενα, οὐκ ἂν φθάνοιμεν ἀνθρώποις πᾶσιν ὁμοῦ τὸ ἀνεπίληπτον ἐπιψηφιζόμενοι· πᾶσι γὰρ εὐχερὲς παράγειν τοὺς ὑπὲρ αὐτῶν λέγοντας, καὶ μάλισθ' ὅταν οἱ εὐλογοῦντες ἀβασάνιστά τε λέγοιεν καὶ ἀμάρτυρα, ὡς εἴ γε καὶ σὺ τηνικαῦτα ἀνάγκην καὶ μετριωτέραν τινὰ τοῖς εὐφημοῦσιν ἐπήγαγες, εἶδες ἂν εὐθὺς τό τε τῆς φωνῆς ὕψωμα ταπεινούμενον σφίσιν ἢ καὶ διαρρηγνύμενον κατὰ τὰς πομφόλυγας, τό τε φύσημα τῶν γνάθων ὡς τοῖς ἀσκοῖς ἐκπνεόμενόν τε ἅμα καὶ διασκεδαζόμενον. τάχα δ' ἂν καὶ παρειαὶ τούτοις ὑπεφοινίσσοντο, τὴν ἡλιοειδῆ ἀλήθειαν ὑποφαίνουσαι, καί σοι τὸ τῆς σκηνῆς προσωπεῖον ὅλον ἀπεκαλύπτετο. μὴ τοίνυν, φίλη μοι κεφαλή, μήτε λαϊκοῖς ἐκ τοῦ προχείρου πιστεύοις, μήτε πολλῷ πλέον μονάζουσιν, οἷς ἐπικέχυται τὸ μέλαν, ὡς ἔοικ', εἰς ἐπικάλυμμά τε τῆς ἀληθείας καὶ τῶν ἐντυγχανόντων φενακισμόν· εἰ γὰρ καὶ ἀληθεύει πάντως τὸ τὸν ἀγαθὸν μηδὲ τοῦ φαύλου καταγινώσκειν ῥᾳδίως ἐξ αὐτοῦ πιστεύοντα καὶ καταπειθόμενον, ἀλλ' ἡ ἐπιλάμπουσά σοι σοφία καὶ τὸ ὑπαυγάζον φῶς τῆς συνέσεως ἱκανά σοι παραδεικνύειν τὰ ὑπὸ τῶν πολλῶν ζοφούμενα καὶ συγκαλυπτόμενα, ἄλλως τε δὲ παρὰ ⟨τοῦ⟩ τῆς ἀρχῆς ἀξιώματος ἀπαιτουμένῳ τὸ ἐξεταστικὸν καὶ πολύφροντι καὶ ὡς ἂν εἴποι τις πολυόμματον. εἴης μοι παρὰ

11 κόκκον ἐκ μεδίμνου] σημειοῦ παροιμίαν ἀθησαύριστον ἐν τῷ Corpus paroem.

21 κ ῶ δ. πομφόλυγγας. 31 (τοῦ)] προσθ. ἡμετ.

θεοῦ φυλαττόμενος οὐ τῶν σκανδάλων τοῦ ἀρχεκάκου μόνον ἀνώτερος, ἀλλὰ καὶ τῶν ὅσα συσκευάζουσιν ἄνθρωποι πονηροὶ καὶ φιλαπεχθήμονες.

8.

Τῷ Θεσσαλονίκης κῦρ Εὐσταθίῳ.

+ Ἐπὶ μακρὸν ἀλλήλοις ἐσιωπήσαμεν, ἀλλ' ἐγὼ μὲν ὡς μετ' οὐ πολὺ καραδοκῶν ὄψεσθαί σε καὶ τῆς ἐμοὶ φίλης θέας κατατρυφῆσαι· εἰ δὲ καὶ σοὶ τοιοῦτος ἦν ὁ σκοπὸς καὶ αὕτη σοι τῆς ἀφασίας ἡ πρόφασις, αὐτόθεν ἀλλήλοις ἐσμὲν συγγνώμονες. μεμνῆσθαι πάντως ἔχεις τῶν συνθηκῶν, ἃς ἡμῖν συνέθου τὴν σὴν διερχομένοις Θεσσαλονίκην, τότε σε ἐπὶ ταυτηνὶ τὴν βασιλίδα πόλιν ἀναδραμεῖν, ὅτε σοι γράμμα παρ' ἡμῶν ἥξει ματακλητήριον· καὶ ἡμεῖς μὲν τὸ ἐφ' ἡμῖν πεποιήκαμεν, καὶ ἐν καλῷ βεβηκυῖαν ἰδόντες τὴν τῶν πραγμάτων κατάστασιν, ἅτε δὴ τοῦ κοινοῦ σωτῆρος, τοῦ δεξιοῦ κυβερνήτου, τοῦ θεοδωρήτου καλοῦ ἐπὶ τὸν βασιλικὸν ἀναβεβηκότος θρόνον καὶ τὰ πάντα μεταποιοῦντος ἐπὶ τὸ κρεῖττον καὶ μεταπλάττοντος, ἐσαλπίσαμέν σοι τὸν προκλητήριον· σοὶ δὲ εἴτε νόσος ἐπέσχε τὴν προθυμίαν, εἴτε τι ἄλλο τῶν συνήθως παρεμπιπτόντων τοῖς πολλοῖς κωλυμάτων, αὐτὸς ἂν εἰδείης· τὸ γὰρ εἰπεῖν, ὅτι καὶ τῷ Θεσσαλονίκης φοβερὸν ἡ πόλις διὰ τὴν ἔνδειαν, ὡς τολμηρὸν εὐλαβούμεθα. ἀλλὰ τί βραδύνεις; τί δὲ οὐκ ἐπιτρέχεις ἡδυτάτῳ θεάματι; ὄψει γὰρ βασιλέα τοιοῦτον, οἷον συνελόντως εἰπεῖν πολλῶν ἐτῶν οὐκ ἐθεάσατο ἥλιος. θεὸς δέ σοι τὰς ὁδοὺς εὐμαρίσοι καὶ λάβοιμεν τὸν πεποθημένον ὑγιᾶ τε καὶ εὔθυμον.

9.

Τοῦ ὑπερτίμου πατρὸς κυροῦ Εὐθυμίου ἐπιστολὴ πρὸς τὸν Ἀθηνῶν κυρὸν Μιχαὴλ τὸν Χωνιάτην.

Ἀνδρείαν μὲν καὶ στρατηγίαν τῶν Ἀθηνῶν ἐκλιπεῖν Σόλωνός τε νομοθεσίαν καὶ τἆλλα, ὅσα πόλιν συνιστᾷ καὶ δῆμον κοσμεῖ, κἀγὼ σύμφημι· συνεκδημῆσαι δὲ καὶ σοφίαν καὶ λόγων χάριτας οὐδεὶς πείσει με λόγος, ἕως ἂν Ἀθήνηθεν κομίζωμαι γράμματα οὕτω κομψά τε καὶ καλλιρρήμονα. νομίζω γὰρ ἢ μήπω Πλάτωνα τεθνάναι καὶ Δημοσθένην καὶ τοὺς λοιπούς Ἀθήνησι σοφιστάς, ἢ θανόντας ἀναβιῶναι καὶ τὰς Ἀθήνας αὖθις περιλαλεῖν· τοσοῦτον γέμει σου χαρίτων τὰ γράμματα, σοφὴ καὶ φίλη μοι κεφαλή, οὕτω σοι λαμπρὸν οἱ λόγοι τὸ τῆς σοφίας ἀποστίλβουσι κάτοπτρον.

Κἂν γοῦν ὑδάτων οἱ κρουνοὶ τὴν Ἀθηναίων πόλιν ἐπέλιπον, κἂν ποταμοὶ καὶ πίδακες ἀπεψύγησαν, ἀλλὰ τὰ τῆς σῆς σοφίας ῥεῖθρα περιλιμνάζουσιν αὐτὴν καὶ κατάρδουσιν. αὖα τοῖς παραδείσοις καὶ ἄκαρπα τὰ φυτά, ἀλλ'

21 Μ. Τέρι. Περὶ Εὐθυμίου τοῦ Μαλάκη (Δελτίον τῆς ἱστ. καὶ ἐθνολ. Ἑταιρείας τῆς Ἑλλάδος, τ. 5, σ. 197—218.

οἱ τῆς σοφίας λειμῶνες ὡς εὐανθεῖς καὶ πολύκαρποι. ἄνευ μελισσῶνος ὁ Ὑμηττός, ἀλλ' ὑπερβλύζει τὸ τοῦ λόγου μέλι τοῖς Ἀθηναίοις καὶ τὸν ὄντως γλυκασμὸν ἀποσταλάξει τὰ ὄρη καὶ οἱ βουνοὶ τὴν ἀληθεύουσαν ἀγαλλίασιν. ἠχρείωται ἡ χρυσέα ζώνη τῷ καιρῷ τυραννηθεῖσα καὶ τὸ τοῦ χρυσοῦ κάλλος ὀλέσασα, ἀλλὰ κοσμεῖ τὴν πόλιν τὸ χρυσίζον ἄνθος τῶν ἀρετῶν, ὅσαι λαμπρῶς τὸν ἀρχιποίμενα περιστέφουσι καὶ τὴν ἐκ θεοῦ περιζωννύουσι δύναμιν. σὺ καὶ Μαραθὼν τροπαιοῦχος τοῖς Ἀθηναίοις καὶ πίων γῆ καὶ σιτοφόρος καὶ ζείδωρος· καὶ ἵνα τοῦ τελειοτέρου μνησθήσομαι, σὺ βωμὸς ἀληθὴς Ἐλέου μᾶλλον ἢ τὸ πεπηγὸς Ἀθήνησιν ἵδρυμα, ἀμφοτέραις ὅ φασι τοῖς χρῆζουσιν ἐπαντλῶν καὶ τιθεὶς τὸ σὸν μέρος τὴν τυραννοῦσαν πενίαν τῆς Ἀττικῆς ὑπερόριον· ὥστε σὲ τρόπον ἄλλον καὶ ἐλευθερωτὴν Ἀθηναίοις ἀναφῦναι πλεῖν ἢ Ἀλκμαίωνα ἐκεῖνον τὸν ἐντεῦθεν ὑμνούμενον. εἰ δὲ ἐξ οὐρανοῦ τούτοις ὄμβρος ἐξέλιπεν, ἀλλ' οὐ σύ γε Αἰακοῦ τὴν ἀρετὴν ἐνδεέστερος, ὡς μὴ καὶ ὑετὸν οὐρανόθεν τῇ σῇ πόλει κατενεγκεῖν ἐκτάσει μόνῃ τῶν χειρῶν, ὡς αὐτίκα μὲν τὰς ἀρούρας πλησθῆναι καὶ μεθυσθῆναι τὰς αὔλακας, ὡς αὐτίκα δὲ καὶ χόρτον ἐξανατεῖλαι καὶ χλωριάσαι τῆς γῆς τὸ πρόσωπον καὶ θέρος ὑποσχέσθαι βαθὺ τὰ λήια.

Οὐ τοίνυν ἀφανισμοῦ πεδίον οὐδὲ κοιλὰς κλαυθμῶνος ἡ σὲ λαχοῦσα πόλις, ἄνθρωπε τοῦ θεοῦ, ὡς τὸ σὸν δήπου γράμμα ταύτης κατετραγῴδησεν, ἀλλὰ χῶρος μακάρων, ἀλλὰ πόλις περιοχῆς, ἀλλὰ πεδίον Ἠλύσιον· τὰ μὲν γὰρ νῦν σκυθρωπὰ μία καιροῦ ῥοπὴ λύσειεν, ἢ ὄμβρων ἄνωθεν ἐνεχθέντων ῥαγδαίων, ὡς ἀθρόον πάντα κατακλυσθῆναι τὰ τῆς αὐχμηρίας δεινὰς ἢ ὀλκάδων ποθὲν ἀναπλησθέντος τοῦ Πειραιέως, αἳ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα τοῖς Ἀθηναίοις κομίσουσιν· εἰ δὲ μὴ ταῦτα, ἀλλ' ὁ τῶν θαυμασίων θεὸς καὶ ἐν λιμῷ πάντως θρέψει καὶ ἄρτοις ὀλίγοις κορέσει λαὸν πεινῶντα καὶ κατὰ τοὺς πολλοὺς φάναι λαίμακα· καὶ παραθήσεται μὲν ἀνὴρ Ἀθηναῖος τράπεζαν πένησιν ἄρτου τρύφος φέρουσαν μόνον ἢ ἐγκρυφίαν ὀλίγον κρίθινον καὶ οὐχ ὅπως οὐ κρεῶν εὐμοιροῦσαν· (πῶς γάρ, ἔνθα μὴ πόαν, μὴ ποίμνιον, ἀλλ' οὐδὲ ἰσχάδας ἔχουσιν ἢ ἐλαίας, ταῦτα δὴ τῶν Ἀθηνῶν τὰ θρυλήματα;) βαστάσει δὲ μετὰ τροφὴν καὶ περίσσευμα καὶ τῶν ἐκ γειτόνων τάχα παραμυθημάτων. τὰ μὲν σκυθρωπὰ ταῦτα τοῖς Ἀθηναίοις οὔπω γε πάντως πρὸς

3 πρβλ. Ἀμως θ', 13. Ἰωὴλ γ', 18. 4 χρυσέα ζώνη] πρβλ. Ἀποκ. α', 13. ιε', 6. 7 πίων γῆ] πρβλ. Γεν. μθ', ιε'. 9 ἀμφοτέραις ὅ φασι] = ἀμφοτέραις ταῖς χερσί. Corpus paroem. τ. 1, σ. 31, ἀριθ. 98.

3 ἀποσταλέντα] οὕτω Treu, ἀποσταλάζουσι Λάμπρος, ἀποσταλάξει Kurtz. 5 ὅσαι] Λάμπρος καὶ Kurtz, ὅσα Treu, 18 ἀφανισμοῦ πεδίον] Ἰωὴλ β', 3 || κοιλὰς κλαυθμῶνος] Ψαλμ. πγ', 7. 20 πόλις περιοχῆς] Ψαλμ. ρζ', 11. 23 ἀναπλησθέντος Kurtz, ἀναπλησθεισῶν Treu. 28 πόαν K, πόα T.

τὸ ἱλαρώτερον ταχὺ μετασκευασθήσεται, ὁ δὲ παρὰ σοῦ τῇ σῇ πόλει κόσμος καὶ αἱ τῶν ἀγαθῶν χορηγίαι παντοδαπά τε καὶ παραμόνιμα. καὶ χαίροις ὁ τῆς πανάγνου κόρης θύτης ἐπάξιος, ὁ τοῦ καινοῦ φωτὸς ἀληθὴς ἐπόπτης, ὁ τὴν εὐδαιμονίαν ἀνασῴζων τῇ Ἀττικῇ· χαίροις καὶ τὸ σὸν λάχος μετ' εὐπαθείας ὑπὸ σοῦ ποιμαινόμενοι καὶ γινωσκόμενοι καὶ γινώσκοντες, δίχα δὲ κραυγῆς καὶ θορύβων ἀνακηρύττοντες τὸν ποιμαίνοντα, ὡς οἵ γε μακαρισμοῦ μὲν τὸν σφῶν ἀξιοῦντες ἀρχιερέα, φωνῶν δὲ τὸν ἀέρα πληροῦντες καὶ ἀταλῶς τῇδε κἀκεῖσε ᾄττοντες καὶ περιφερόμενοι, ἀσχημονοῦντές τε πολλὰ καὶ ὅλως τὸν τοῦ Μάρκου εἰκονίζοντες, ἀθλιώτεροί γε οὗτοι καὶ τοῦ καθ' ἡμᾶς βαρβάρου λαοῦ τοῦ πλήξαντος καὶ διώξαντος καὶ αὐτόθεν δῆλοι μὴ καλῶς ποιμαινόμενοι.

Ἀλλ' εὖ γε ποιῶν ὁ λόγος ἐπὶ τὸν οὕτω μακαριζόμενον ἀρχιερέα κατήντηκεν. εἶδες οὖν, εἶδες, ἄνθρωπε τοῦ θεοῦ, ἐπισκοπικὴν τυφομανίαν ἢ ἄνοιαν ἢ ἀπόνοιαν ἢ οὐκ οἶδ' ὅ τι καὶ φῶ τῶν ὅσα κακίαν ἀνθρώπου χαρακτηρίζουσι καὶ φαυλότητα. εἶδες μοναχικὴν μοχθηρίαν ἢ ἀκαταστασίαν ἢ καὶ διαγωγὴν ὄντως ἀμόναχον, παρὰ δὲ ταῦτα καὶ βοήθειαν καταπολεμοῦσαν καὶ ὠφέλειαν καταβλάπτουσαν. δέον γὰρ λογικῶς ἀντιλαβέσθαι τοῦ φιλουμένου καὶ ἠρέμα τοῖς ἔργοις τῆς κατ' αὐτοῦ κατηγορίας ἀποσκευάσασθαι, ὁ δὲ εἰς ἀπαιδεύτους καὶ βαρβαρικὰς οἰκονομίας ἐχώρησε λαοσυνακτῆσαι καὶ τοὺς ἀντιδίκους ἐκφοβῆσαι παντοίως· ὥστ' ἢ μὴ λέγειν ἢ τὰ δοκοῦντα τῷ κατηγορουμένῳ λέγειν, εἴ πως τὸν κίνδυνον διαφεύγωσιν.

Κάκιστε ἀνθρώπων, ἀληθῶς ἐμβρόντητε, εἰς δικαστήριον μετεγκληθεὶς ἢ εἰς παράταξιν ἥρπασέ μου τὸ ἱμάτιον ὁ ἐπίσκοπος. ἀντιθεῖναί σε ἔδει τὸ οὗ καὶ ἀποδείξεις τὸν κατήγορον ἀπαιτεῖν, ἢ τὸ "ἅγιός ἐστιν ὁ ἐπίσκοπος" ἀντεπάγειν μυριογλώσσῳ καὶ ἀταλῇ βοῇ καὶ ὕβρεις καταχέειν τῶν ἀντιδίκων καὶ χεῖρας ἐπιβάλλειν καὶ διασπᾶν. ἐνταῦθα δὲ ἀλλὰ ἀνάσχου τι καὶ σὺ μικρὸν ὁ τὰ πάντα καλός· πόρρωθεν ηὐλαβοῦ τὸ φιλοπαίγμον τῶν ἐν Εὐρίπῳ, ἐγγὺς δὲ οὐχ ὑπέτρεσας, οὐκ ἐμίσησας; οὐδ' ἐπειράσω καταστεῖλαι ἀταξίαν τοσαύτην καὶ διαλῦσαι τοσοῦτον σύλλογον, ἢ μὴν ἐκστῆναι δικαστηρίου τοιούτου; ἄλλος δὲ καὶ καταδίκῃ ἂν ἐπήγαγε τοὺς τοιαῦτα συσκευασαμένους καὶ τὰς ἐπιτριβομένας αὐτοῖς αἰτιάσεις οὕτω διαφυγεῖν πειρωμένους. εἰ τοιαύτην ἔδειξας τὴν ὁρμήν, βαβαί, πόσους ἂν εἶδες ἄλλον ἄλλοθεν ἐκθορόντας καὶ τὰ ἐπενεχθέντα τούτοις ἐπιβωμένους δεινά· ὅπερ καὶ οἱ τοῦ ἐπισκόπου παιδευταὶ συνιδόντες καὶ φοβηθέντες φόβον οὗ φόβος ἦν πολεμικῶς καὶ ἀπαιδεύτως παρεσκευάσθησαν, ὡς ἂν ἅπας ὁ κατειπεῖν βουλόμενος

18 τῆς Treu τοῖς. 23 παράταξιν] οὕτω Treu· ὁ τόπος δυσνόητος· μήτοι π α ρ ά τ α σ ι ν; 34 παιδευταὶ Kurtz, παιδευτὴν Treu.

καὶ ὑποπτήξεις καὶ ὀπήν τινα καὶ γωνίαν τοῦ δικαστηρίου ἀλλάξῃται. "ἅγιος ὁ ἐπίσκοπος ἡμῶν, ὑπεράγιος". τί δέ; οὐχὶ ἄνθρωπος καὶ τῆς τρεπτῆς ἡμῶν φύσεως, ἵνα τι καὶ μικρόν ποτε ἴσως παρασφαλῇ ἢ κἂν δόξῃ παρασφαλῆναι; Ἰησοῦς δέ, ὁ τῆς ἁγιωσύνης ταμίας, ὁ καὶ τοὺς ἁγιαζομένους ὡς πιστεύομεν ἁγιάζων, καὶ κατηγορίαις ὑπήχθη καὶ δικαστήριον κατεδέξατο καὶ λεγεῶνας ἀγγέλων πλουτῶν πλείους τῆς ἀταλοῦ μοίρας τῶν Ἑβραίων οὐκ ἀπεχρήσατο ταῖς δυνάμεσι. τί γοῦν ἐκώλυε καὶ αὐτὸν εἰς δικαστήριον ἱκόμενον ὑπακοῦσαι καὶ σωφρονικῶς ἀπαντῆσαι καὶ δικαίως τὸν ἁγιασμὸν καὶ εὐδαιμονίαν ἀποκληρώσασθαι; τί; τὸ συνειδός γε πάντως ὁ δεινὸς καὶ ἰσχυρότατος τύραννος, ἵνα μὴ τῶν ἀλλοτρίων αὐτῷ περιαιρεθέντων πτίλων, τῶν ἔξωθεν περιαπτομένων δηλαδὴ χρηστολογιῶν, ὁ κολοιὸς ἀνακαλυφθείη καὶ ἡ κρυπτομένη δυσμορφία θεατρισθῇ.

Εἶεν· ἀλλ' ἐπέπληξας αὐτός, ἀλλ' ὠνείδισας, ὡς μὴ τὰ πρὸς θεραπείαν ἡμετέραν αἱρούμενος; ἠγνόησας ἄρα σπείρων κατὰ πετρῶν καὶ ἀδάμαντα ἕψων καὶ ἀποσμήχων Αἰθίοπα· κἂν γὰρ εἰς συναίσθησιν ἐλθεῖν ἔδοξέ σοι καὶ τοῦ παντὸς ἀνθαιρεῖσθαι τὴν καθ' ἡμᾶς ἀγάπησιν ἐξωμόσατο, ἀλλὰ τὰ συνήθη καὶ πάλιν εἶπε καὶ ἃ πολλάκις εἰπὼν ἐψεύσατο, μᾶλλον δέ, ὧν ἀεὶ τὰ ἐναντία καὶ φρονεῖ καὶ ἐργάζεται. τοσοῦτον γὰρ ἀπέχει τοῦ ἀγαπᾶν οἱονδήτινα, ὅσον καὶ οὐρανὸς ἀποδιίσταται γῆς, οὐ τῇ ἑαυτοῦ φύσει μόνῃ ἑπόμενος, ἀλλὰ καὶ τῷ παιδευτῇ πειθαρχῶν, ᾧ μηδὲν ἄλλο ἔργον καὶ σπούδασμα ἢ τὸ μεγάλα ἀνθρώπων τιθέναι σκάνδαλα καὶ τὰ γένη κατ' ἀλλήλων ἐπανιστᾶν, τέκνα τε διαμερίζειν ἐπὶ γονεῦσι καὶ αὖ ἐπὶ τέκνοις γονεῖς· οὐ κατὰ τὸ ἐν εὐαγγελίοις ἀλληγορούμενον, ἀλλ' ἵνα θύσωσιν ἁπλῶς ἀλλήλους καὶ ἀπολέσωσι καὶ πανωλεθρίᾳ γένος ὅλον παραπεμφθείη. οἷα πολλὰ πολλάκις αὐτὸν ἐν Εὐρίπῳ δρῶντα ὁ ἥλιος ἐθεάσατο· ὡς κινδυνεύειν γε λοιπὸν τὸν ἐπίσκοπον τοῦτο μόνον εἰπεῖν εὐστόχως, ὡς ἄνδρες οὐκ εἰρηνικοὶ παραρριπτοῦσιν ἡμῖν τὰ σκάνδαλα. ὡς δέ σοι καὶ θεαθῆναι τὸν ἐπίσκοπον ἔγραψας, ὡς ἂν ἡμᾶς ἐξευμενίσῃς αὐτόν, ἀλλ' ἐνταῦθα πέπεισμαί σε παρακοῦσαι ἢ παριδεῖν· αὐτῷ μὲν γὰρ οὔτε στόμα λαλεῖν τι, οὔτε προαίρεσις τοιαῦτα ζητεῖν, ὁ δὲ τὸ μῖσος ὑποβάλλων καὶ πρὸς μάχας ἐγείρων αὐτὸς καὶ τὰς ὑπὲρ Ἄρεα παρακλήσεις πάντως ἐποίει τὴν μέλαιναν ὑφορώμενος. οἷος αὐτὸς τὰ τοιαῦτα δεινότατος καὶ ὑπανάψαι μάχην ὀξὺς καὶ ἄρτι ἐκκαλέσασθαι προχειρότατος καὶ τὸ θράσος λίαν πολὺς καὶ τὴν δειλίαν ἀσύγκριτος, δυσμενέστατος ἀνθρώ-

1 ὑποπτήξῃ Kurtz, ὑποπτήξεις Treu. 4 ἁγιωσ. ταμίας] πρβλ. Μακ. 2, ιε', 2 ‖ ὁ ἁγιάζων κέ] Ἑβρ. β', 11. 6 λεγεῶνας ἀγγέλων] Ματθ. κς', 53. 11 κολοιὸς — θεατρισθῇ] Fab. Aesop. 200b Halm. 14 σπείρων κατὰ περῶν κτλ.] Ἰσίδ. Πηλουσ. ἐν ἐπιστ. γ', 67 ἐκδ. Billil, σ. 480. 15 ἀποσμ. Αἰθίοπα] Corp. paroem. τ. 2, σ. 4. 19 οὐρανὸς ἀποδιίσταται γῆς] πρβλ. Ἡσ. νε', 9. 22 διαμερίζειν κέ] πρβλ. Λουκ. ιβ', 53. 27 σοι Kurtz, σου Treu.

πων καὶ μαχιμώτατος καὶ τὸ ἱλαρὸν ὑποκρινόμενος καὶ γαλήνιον, ἄλλα φρονῶν καὶ ἄλλα φθεγγόμενος, ἄλλα πράττων καὶ ὑποκρινόμενος ἕτερα· ποικιλώτερος χαμαιλέοντος, Πρωτέως πολυμορφότερος καὶ παρδάλεως τὰ στίγματα περισσότερος· εἴπω τὸ πᾶν, ἀθεώτερος, καὶ τέλος τὴν ἡδονὴν κατ' Ἐπίκουρον τιθέμενος· τοσαυτάκις εἰς ἐκκλησίαν εἰσερχόμενος, ὁσάκις εἰς τὸ καπηλεῖον ὁ Ἀθηνῶν· τότε ψάλλων, ὅτε ὁ Πατρῶν τραγῳδεῖ· τότε μόνον μνημονεύων θεοῦ, ὅταν ὅρκων αὐτῷ χρεία πρὸς ἐξαπάτην τινός· τότε μόνον τὸ μέγα σχῆμα φορῶν καὶ ἀναίδην τοῦ τραχήλου ἀπαιωρῶν, ὅταν ἢ τιμὴν παρὰ τῶν ἀγνοούντων πιστεύοιτο, ἢ κόλασιν ὑποπτευομένην ἀποσκευάζοιτο, τὰ δ' ἄλλα ὑπὸ σκότος καὶ γωνίαν τιθεὶς καὶ τοῦτο μόνον εὐσεβὲς καὶ ὅσιον δρῶν, τὸ τὰ ἄ(νο)μα κρίνειν ἀφ' ἑαυτοῦ. εἰ δὲ σχολὴν ἦγεν ὁ λόγος εἰπεῖν, ὅθεν καὶ ὅπως μοναχὸς καὶ μεγαλόσχημος γέγονεν, ἀμφότερον ἂν Δημοκριτείους τέ σοι γέλωτας ἀνεκίνησε καὶ Ἡρακλείτου τὸ στυγνὸν καὶ δακρυόεν προὔξένησεν. τότε δὲ καὶ τοῦ πραιτωρίου ἀποδημῶν καὶ τῆς μετὰ τῶν φορολόγων καθέδρας ἀπανιστάμενος, ὅταν ὁ δρόμος ἡλίῳ παύοιτο. θαυμαστόν, εἰ μὴ καὶ δακρύοντα εἶδες καὶ οὕτω τὴν εὐμένειαν ἐκκαλούμενον· ἐγὼ δὲ καὶ ἐπινεύοντα κατεῖδον ἐνθένδε τῇ ἑαυτοῦ στρατιᾷ καὶ ᾧ μὲν τῶν μοναχῶν τραχυτέραν ἐπαφεῖναι γλῶτταν ἐγκελευόμενον, ᾧ δὲ καὶ δεξιὰν ἐπανατείνασθαι πληκτικῶς. τὰ γὰρ τῶν νυκτῶν ἔργα καὶ τὰς τηνικαῦτα στρατολογίας τί ἂν καὶ λέγοιμι;

Οὕτω, θεσπέσιε δέσποτα, ἡ ἐν Εὐρίπῳ ἐνδημία τῆς σῆς ἁγιότητος κατεσοφίσθη τοῖς καταράτοις καὶ τὰ σφίσι θελητὰ κατεπράξατο· καὶ αὐτὸς ἄνθρωπος ὢν εἰς πρόσωπον εἶδες μόνον καὶ τοίχοις κεκονιαμένοις ἐνέβλεψας, τὴν δ' ἐντὸς σαπρίαν οἱ πάλαι μαθόντες ἴσασιν, οἱ πολλάκις ἐπὶ τὰ ἐνδότερα παρακύψαντες καὶ τῆς ἐκεῖθεν ἐμπλησθέντες δυσοδμίας ἐφ' ἱκανόν. ἀλλὰ δώσει καὶ σοὶ πάντως ὁ χρόνος ἀκριβεστέραν τὴν περὶ τούτων κατάλεξιν.

---

3 ποικιλώτερος χαμ.] πρβλ. ἐν βίῳ Ἀλκιβ. § 23 || Πρωτέως πολυμορφότερος] πρβλ. Ἀθην. ς', 258 A || παρδάλεως τὰ στίγματα] πρβλ. Εὐστ. 787, 39. 4 Ἐπίκουρον Kurtz, ἐπικουρίαν Treu.

11 ἄ(νο)μα] συμπλήρωσις ἡμετέρα. Λάμπρος ἀ λ λ ὁ τ ρ ι α. 13 Ἡρακλείτου στυγνόν] πρβλ. Πλάτ. συμπόσ. 187. Σουΐδαν ἐν λ.

Γ.

ΕΥΘΥΜΙΟΥ ΤΟΡΝΙΚΗ

ΣΥΓΓΡΑΦΑΙ.

1.

Λόγος ἐγκωμιαστικὸς εἰς τὸν βασιλέα κῦριν Ἀλέξιον τὸν Κομνηνὸν τοῦ παναγιωτάτου δεσπότου καὶ ὑπερτίμου κῦρι Εὐθυμίου τοῦ Τορνίκη, καὶ προτρεπτικὸς ἅμα, ὥστε ποιῆσαι ῥήτορα, ἀναγνωσθεὶς κατὰ τὸν καιρὸν τῶν Φώτων, ὅτε οὐκ ἦν ῥήτωρ τις, τοῦ τότε γεγονότος μητροπολίτου τῶν Παλαιῶν Πατρῶν.

---

1. Ὦ καλὸν τοῦτο πάλαι κρατῆσαν ἔθος, ἀγωνίσματα καὶ λόγους τῆς πρέσβας καὶ πανδήμου ταύτης ῥητορικῆς μέσοις ἀνακτόροις ἐνσοφιστεύεσθαι καὶ χάριν ἅπασαν ἐκτίνειν τοῖς βασιλεῦσι τοὺς σοφιστὰς οἷς τε τοῦ λάχους αὐτῶν ὑπεραγωνίζονται καὶ οἷς οὗτοι πληροῦσι κατορθωμάτων ξύμπασαν τὴν ὑφ' ἥλιον· μόνον γὰρ ἀκριβῶς εὔλογον ἔθος τοῦτο καὶ νόμος οὗτος ὄντως ὑπέρσεμνος. ναὶ μὲν γὰρ τερπνὸν ὅτι χρῆμα καὶ δεινῶς ἐράσμιον ὁρᾶν μὲν ἄνδρα τρόφιμον τοῖς τῆς ῥητορικῆς ὅλοις τετελεσμένον ὀργίοις καὶ τῆς συνάου δὲ σοφίᾳ ποιητικῆς τε καὶ γραμματικῆς ἐπίπνοον ῥήτορα μετὰ σεμνοῦ τινος εἰσιόντα περὶ τὸ λαμπρὸν τοῦτο θέατρον καὶ τρόπου καὶ σχήματος, ὁρᾶν δὲ καὶ συμπαρομαρτοῦντας αὐτῷ τοὺς τῆς πανδήμου ταύτης πρωτοτόκους ῥητορικῆς καὶ θεάτροις οὕτω μεγάλοις τε καὶ λαμπροῖς καὶ οἵοις καταπλῆξαι καὶ στερεὸν προσανέχοντας, περὶ τὰ βασιλικὰ ταῦτα βήματα στρεφομένους καὶ τὸν αὐτὸν ἀγῶνα τῷ σφῶν ἀρχηγῷ οἷον ἁμιλλωμένους καὶ τὴν αὐτὴν καὶ μίαν τῶν λόγων προβαλλομένους ὑπόθεσιν· ναὶ μὲν γὰρ ἀγὼν οὗτος μέγας καὶ τῶν ἀγώνων ὁ πραγματειωδέστερός τε καὶ φριχωδέστατος,

Κῶδ. Πετρουπ. 250, φ. 81β—85β.

13 πρβλ. Συνεσίου ἐπιστ. α' ἐκδ. Hercher, σ. 638: «ἀπὸ τῆς σεμνοτάτης φιλοσοφίας καὶ τῆς συννάκου ταύτης ποιητικῆς, τοὺς δὲ ἀπὸ τῆς πανδήμου ῥητορικῆς» κτλ.

12 κ ῶ δ. καὶ τοῖς. 13 σοφίας, Kurtz σοφίᾳ. 20 πραγματειοδέστερος.

εἴπερ, πολλῶν ὄντων δὴ μεγάλων τῶν τοῦ ἡμετέρου βασιλέως καλῶν, κἂν γοῦν ἑνὸς τούτων ὁ τῶν σοφιστευόντων λόγος ἐφίκοιτο, μὴ καὶ μέγιστον ἐντεῦθεν ξυμπέσῃ τοῦτο τοῖς λογογράφοις ἀτύχημα.

2. Ἐκ δὴ τούτου τοῦ πάλαι κρατήσαντος ἔθους ὅσοι τῶν ἀγαθῶν ἡμῖν ἀναπιδύουσι ῥύακες· φαίνεται μὲν γὰρ τῷ τέως περὶ τὸν εὐεργέτην ὁ λόγος εὐχάριστος τοῖς τοῦ βασιλέως τροπαίοις παρασκιρτῶν καὶ τοῖς κατορθώμασι τούτου προσμειδιῶν, ἔτι τε τῶν ὑπὲρ τοῦ λάχους τούτου καμάτων τὸν αὐτοκράτορα τοῖς γράμμασι δεξιούμενος καὶ τὸ πρέπον γέρας ἀφοσιούμενος, ὁ δ' ἐπιδίδωσι πρὸς τὸ βέλτιον μᾶλλον, ὁ αὐτοκράτωρ, καὶ πρὸς τοὺς πόνους προθυμότερον ἐπεγείρεται, εἰ μὴ τὴν σύμφυτον τοῦ ἡμετέρου βασιλέως ἐπὶ δὲ κόπους φαίη τις ἑτοιμότητα καὶ τὸ πρὸς τοὺς ὑπὲρ ἡμῶν καμάτους τε καὶ ἱδρῶτας ἄτρυτον καὶ ἀνένδοτον. οὐκ ἄν ποτε γὰρ οὐδὲ τὸν τοῦ παλαιοῦ Φιλίππου Ἀλέξανδρον πρὸς τόξα καὶ σπάθην καὶ τὰ λοιπὰ τῶν ὅπλων κεκίνηκεν ὁ παλαιὸς ἐκεῖνος αὐλητής, ὁ Τιμόθεος, ἦχον αὐλήσας τὸν ὄρθιον καὶ τὸν νόμον τῆς Ἀθηνᾶς ἐπικαλεσάμενος, εἰ μὴ πρὸς μάχας ἐκεῖνος ἕτοιμος ἦν καὶ πρὸς πολέμους θυμοειδής τε καὶ σύντονος καὶ Ἄρης ὄντως ἐμπύριος. ἔπειτα δ' οἱ λόγοι τὰ σφέτερα τούτων συγγράμματα τοῖς ὀψιγόνοις καταλιμπάνοντές κλεΐζουσί τε τοὺς βασιλέας καὶ τοῖς τούτων γράμμασι τοὺς αὐτοκράτορας ἀπαθανατίζουσι, τὰς πράξεις τῶν ἄνω χρόνων ἐκδιηγούμενοι τοῖς ποιήμασιν· οἱ μὲν γὰρ τὴν τοῦ βασιλέως ἀνδρείαν περικροτοῦσιν, οἱ δὲ τὸ πρᾶον καὶ τὸ ἱλαρόν, ἕτεροι δὲ τὸ φιλάνθρωπον ἐκθειάζουσι καὶ ἄλλος ἄλλο τι κάλλιστόν τε καὶ μνήμης ἄξιον· ἀκμάζουσι δὲ τοῖς λόγοις καὶ τέχναι ῥητορικαί, καὶ τῶν ἀκροωμένων κρότοις ἐνσεμνυνόμεναι καὶ τοῖς ἐξ ἁπάντων αἴνοις οἷον ἀνανεούμεναι. οὕτως ἡ καλλίστη καὶ πάνδημος αὕτη ῥητορικὴ πανταχόθεν ἡμῖν ἐπιχορηγεῖ τὰ καλά, τοὺς κατὰ σέ, θειότατε καὶ συνετώτατε βασιλεῦ, ἀγαθοὺς αὐτοκράτορας ἀπαθανατίζουσα καὶ τὸ οἰκεῖον ταύτῃ καὶ φίλον ὄνομα μέχρι δὴ καὶ ἐς δεῦρο, τοὺς σοφιστάς, περισῴζουσα.

3. Ταῦτα μὲν οὕτω, καὶ οὕτω κάλλιστά τε καὶ διαφερόντως ὠφελιμώτατα· ἐγὼ δὲ πῶς ἐκ τοῦ φανεροῦ τοσοῦτον ὑποστήσασθαι τὸν ἀγῶνα τεθάρρηκα ὡς βασιλέα δόξης τοιοῦτον ὑποδεξόμενος, ὃν ἀγαθά τε καὶ πλεῖστα περικυκλοῦσι καλὰ καὶ μυρίαι περιστέφουσι χάριτες, εἰς ὃν καὶ τῶν ἄγαν σοφῶν ἐργώδεις οἱ λόγοι, τὰς ἀρετὰς ὁπόσας ἔχει διενεγκεῖν καὶ κατὰ μέρος ἑλέσθαι ταύτας ἀδύνατοι, πράγματα προξενούσας τοῖς σοφιστεύουσι καὶ μεγίστων ἀγώνων τοῖς λογογράφοις ὑπόθεσιν; εἶτα πῶς οὐκ ἂν αἰτίας ἄξιος δό-

13 Ἀλέξανδρον] πρβλ. Σουΐδαν ἐν λ. 14 Τιμόθεος] πρβλ. Σουΐδαν ἐν ὀν. Τιμ. Θερσάνδρου.

26 κ ῶ δ. ἀγαθοῖς αὐτοκράτορ. 27 μέχρη.

ξαιμι, ὃς πρὸς τοσοῦτον ὕψος τῶν τοῦ αὐτοκράτορος ἀρετῶν καὶ πρὸς τηλικοῦτον μέγεθος τῶν τοῦ ἐμοῦ βασιλέως καλῶν μεταρσιωθῆναι τετόλμηκα, χαμαιπετὴς τὰ πρὸς τοὺς λόγους ὢν τὰ πολλὰ καὶ τὸ ὅλον εἰπεῖν ἠπεδανὸς καὶ χαμαίζηλος; ὧν μόλις ἂν ὑψιπετεῖς τινες καὶ τὸν νοῦν αἰθεροβάμονες καὶ οὐράνιοι καὶ τὴν γλῶτταν ὡς ἐπίπαν περίτρανοι ἐφικέσθαι πάντως δυνήσαιντο. ἀλλὰ μὴ δῆτα, ὦ πρὸς τῶν ὑπὲρ ἡμῶν ἱδρώτων τοῦ βασιλέως (τούτους γὰρ αὐτὸς ὅρκον πεποίημαι), τοῦτο καταγνόντες τοῦ ἐγχειρήματος, ὦ γερούσιον ἄθροισμα καὶ σοφὸν καὶ θεῖον ἀκροατήριον, τολμητίαν εἶναί με κρίνητε καὶ παράβολον ὡς ἐς τοσοῦτον ⟨τῶν⟩ τοῦ βασιλέως καλῶν ἐμαυτὸν ἐπαφέντα πέλαγος καὶ τοσοῦτον ἀναρρίψασθαι κίνδυνον οὐκ ὀκνήσαντα· παραμυθεῖται γάρ μοι τὴν τόλμαν ταύτην τὸ πρόθυμον, ὅ με καὶ μᾶλλον τοῖς βασιλικοῖς ἐγκωμίοις (εἰμὶ γάρ πως φιλαυτοκράτωρ καὶ περὶ τὸν ἡμέτερον δεσπότην καὶ βασιλέα εὐνοϊκός) ἐνευκαιρεῖν παρεσκεύασε· καὶ θεάτροις οὕτω δὴ λαμπροῖς καὶ μεγάλοις ἐνθεατρίζομαι καὶ μέσος ἕστηκα πάντων τοῦ βασιλέως ὑμνηγορήσων τὰ κατορθώματα.

4. Τίνα γοῦν τράπωμαι; ποῖον κόσμον ἀείσω; τίνα δὲ τῶν τοῦ καλοῦ βασιλέως τῷ λόγῳ νῦν ἐνστήσομαι πρὸς ὑπόθεσιν; τὴν ἀνδρείαν ὑπερθαυμάσω καὶ τὸ πρὸς Βαρβάρους ἐμβριθὲς καὶ θυμοειδὲς καὶ οἷον ἐμπύριον, ἢ τὸ πρὸς τοὺς ὑπηκόους συμπαθές τε καὶ ἱλαρόν; τὸ πρᾶον, ᾧ καὶ Δαυὶδ ἐσεμνύνετο, τὸ εἰρηνικόν, ᾧ καὶ Σολομὼν ἐδοξάζετο, τὸ μείλιχον, τὸ φιλάνθρωπον καὶ τὸ ὅλον εἰπεῖν ἀόργητον, ἢ τὸ τοῦ βασιλέως ὑπὲρ τῆς οἰκουμένης ἐμμέριμνον καὶ κηδεμονικὸν ἐκθειάσομαι, τὸ φιλοκίνδυνόν τε καὶ τὸ φιλόπονον; τὰς τῆς φύσεως ὑπεραγάσομαι χάριτας, τὸ εὐφυὲς δηλονότι καὶ τὸ θυμόσοφον, ἢ τὸ ἀγχίνουν καὶ τὸ ἀγχίστροφον; ἔνθεν ἕλκουσί με τὰ τῆς μεγαλοφροσύνης καὶ μεγαλοψυχίας τοῦ αὐτοκράτορος, τὰ δέ γε τῆς μεγαλοπρεπείας τε καὶ μεγαλειότητος ἐκεῖθεν αὖθις ἀνθέλκουσι. ἐμοὶ δὲ καὶ ἐπιλείψειαν ἂν καὶ ὀνομάτων ἰδέαι καὶ προσηγοριῶν ἀλλεπάλληλοι θέσεις ἐκ τῶν προσόντων αὐτῷ κατορθωμάτων καλεῖν ἐθέλοντί μοι τὸν αὐτοκράτορα. ὦ τοσούτων ἀγαθῶν ὁρμαθός· ὦ καλὴ στεφάνη τῶν ἀρετῶν· ὦ κύκλος οὗτος τῶν ἀρετῶν περιηγμένος τε καὶ πολύχωρος, οὗ μέσον ὁ ἡμέτερος οὗτος ἥλιος καὶ περικαλλὴς ἵσταται ἐναπαστράπτων ταῖς ἀρεταῖς καὶ μετὰ κάλλους ταύταις ὡραϊζόμενος, ὡσεὶ καὶ γραμμάς τινας εὐθυωρουμένας τὰς φωτοβόλου ἀκτῖνας ἀποδισκεύων ἡμῖν καὶ ξύμπασαν φωταγωγῶν τὴν ὑφ' ἥλιον. ἀλλ'

9 ⟨τῶν⟩ προσθ. Kurtz 16 ποῖον κόσμον ἀείσω;] πρβλ. Hom. Od. H, 492. 19 Δαυὶδ] πρβλ. Ψαλμ. ρλα', 1. 20 Σολομὼν] Βασιλ. 3, η', 33 Παρ. ζ', 14. Σειρ. μζ'.

7 κ ῶ δ. ὅρκων. 23 θυμόστροφον, Kurtz θυμόσοφον. 26 ἐπιλείψειαν] ἐπιλείψαν. 31 ἐναπαστράπτων] ἐναποστράπτων.

ὁρᾶτε, ὦ παρόντες, ὅπῃ με τὸ τῶν ἀρετῶν πολυώνυμον ὡς πολύρρουν ῥεῦμα παρέσυρε τῶν προκειμένων ἀπαγαγόν, ὡς μικροῦ δεῖν ἐπιλαθέσθαι με τῆς προθέσεως, καὶ ταῦτα τοῦ καιροῦ τὸν λόγον ἐν στενῷ κομιδῇ περιγράφοντος καὶ βραχυλογεῖν αὐτὸν ἀναγκάζοντος, οὐχ ὡς πρὸς ὕδωρ μόνον ἀγωνιζόμενον, ἀλλὰ καὶ πρὸς φῶς ὑπεραυγάζον οὕτω καὶ φωταυγόν.

5. Φέρε τοίνυν ἐξιχνιάσω τοῦ βασιλέως, εἰ οἷόν τε, καὶ ἀνερευνήσω τὴν πορείαν τοῦ αὐτοκράτορος, εἰ καὶ "ἴχνη ἀετοῦ πετομένου", ὁποῖος καὶ οὗτος μεγαλοπτέρυγος, ἐν ἀδυνάτῳ κεῖται καὶ τῷ Ἐκκλησιαστῇ. μέχρι δὲ τίνος ὑπὲρ ἡμῶν οἱ ὡραῖοι τούτου πόδες κεκοπιάκασι καὶ μέχρι τίνος τὴν καλὴν πορείαν ἐστείλαντο; ἅμα γὰρ τὸν Περσάρχην οὗτος μεμάθηκε τῶν ἡμετέρων ἐπιβαλόμενον κατορχήσασθαι (ἐπήρθη γὰρ ὁ ἀσεβὴς οὗτος βάρβαρος καὶ τῇ σφετέρᾳ κακίᾳ μέγα νήπιος ἐκαυχήσατο· ἔθετο ἐν τοῖς χείλεσιν αὐτοῦ ἀδικίαν καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ δόλον καὶ ἐν τῷ στόματι αὐτοῦ ἐλάλησεν ὑπερηφανίαν), καὶ μηδὲ βραχὺ γοῦν περιμείνας πάντως ὁ βασιλεὺς πρὸς τὴν Ἕω τὸ περικαλλὲς τούτου πρόσωπον καὶ παμφαὲς ἐπεστήριξεν, αἱ δ' ὀμβροφόροι νεφέλαι, αἱ δὲ βαλλόμεναι πυκναὶ νιφάδες ἐξ οὐρανοῦ, ἡ δὲ τοῦ χειμῶνος βαρύτης καὶ ὁ δριμύσσων οὗτος καιρὸς τὸ τούτου πρόθυμον οὐκ ἐπήμβλυναν· ὑπερηφανεύετο γὰρ ὁ ἀσεβὴς κατὰ τοῦ χριστωνύμου τούτου λαοῦ καὶ ὁ βασιλεὺς τῷ ὑπὲρ τῆς σφετέρας κληρονομίας ζήλῳ ψυχὴν καὶ ὁμοῦ καὶ καρδίαν ἐνεπυρίζετο. ἔνθεν τοι καὶ ταῖς νιφάσι βαλλόμενος ἐκαρτέρει, καὶ κακοχούμενος κατὰ Παῦλον, τὸ σκεῦος τῆς ἐκλογῆς, ὑπὲρ τῆς τοῦ παντὸς σωτηρίας ἔστεργεν ὁ φερέπονός τε καὶ φιλοκίνδυνος· μᾶλλον δὲ ταῖς χρησταῖς ἐλπίσιν ὑποθαλπόμενος ἐνεαρίζειν οἷον ἐδόκει καὶ μέσου χειμῶνος ὡς ἐπὶ λαμπροῖς καὶ ῥοδοδακτύλοις ὑπὲρ τὰς ὁμηρικὰς ἡμέρας ἐστρατοπέδευε. καὶ τέως μὲν φθάνει περὶ τὸν Ῥυνδακὸν ποταμὸν καὶ τῷ περὶ τὰς ὄχθας τούτου πολιχνίῳ κεκάθικε καὶ σοφὰς ἐκεῖσε βουλὰς καὶ πυκνὰς ὁ συνετός τε καὶ ἀριστόβουλος διασκεψάμενος βασιλεύς, οἷος οὗτος πολὺς ἐν φρονήσει, ὁποῖον δὲ καὶ τοῦ νοὸς τούτου τὸ σταθηρὸν καθαρᾷ πάντως καὶ βαθείᾳ φρενὶ κεδνὰ βλαστῆσαι βουλεύματα, πρὸς τὸν Περσάρχην καὶ πρέσβεις πέμπει καὶ γράμματα.

7 Παρ. κδ', 54. 8 μεγαλοπτέρυγος] πρβλ. Ἰεζ. ιζ', 3. 9 ὡραῖοι τ. πόδες] πρβλ. Σειρ. κς', 18. 11 ἐπήρθη γὰρ ὁ ἀσεβὴς] πρβλ. Ψαλμ. λς', 35. 12 μέγα νήπιος] Ἡσ. ἔργ. 130 || ἔνθ. ἐν τ. χ. αὐτοῦ δόλον] πρβλ. Μαλ. β', 16. 13 ἐν τῷ στ. α. ἐλάλ. ὑπερηφανίαν] πρβλ. Ψαλμ. ις', 10. 16 ὀμβροφόροι νεφέλαι] πρβλ. Ἀριστοφ. Νεφ. 298. 18/20 ὑπερηφανεύετο — ἐνεπυρίζετο] πρβλ. Ψαλμ. θ', 23. 21 Παῦλον] πρβλ. Ἑβρ. ιγ', 3 || σκεῦος τ. ἐκλογῆς] πρβλ. Πράξ. θ', 15. 28 βαθείᾳ φρενὶ — βουλεύματα] Αἰσχύλος ἐν Ἑπτὰ ἐπὶ Θήβαις 593 Dind.

2 κ ῶ δ. παρέσυρρε. 5 φώταυγον. 26 κεκάθηκε.

6. Καὶ "Μηδέν" φησιν "μέγα, Περσάρχα, φρόνει καὶ σοβαρόν. μὴ παρατάξεις καὶ μάχας φαντάζου, μήτε δὲ τὸν Ἄρην ἀναρρίπιζε τὸν πολεμόκλονον καὶ φιλαίματον. οὐ χαίρει τούτοις θεός, μισεῖ δὲ μᾶλλον ἔθνη τὰ τοὺς πολέμους θέλοντα· ἀσπίδα δὲ καὶ δόρυ καὶ τόξα καὶ τὴν ἄλλην πανοπλίαν ἀπόθες καὶ εἰρηνεύειν ἀγάπα μᾶλλον καὶ φρονεῖν μέτρια· ἢ μὴν ἀλλ' ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει ὁ κύριός μου καὶ βασιλεύς, τὸν ἀλαζόνα, τὸν ὑπερήφανον, καὶ δι' ἐμοῦ ἀντιτάξεταί σοι κύριος, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος". τίνι δὲ δώσει χάριν καὶ πρὸς τίνα ἐπιβλέψει κύριος, ὁ θεός (ἐγώ σοι ταῦτα, κύριέ μου καὶ βασιλεῦ), ἀλλ' ἢ ἐπὶ σὲ πάντως τὸν ταπεινὸν καὶ πρᾶον καὶ ἥσυχον; ναὶ μὴν καὶ τὰς δι' Ὠσηὲ κατὰ τοῦ Ἰσραὴλ ἀπειλὰς ἐπικαταρρηγνύει τῷ Ἰσμαήλ· "Ἐπεὶ ἡ καρδία σου ἐλογίσατο πονηρὰ καὶ ἐνεκαυχήσω τῇ γλώττῃ σου, πεσοῦνται οἱ ἄρχοντές σου ἐν τῇ ῥομφαίᾳ μου, καὶ γνώσῃ κακὰ διὰ ἀπαιδευσίαν γλώττης σου καὶ καθίσω σε εἰς παράδειγμα· ἢν δ' ἂν βουλὴν κατὰ τῶν ἐμῶν χριστωνύμων βουλεύσῃ, εὖ ἴσθι, ὡς παρὰ τοῦ ἡμετέρου Χριστοῦ, εἰς ὃν ἐμὸν καὶ θάρρος ἅπαν καὶ καύχημα, διασκεδασθήσεται". αὗταί σοι, βασιλεῦ, αἱ φωναί, καὶ θεὸς ἀκούσας ἄνωθεν ἐπεκύρωσεν· ἃς ὁ Περσάρχης ἐνωτισάμενος ἐξαίφνης ὁ πρὶν ἱταμὸς περιδεὴς ἐγένετο καὶ κατεπτηχώς, τά τε ὅπλα μετὰ τοῦ θράσους καταβαλὼν προσπίπτει τε τῷ ἐμῷ βασιλεῖ καὶ συγγνώμην αἰτεῖται τῆς ἀπονοίας καὶ λαβεῖν ἄφεσιν ἐκλιπαρεῖ τοῦ τολμήματος.

7. Ἢ οὐχ ὁρᾷς, ὦ μέγα καὶ περίδοξον ἄθροισμα, τοὺς ἐκ Περσίδος πρέσβεις ὑπὲρ εἰρήνης παρακλητεύοντας, τοῖς βασιλικοῖς προσκυνοῦντας ποσὶ καὶ ἐξαιτοῦντας τὰ εἰρηναῖά τε καὶ σωτήρια; οἳ καὶ παρόντες πιστώσονταί μου πάντως τοὺς λόγους καὶ τῶν γραφομένων ἔσονται μάρτυρες. ὑμεῖς δὲ τί φατε, Πέρσαι πρέσβεις καὶ βάρβαροι, οἱ μέχρι καὶ ἐνταῦθα τὴν πορείαν στειλάμενοι, οἱ συγγνώμην λαβεῖν ἀξιοῦντες, οἱ τὴν εἰρήνην ἐπιζητοῦντες καὶ τὴν σφετέραν σωτηρίαν πραγματευόμενοι; ἴδετε βασιλέα σθεναρόν τε καὶ περιδέξιον καὶ οἷον πανωλεθρίαν ἀντιπάλοις ἐπενεγκεῖν, εἰ μόνον ἐπαφήσει τὰ κεδνὰ τούτου καὶ βουλεύματα καὶ στρατεύματα. τὸ περικαλλὲς τούτου πρόσωπον θεάσασθε, οἵαις ἐναπαστράπτει ταῖς χάρισιν, ἀλλὰ καὶ τὴν εὐφυΐαν ὅλην τοῦ σώματος, ὡς κυπαρίττινος αὕτη καὶ ὄρθιος. ἴδετε λειμῶνα χαρίτων, ὃν ἡ φύσις οὕτω μετὰ κάλλους ἐκήπευσε· μὴ καὶ παρ' ὑμῖν τοιοῦ-

2 Ἄρην - - πολεμόκλονον] πρβλ. Βατραχομ. 275 Pigro. Μανέθ. ς', 47. 3 φιλαίματον] πρβλ. Ἀνακρ. ἐν Anth. Pal. VII, 226. 5/6 ἰδοὺ — κύριος] πρβλ. Ἱερ. κζ', 31. 7/9 κύριος — ταπεινὸν] πρβλ. Παρ. γ', 34. 11 Ἰσμαήλ] κ ῶ δ. Ἰσραήλ· πρβλ. σ. 108, 11. 11/13 ἐλογίσατο — γλώττης σου] πρβλ. Ὠσηὲ ζ' 16. 13 καθ. σε εἰς παράδειγμα] πρβλ. Ναούμ, γ', 6.

1 κ ῶ δ. πεσάρχα. 13 καθήσω. 27 εἴδετε = οὕτω καὶ ἑξῆς.

τός ἐστιν ἀρχηγός, ὡς ὁ περικαλλὴς οὗτος ἡμῶν βασιλεύς, ὁ τῶν χριστωνύμων ἀρχηγός τε καὶ πρόμαχος; τοῦτον τῇ σφετέρᾳ χειρὶ ἐνθαλαμεύει θεὸς καὶ τῇ παναλκεῖ τούτου δυνάμει τὸν αὐτοκράτορα ῥώννυσι καὶ καθιστᾷ τοῦτον τῶν ἀντικαθισταμένων πάντων ὑπέρτερον. ἔθετο τοῦτον καὶ ὡς βέλος ἐκλεκτὸν ἐν τῇ φαρέτρᾳ αὐτοῦ καὶ τόξον χαλκοῦν ἐν τοῖς βραχίοσιν αὐτοῦ καὶ κατατοξεύει δι' αὐτοῦ τοὺς ἀλάστορας. μάθετε ταῦτα πάντα, καὶ γνόντες τοῦ ἐμοῦ βασιλέως τὴν δύναμιν τῷ τῶν Περσῶν ὑμῶν ἀρχηγέτῃ καὶ τοῖς ὁμοεθνέσιν ἐκδιηγήσασθε. ἀπαγγείλατε ἐν τοῖς ἔθνεσιν τὴν δόξαν καὶ τὴν δυναστείαν αὐτοῦ (τὸ θεῖον ταῦτα γράμμα λέγει καὶ ἱερόν)· ἔτι δὲ καὶ τὰ τοῦ Ἡσαΐου προσεπαγγείλατε· Ἐπιστράφητε οἱ τὴν βαθεῖαν βουλὴν καὶ ἄνομον βουλευσάμενοι, υἱοὶ Ἰσμαήλ· ἢ μὴν ὑμᾶς μάχαιρα καταφάγεται· ἰδοὺ γὰρ βασιλεὺς ἡμῶν ἄρχει δίκαιός τε καὶ ἰσχυρός, ἀλεξητὴρ ὄντως καὶ ἀλεξίκακος. ταῦτα πρὸς τὸν ὑμέτερον ἀρχηγέτην καὶ τοὺς λοιποὺς σατράπας ἐκδιηγήσασθε καὶ πείσατε μὴ μόνον ἄρτι μένειν οἴκοι τὸ βάρβαρον δι' ἣν εἰρηναίαν ὑμῖν κατάστασιν ὁ βασιλεὺς ἐπηγγείλατο, ἀλλὰ καὶ ἐς τὸ διηνεκὲς περισῴζειν τὸ εἰρηναῖόν τε καὶ ἀπόλεμον.

8. Ὦ καλὰ ταῦτα πάντα, πάντα δὴ καὶ σωτήρια ὦ καλῶν καὶ χαρμοσύνων τούτων νῦν ἡμερῶν· ὦ κοσμοσωτηρίων καὶ φαιδρῶν ἑορτῶν καὶ λαμπρῶν τούτων δὴ τελετῶν τοῦ Χριστοῦ, ἃς ὁ χριστὸς σὺ κυρίου καὶ τοῦ εἰρηνικοῦ Χριστοῦ μαθητὴς ταῖς φιλοθέοις ἐπιδημίαις καὶ εἰρήνην εὐαγγελιζομέναις τοῖς ξύμπασιν ἐπὶ τὸ λαμπρότερον διεσκεύασας. ὦ χριστομιμήτου βασιλέως ἐπιβατήρια πρὸς πολλὰς τὰς πανηγύρεις διαχεόμενα καὶ πολλαπλασιάζοντα τοῖς ὑπηκόοις τὰ γηθόσυνα καὶ χαρίεντα. φαιδρότης γοῦν ἐπὶ φαιδρότησιν ἡμῖν τοῖς ὑπηκόοις προτίθεται· τὰ τῆς ἀγαλλιάσεως προσεπαύξονται καὶ πολλαπλασιάζονται τὰ χαρμόσυνα· καὶ ἵνα συνελὼν εἴπω ἑορτῶν ἄντικρυς γεγόνασιν ἑορταὶ τὰ πανέορτα τοῦ αὐτοκράτορος ἐπεισόδια καὶ τὰ εἰρηνικὰ τοῦ βασιλέως ἐπιβατήρια. οὐχ οὕτω ταῖς νεομηνίαις ἐσάλπιζον τῶν Ἰουδαίων γένος παλαίτερον· οὐχ οὕτω τὰ Παναθήναια οἱ τὴν Ἀττικὴν οἰκοῦντες ἐπανηγύριζον. ὦ βασιλέως χειμεριναῖς ἀνάγκαις ἐγκαρτεροῦντος καὶ προμηθευομένου τῶν ὑπὸ χεῖρα καὶ πραγματευομένου τὰ τούτοις λυσιτελῆ καὶ σωτήρια, πυκναῖς νιφάσι βαλλομέναις ἐξ οὐρανοῦ προσπαλαίοντος, κινδύνοις ἐξ ἀέρος, κινδύνοις ἐν θαλάσσῃ, ὡς ἂν αὐτοὶ ῥᾳστωνεύοιμεν. ἀλλὰ μη-

4/5 ἔθετο — φαρέτρᾳ αὐτοῦ] πρβλ. Ἡσ. μθ', 2. 5 τόξον — βραχ. αὐτοῦ] πρβλ. Βασιλ. 2, κβ', 35. 8 ἀπαγγείλατε — δυναστείαν αὐτοῦ] πρβλ. Ψαλμ. οζ'. 4. ρδ', 1—10 ἐπιστράφητε— καταφάγεται] πρβλ. Ἡσ. λα', 6, 8. 19 χριστὸς σὺ κυρίου] πρβλ. Βασ. κδ', 7. 20 εἰρήνην εὐαγγελιζομέναις] πρβλ. Ῥωμ. ι', 15. Ἐφ. β', 17. 27 νεομηνίαις ἐσάλπ. Ἰουδ. γένος] πρβλ. Λευιτ. κε', 9. Ψαλμ. π', 3.

3 τούτου = αὐτοῦ.

δὲ τὰ τοῦ κλύδωνος θήσομεν ἔξω μνήμης καὶ θαύματος, μὴ παντελῶς αὐτοὶ μέλλωμεν πίπτειν ἔξω τοῦ καλοῦ καὶ τοῦ πρέποντος. ἔχει δὲ νῦν, ὦ παρόντες, ὁ λόγος τάχα μέν τι καὶ φρικαλέον καὶ λυπηρόν, πλουτεῖ δὲ καὶ οὐχὶ μετρίαν τὴν ἡδονήν, ἐπεὶ καὶ τὰς κατὰ θάλατταν ἀριστείας ἀπαγγέλλει τοῦ αὐτοκράτορος.

9. Εἶχε μὲν ἡ τριήρης ἤδη τὸν βασιλέα, ἐπεὶ τῶν ποδῶν οὗτος εἶχε πονήρως καὶ ἀλγεῖν αὐτὸς ἠναγκάζετο· ἀλλ' ὦ κακὴ νόσος καὶ πάντολμε, ἣ καὶ τῶν ὡραίων ποδῶν τοῦ βασιλέως κατατολμᾷς καὶ γίνῃ τῆς ἡμετέρας παντελοῦς εὐδαιμονίας κωλύμη ἐμποδοστατοῦσα τοῖς ὑπὲρ ἡμῶν βασιλικοῖς διαβήμασιν· εἰ μὴ γὰρ ἐνόσει πάντως τοὺς πόδας ὁ βασιλεύς, εἰ μὴ γὰρ ἀλγοῦντας εἶχεν ὑπὸ σοῦ τῆς νόσου καὶ κάμνοντας, τάχ' ἂν τελείαν ἐλευθερίαν τοῖς ὑπηκόοις ὑπέγραφε, πυκνὰ περὶ πολέμους στρεφόμενος καὶ παναλκέσι χερσὶν ἀάπτοις θαμὰ τὸ δόρυ κραδαίνων καὶ κατασείων τὸ βάρβαρον· ἀλλὰ μακρὰν ἐς κόρακας ἔρρε εἴθε καὶ ἀμετατρεπτί, βαρεῖα νόσε καὶ πάντολμε. καὶ ἵνα τὸν λόγον αὖθις ἐπαναλήψομαι, εἶχε μὲν οὕτως ἡ τριήρης τὸν αὐτοκράτορα καὶ λεπτῷ ζεφύρῳ γοῦν ἐκεκίνητο, καὶ Βορέης μὲν αἰθρηγενέτης τὸ λαῖτμα τῆς θαλάσσης οὐκ ἤγειρε, σὺν δ' Εὖρός τε Νότος τε δύσπνοόν τε καὶ μέγα συρρήξαντες καὶ τέτριγὸς ὀλέθριον, δεινήν τε καὶ ἀλλεπάλληλον ἐποιοῦντο τῶν κυμάτων τὴν ἐπανάστασιν. ἐπωρύετο πυκνὰ κυρτουμένη καὶ θάλασσα καὶ προσερρόχθει ταῖς πέτραις, τοῦ πνεύματος ἐποτρύνοντος· καὶ ἦν μὲν ἰδεῖν τότε δακρυόεν ὄμμα περικαλλοῦς Σελήνης καὶ θαλερόν, Ἡλιάδας τε στυγναζούσας καὶ παρηλίους νεφόεντας, ἀλλ' ἦν ἰδεῖν καὶ τὸ σὸν ἀνδρεῖον καὶ σταθηρόν, ὦ στερρότατε καὶ καρτερικώτατε βασιλεῦ, ὁποῖον ἄντικρυς ὁ Σταγειρόθεν διδάσκει με. καὶ τοῖς ἀνοιδοῦσι μὲν οὐκ ἐπετίμησας κύμασι, γαληνῷ πάντως καὶ ταπεινῷ φρονήματι σεμνυνόμενος· οὐδὲ τῇ ἀγριαινούσῃ παρεκελεύσω θαλάσσῃ "Σιώπα, πεφίμωσο", κατὰ τὸν σὸν εἰρηνάρχην Χριστόν, ἵνα παραυτὰ κοπάσῃ σοι τὸ κλυδώνιον· ταῦτα γὰρ ἤδεις ἐκείνου μόνου καὶ κελεύσματα καὶ γνωρίσματα. ναυτιασάντων δ' ἄρτι καὶ τῶν ναυτῶν καὶ κατὰ κυμάτων ἤδη πεζεύειν μελλόντων καὶ τῷ τῆς θαλάσσης καταβαπτίζεσθαι κλύδωνι, αὐτὸς μόνος ἀπερικλόνητος ἔμεινας, αὐτὸς κατὰ κυμάτων ἠνδρίσω σταθηρῷ μάλα καὶ κρατερῷ τῷ φρονήματι. τότε καὶ τὰ τοῦ Ἰεζεκιὴλ ταῦτα μόνα καιρὸν εἶχε λέγεσθαι περὶ σοῦ· "ἐν καρδίᾳ θα-

14 ἐς κόρακας] Corpus par. 2, σ. 421. 16 Βορέης μὲν αἰθρηγενέτης] Ὀδ. ε, 296. 17 λαῖτμα τῆς θαλάσσης] Ὀδ. δ, 504. ε, 174. ι, 260. 11 σὺν δ' Εὖρός τε Νότος τε] Ὀδ. ε', 295. 26 Μάρκ. δ', 39. 32 Ἰεζ. κζ', 26, 27.

27 κῶδ. εἴδεις.

λάσσης ὤφθησαν αἱ δυνάμεις σου"· καὶ ὥσπερ ἐν ταῖς στρατηγικαῖς, οὕτω δὴ κἀν ταῖς ναυτικαῖς ἐκράτεις βουλαῖς. τοῖς κωπηλάταις μένος καὶ θάρσος ἐνέπνευσας, ἐπεμβοήσας αὐτοῖς μετὰ βασιλικοῦ τοῦ βουλεύματος καὶ βλοσυρωποῦ κἀπὶ μόνῳ τῷ τοῖς ἀνέμοις ἐπιτιμῶντι Χριστῷ θαρρεῖν αὐτοὺς παρασκευάσας· ἐπεθάρρυνας δὲ καὶ τὸν κυβερνήτην ὡς τὰ πολλὰ δειλαινόμενον.

10. Οὕτω τὸ σκάφος ἐκ κυμάτων ἀνοιδούντων ἐπανεσώσω, θεοκυβέρνητε καὶ περιδέξιε βασιλεῦ, καὶ τὸν ἐμπλέοντα τούτῳ λαὸν θεοῦ τε καὶ σοῦ περιούσιον ἐκ θαλάσσης μέσης καὶ τῶν κυμάτων ἀνείλκυσας. τί τούτου παραδοξότερον; τί τούτου θαυμασιώτερον, τί δὲ γενναιότερόν τε καὶ καταπληκτικώτερον; τί πρὸς ταῦτα τὰ τοῦ Ξέρξου φόβητρα καὶ παιδεύματα καὶ νεανιεύματα, πρὸς μόνην ἔκπληξιν ἐνδεικνύμενα, ὃς κυμαινομένην ἔτυπτε θάλατταν ἔξω ταύτης ἑστὼς καὶ παρὰ τὴν γῆν ἑδραζόμενος; εἰ παιδεύειν ἤθελες, Πέρσα, τὴν θάλατταν, ὡς καταπλήξεις τοὺς Ἕλληνας, τί μὴ ταύτης ἔνδον εἰσήξεις, ὡς ἂν τάχα μακροτέραν ἐπάξῃς ἀτακτούσῃ ταύτῃ τὴν κόλασιν; ἢ τάχ' ἂν τὸν Ὁμήρου κυβιστῆρα σὺ μιμησάμενος ἔνδικον εὗρες τὴν κόλασιν; ἔμελλες δὲ ἄρα μετ' ἀπειροπληθοῦς στρατοπέδου πρὸς τὴν ἐμὴν Ἑλλάδα παραγενόμενος τὴν ἐκ τῆς ἥττης αἰσχύνην ἀποίσεσθαι καὶ τὴν μέλαιναν. σὺ δ' ἀλλ', ἐπιστημονικώτατε κυβερνῆτα καὶ οἰακοστρόφε πανδέξιε, ἐπειδὴ τοὺς τῆς Ῥωμαϊκῆς ὁλκάδος ὑΐακας παρὰ τῆς τοῦ ὑψίστου δεξιᾶς ἐμπεπίστευσαι, ἐπανόρθου καταστρεφομένην αὐτὴν κἀκ τοῦ πελάγους τῶν κινδύνων περίσωζε· καὶ τὸν ἐμπλέοντα δὲ τῷ κοσμικῷ τούτῳ σκάφει σῷζε κλῆρον ὅλον Χριστοῦ καὶ λαὸν θεοῦ περιούσιον καὶ μὴ κατορχεῖσθαι τῆς σῆς κληρουχίας ἔα τοὺς Πέρσας τοὺς δυσμενεῖς, τοὺς ἀλάστορας. ὁρᾷς, ὁπόσα κατὰ ταύτης ὁ Πέρσης ἐνεκαυχήσατο, εἰ μὴ τὰ σὰ τοῦτον κεδνὰ βουλεύματα κατεσίγασαν· ἐπίσκεπτε αὐτοὺς ἐν ῥάβδῳ, αἴ κέν τοι φάος πάντεσσι γένηαι· παρόξυναί σου τὸ δόρυ, παράθηγέ σου τὴν σπάθην, ἀκόνα δὲ καὶ τὰ βέλη σου, δυνατέ, καὶ σπλάγχνοις ἔμβαπτε ταῦτα βαρβαρικοῖς καὶ λύθροις ἔγχραινε περσικοῖς, εἰ τὰς σπονδὰς ἀθετήσουσι· παραθήξει δέ σου ταῦτα τὰ βέλη καὶ σὸς λαὸς ὁ χριστώνυμος, τὰς χεῖρας ἀνατείνων εἰς οὐρανόν, ὡς ἀντιλάβοιτό σου θεός. ὁ δ' ἄνωθεν αὐτοῖς ἐπινεύσει καὶ τοῦ σκοποῦ τούτων συνάροιτο. πέμψουσιν ἐκ τῶν ὀμ-

4 τοῖς ἀνέμοις] κ ῶ δ. τοὺς ἀνέμους || Χριστῷ] πρβλ. Ματθ. η', 26. Μάρκ. δ', 39. Λουκ. η', 24. 8 λαὸν — περιούσιον] πρβλ. Ἐξ. ιθ', 5. κγ', 22. Δευτ. ζ', 6. ιδ', 2. κς', 18. 11/13 Ξέρξου— ἑδραζόμενος] πρβλ. Ἡροδ. ζ', 33—36. 16 Ὁμ. κυβιστῆρα] πρβλ. Ἰλ. Λ, 727. 22 ἐπι. α. ἐν ῥάβδῳ] πρβλ. Ψαλμ. πη', 32. 26 αἴ κέν τοι φ. γένηαι] πρβλ. Ἰλ. Θ, 282.

15 ἐπαξῃς] τὸ η ἐκ διορθ. τοῦ ει.

μάτων καὶ δάκρυα, ὡς Περσικῶν ὀμμάτων ῥύακες παρὰ δεξιᾶς τῆς σῆς ἐκχυθήσωνται. στενάξουσιν, ἐκβοήσουσιν, ὡς μεγάλα κλαύσωνται παῖδες Περσῶν ἀπορφανιζόμενοι.

11. Ὦ Περσικὸν τοῦτο γένος δυσμενὲς καὶ ὑπέρογκον καὶ κατὰ τοὺς Αἰγυπτίους σκληρογνῶμον καὶ σκληροτράχηλον· ὡς ἄρα ἦν ἔκπαλαι τοῦτο τοῖς Ῥωμαίοις ἐπεγκοτοῦν, πολέμους καὶ μάχας τῇ τῶν Ῥωμαίων ἐγείρον ἀρχῇ καὶ ἡμῖν ἀρχῆθεν πολέμιον. ἀπόγονος γὰρ τοῦ Περσικοῦ τούτου γένους ἐνταῦθα ἐπὶ κακῇ σφετέρᾳ μοίρᾳ καὶ φὺς καὶ ἀνατραφείς. ἴστε (πάντως τὸν μάταιον ἐκεῖνον, τὸν κρεωβαρῆ τε καὶ ἀποφώλιον, τὸ ἀχάριστον σπέρμα τοῦ Ἰσμαήλ, οὗ θεὸς ἡ κοιλία, κατὰ Παῦλον λέγω τὸν θεῖον καὶ ἱερόν). οὗτος, κἂν τῷ γένει προσήγγισε τῷ βασιλικῷ, κἂν φιλοίκτοις κόλποις τοῦ βασιλέως ὑπεζωπυροῦτο καὶ ὑπεθάλπετο, ἀλλ' οὐκ ἠγάπα τῆς ἐμφύτου πονηρίας ἀφίστασθαι, ὁ ὄφις ὁ σκολιός. Πέρσης δ' αὖθις ὁ Πέρσης ὢν καὶ τοῦτο δὴ πίθηκος (κατὰ τὴν παροιμίαν) ὁ πίθηκος, τὴν προγονικὴν αὐτοῦ κακίαν καὶ τὸ γαῦρον φρόνημα καὶ περσικὸν οὐκ ἀπέθετο· φαγὼν γὰρ ἐνεπλήσθη καὶ ἀπελάκτισεν· ἐπαχύνθη, ἐπλατύνθη καὶ τοῦ τρέφοντος αὐτὸν ἐπελάθετο καὶ ἀπέστη ἀπ' αὐτοῦ, καὶ ὡς Ἱεροβοὰμ ἄλλος δοῦλος καὶ ἀποστάτης λαὸν ἀθροίσας μωρὸν καὶ οὐχὶ σοφὸν τὸ μέγα σέμνωμα τοῦτο καὶ περίδοξον ὄνομα, τὴν βασιλείαν, ἐσφετερίσατο.

12. Ὦ μωρὸς οὗτος ὄντως λαός, χάλκεα χρυσείων κάχληκάς τε μαργάρων καὶ φωτὸς τὸ σκότος ἀνταλλασσόμενος· οἷον γὰρ ὁ βασιλεύς μου πλουτεῖ τὸ κάλλος, οἵαν δ' ἐκεῖνος εἶχεν εἰδέχθειαν. οἳ καὶ τὰς τῶν μεγάλων ἀρχείων πύλας ἀναμοχλεύσαντες ἔνδον ἐπὶ τὰ βασίλεια τοῦτον κρεωβαροῦντά τε τὰ πολλὰ καὶ ἀσθμαίνοντα καὶ ὡς πεφορτισμένον μέγαν φόρτον ἄντικρυς ἔθεντο καὶ (ὦ τῆς ἀνοχῆς σου, Χριστὲ βασιλεῦ) ἐτώσιον τοῦτον ἄχθος ἐπὶ βασιλικὸν θρόνον ἐκάθισαν. ὁ δέ γε θῶκος οὐκέτι θῶκος μεῖναι πάλιν ἠνέσχετο· κατεάγη γὰρ ἐς τὸ παντελὲς ὑπὸ τοῦ βαρέος ἐκείνου καὶ νωθροῦ σώματος. εἶπεν ἄν τις ἀστεϊζόμενος φρενῶν ἐκεῖνον τὸν θῶκον μετέχειν καὶ μὴ παρὰ τὸν ἐκείνου δεσπότην ἕτερον ἐνθρονισθῆναι τούτῳ καταδεχόμενον· ἄλλος δ' εὐθύσκοπα βάλλων καὶ τῶν πραγμάτων ὡς ἔνι μάλιστα καταστοχαζόμενος σύμβολον ἐφοίβασεν εἶναι τοῦτο τῆς παντελοῦς αὐτοῦ μετὰ βραχὺ καταπτώσεως. ἐξεγέλας δὲ ἄρα τοῦτον ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ ἐξεμυκτήριζες τούτου τὰ διαβούλια ἐν παγίδι, ᾗ ἔκρυψε, συλληφθησομένου μετὰ

10 πρβλ. Φιλ. γ', 19. 14 παροιμίαν] Corp. paroem. 2, σ. 202, 614. 15/17 φαγὼν — ἀπέστη ἀπ' αὐτοῦ] πρβλ. Δευτ. λβ', 15. 17 ὡς Ἱερ. ἄλλος δοῦλος] πρβλ. Βασ. 3, ιβ'. 20/21 χάλκεα — ἀνταλλασσόμενος] πρβλ. Ἰλ. Ζ, 235—6. 25 ἐτώσιον τ. ἄχθος] πρβλ. Ἰλ. Σ, 104. 32 ἐξεγέλας — κατοικῶν] πρβλ. Ψαλμ. θ', 23.

μικρὸν καὶ πῦρ μὲν ἀλλὰ κατὰ τῆς σφετέρας ἀνάψαντος κεφαλῆς καὶ τόξον ἐντειναμένου, ἀλλὰ κατὰ καρδίαν αὐτοῦ· ἔνθεν τοι καὶ τὸν θρόνον αὐτοῦ κατέρραξας, ἐμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ καὶ κατέχεας αὐτοῦ αἰσχύνην. ναὶ μὲν γὰρ καὶ ὁ παμφαίνων οὐράνιος οὗτος σφαῖρος ἡλιακὸς οὔπω φθάνει μελετῆσαι τὰ δυτικά, καὶ ἐπέστρεψεν ὁ πόνος εἰς κεφαλὴν αὐτοῦ καὶ κατέβη ἐπὶ τὴν κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ· ἅμα γὰρ εἰς τὸν τῆς βασιλείας εἰσῆλθεν ὄγκον ὁ τὸν νοῦν καὶ τὰς σάρκας πεφυσημένος τε καὶ ὑπέρογκος καὶ ὡς ἀληθῶς νοῦς σάρκινος, καὶ ἅμα τὴν ζωὴν ὡς ἀσκὸς πλήρης πνεύματος ἐξεφύσησε. βασιλεὺς ὁ δύστηνος ἀνηγόρευται, ὁ τῆς βασιλείας ἅμα καὶ τῆς σφετέρας ἅρπαξ ζωῆς, καὶ παντοίοις εὐθὺς ἐνεκυβίστα τοῖς ξίφεσι καὶ σίδηρος αὐτίκα περὶ τὸ μέγα σῶμα τούτου πολύς. ἔφαγεν ὄντως τότε καὶ μάχαιρα κρέα καὶ τοῖς αἵμασι τούτου πέλεκυς βαρβαρικὸς ἐμεθύσκετο.

13. Οὕτω γοῦν παντοίοις ξίφεσι μελιζόμενος αὐτοῦ που κατέπεσεν ἐπὶ τοῦ δώματος τοῦ βασιλικοῦ, τοῦ καὶ φθεγγομένοιο κάρη κονίῃσιν ἐμίχθη· ἐν ἐκστάσει γὰρ ἡ τούτου κεφαλὴ διεκόπτετο καὶ πρὸς γῆν ἐρρίπτετο καὶ πρὸς Ἅδου βάραθρον ἐσφαιρίζετο. ὁ κατὰ τοῦ δεσπότου τραχηλιάσας αὐχὴν ἐξεκόπτετο, ἐσπαθίζοντο δὲ καὶ πόδες, οἳ τῆς εὐθείας καὶ βασιλικῆς ἐκτραπέντες ὁδοῦ πρὸς τὸ τῆς βασιλείας ὕψος ὀλισθηρῶς ὑπανέδραμον· καὶ ἦν ἰδεῖν κόρσην μὲν ἀναύχενα, αὐχένα δ' ἀκόρσωτον, ταῦτα δὴ τὰ Ἐμπεδόκλεια τέρατα, κεφαλὴν οὐ μόνον εἰδεχθῆ τε καὶ μυσαρὰν ἀποστρέφειν τε τὸ πρόσωπον καὶ ταχὺ τὰ βλέφαρα μύειν τοὺς εἰς αὐτὴν ἀτενίζοντας ἀναπείθουσαν, ἀλλὰ καὶ φοβερὰν τοῖς ὑπαντιάζουσι καὶ οἵαν ἄντικρυς τὴν τῆς Γοργόνης μυθεύουσι· τὸν δέ γε λοιπὸν ὁλκὸν τοῦ σώματος ἠύν τε μέγαν τε κείμενον, κατερραγμένον ἐπ' ἐδάφους ὡσεὶ πάχος, κατὰ τὸν ψαλμογράφον, τῆς γῆς καὶ περὶ τὰς τῆς πόλεως διεξόδους προκείμενον τοῖς πετεινοῖς εἰς κατάβρωμα, εἶπεν ἄν τις ἐπισκώπτων τῷ πτώματι βοῦν εἶναι τοῦτον, οἷον οἱ ἐκ μακέλλης φυσῶσιν, ἐπὰν αὐτὸν ἀποκτείνωσιν, ἐλεεινὸν θέαμα, πτῶμα παγχάλεπον, ἡμέροις ὀφθαλμοῖς ἀποτρόπαιον, παρὰ μὲν τῶν λᾷξ παιόμενόν τε καὶ ὑβριζόμενον, παρὰ δὲ τῶν οἰκτιζόμενον.

14. Ὦ δυσθάνατε καὶ βαρύποτμε καὶ τῆς ἐκεῖθεν δι' ἀπιστίαν κολάσεως ἄξιε, ὡς ταχύ γε τῆς φαντασθείσης σοι βασιλείας ἐστέρησαι· βραχὺς γὰρ καιρός, μᾶλλον δὲ μία τις ῥοπὴ καὶ θάνατος οἴκτιστος αὐτὴν διεδέξατο. τοῖς ἐκ κεράμων χόρτοις ἦν εὐμαραντωτέρα, πνοῆς ἦν βραχυτέρα, λαίλαπος ὀξυτέρα· ὀνείρων ἦν ἀπατηλοτέρα, σκιᾶς ἀσθενεστέρα, τάχος ἀστραπῆς ὀξυτέρα, κυμάτων ἀστατωτέρα, ἀφρῶν ταχὺ λυομένων εὐθρυπτοτέρα. ἦπου καὶ τὰς ἀποθήκας, ἄφρον, ἐμελέτας εὑρῦναι, ὁ τὴν ψυχὴν οὐκ ἐν ταύτῃ τῇ νυκτί, κατὰ τὴν εὐαγγελικὴν νουθεσίαν, ἀλλὰ καὶ πρὶν δῦναι τὸν ἥλιον ἀπαιτηθησόμενος, τάχα μικρὸν αὐτὸν ἀναμείναντα, ἵνα καὶ αὐτὸς τὴν ἀφρονευσαμένην σου κεφαλὴν ἀποτεμνομένην ἐνδίκως ἴδῃ καὶ σφαιριζομένην εἰς τάρταρον, καὶ τὸν κεφαλὴν ἁπάντων εἶναι θελήσαντα μόνον δὴ τῶν ἁπάντων κεφαλῆς δίχα θεάσηται καὶ τούτων ἁπάντων ἄγγελος καὶ τοῖς νεωτέροις γενήσηται. διελογίσω βουλὴν πονηράν, ὡς ὁδὸν βαδίσεις τὴν ἐπὶ τὴν βασιλείαν ἀνάγουσαν, κἂν ἔλαθες βαδίσαι τὴν ἐπὶ θάνατον· ἐκεῖνο δὲ πῶς οὐκ ἐννενόηκας, ὡς τῇ τῶν οὐρανῶν βασιλείᾳ καὶ αὕτη παρείκασται καὶ ὡς οὐκ ἂν ἐκείνης ἔστιν ἄλλως ἐπιτυχεῖν, εἰ μὴ διὰ στενῆς καὶ τεθλιμμένης βαδίσει τις τῆς ὁδοῦ, ἣν ἂν ὁδὸν τὰ θεῖα καὶ ἱερὰ διδάσκουσι γράμματα, οὕτω δὴ καὶ αὐτῆς.

15. Ὦ σὺ ταῖς ἀνομίαις ἐμπλατυνθείς (ἐπληθύνθησαν γὰρ αἱ ἀνομίαι σου καὶ ὑπερῆραν τὴν κεφαλήν σου), ὦ καὶ τὸ δέμας πλατύσαρκε κἀν ταῖς πλατείαις καὶ βασιλικωτάταις τρίβοις στενοχωρούμενε, κἀν ταῖς δημοσίαις προσεντριβόμενε· ἵνα γὰρ τὰ τοῦ Ἀββακούμ σοι προσφθέγξωμαι, ἐπλάτυνας καθὼς Ἅδης τὴν κοιλίαν καὶ αὐτὸς ὡς θάνατος οὐκ ἐμπιπλάμενος ἦς. τί δὲ καὶ πρὸς τοσοῦτον ἀναδραμεῖν ὕψος τετόλμηκας ὑπερύψηλον, ὦ τὰς φρένας μὲν κοῦφε καὶ ἐλαφρότατε, τὸ δὲ δέμας καὶ βαρύκρεω καὶ βαρύσαρκε; ἢ οὐκ οἶδας, ὡς τὰ τῶν ὑλῶν γεώδη τε καὶ βαρύτατα ταχεῖαν μάλα καὶ φυσικὴν τὴν κάτω φέρουσι κίνησιν; ναὶ μὲν γὰρ ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν αἱ ἀνομίαι σου ἐπὶ σέ, ἵνα δὲ καὶ τὸ ἑξῆς φθέγξωμαι τοῦ Δαυιτικοῦ ψαλτῳδήματος, οἰκεῖον ὄν σοι καὶ μάλα προσφυές, προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές σου ἀπὸ προσώπου τῆς ἀφροσύνης σου· εἶδε γὰρ ὁ θεός, ἵν' ἐπὶ σοὶ μόνῳ παρῳδήσας ἁρμόσω καὶ Μωσαϊκά, ὅτι ἐγένοντο ἐπὶ σὲ σάρκες καὶ διελογίσω τὰ πονηρά, καὶ εἶπε "Δεῦτε καὶ ἀποκτενοῦμεν αὐτόν".

16. Ὦ δυσβλεπτότατε καὶ δυσαντητότατε, κοῦφον εἶναι δεῖ μᾶλλον καὶ

2/3 τὸν θρόνον — αἰσχύνην] πρβλ. Ψαλμ. πη', 45, 46. 5/6 ἐπέστρεψεν — ἀδικία αὐτοῦ] πρβλ. Ψαλμ. ζ', 17. 11/12 ἔφαγεν — ἐμεθύσκετο] πρβλ. Δευτ. λβ', 42. 14 τοῦ καὶ φθεγ. — ἐμίχθη] Ἰλ. Κ, 457. Ὀδ. χ, 239. 15 ἐν ἐκστάσει — διεκόπτετο] πρβλ. Ἀββ. γ', 14. 19 Ἐμπεδόκλεια] πρβλ. Ἀριστοτ. περὶ ψυχῆς, σ. 430a 29 Bek. *Mullach*, Fragm. τ. 1, σ. 9. στ. 308. 23 ἠύν τε μέγαν τε] Ἰλ. Ε, 628. Ζ, 8. Υ, 457. 24 κατερ. — πάχος] πρβλ. Ψαλμ. ρμ', 7. 25 τοῖς πετ. εἰς κατάβρωμα] πρβλ. Ἱερ. ζ', 33.

7 κ ῶ δ. πεφυσσημένος. 9 ἐξεφύσσησε. 26 ἐπισκόπτων. 27 φυσσῶσιν.

6 ἀποθήκας — τῇ νυκτί] πρβλ. Λουκ. ιβ', 18—20. 15 διὰ στενῆς — ὁδοῦ] πρβλ. Ματθ. ζ', 14. 17/18 αἱ ἀνομίαι — κεφαλήν σου] πρβλ. Ψαλμ. λζ', 5. λθ', 13. 21 ἐπλάτυνας — ἐμπιπλάμενος ἦς] πρβλ. Ἀββ. β', 5. 25/28 ὡσεὶ φορτίον — ἀφροσύνης σου] πρβλ. Ψαλμ. λζ', 5—6. 30 Γεν. λζ', 20.

11 κ ῶ δ. γενήσεται. 26 φθέγξομαι.

ἐλαφρότατον περὶ τὰς τῶν πολέμων κινήσεις τὸν αὐτοκράτορα καὶ περὶ τὰς μάχας ὀξύδρομον ἢ βαρὺν οὕτω καὶ ὑπεράγαν βαρὺν καὶ τὰ πολλὰ δυσκίνητόν τε καὶ νωθρευόμενον· " Ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ "· σὺ δὲ βοῦς ὢν τὸ σῶμα καὶ τερατολογούμενον βούπρωρον καὶ τοῖς ὄνοις παρεικαζόμενος τρόπον ἕτερον, ἀλλ' ὅμως ἐκείνων ἐφάνης ἀγνωμονέστερος καὶ ἀναισθητότερος· οὐδὲ γὰρ μόνον τὸν σὸν δεσπότην οὐκ ἔγνως, ἀλλὰ καὶ λακτίσαι τετόλμηκας, ἀναισθητήσας καὶ πρὸς τὴν παροιμίαν, ὡς ἔοικεν, ὡς ὁ πρὸς κέντρα λακτίζων, κἂν ὁ ἡμέτερος γλυκὺς βασιλεὺς ἄκεντρός ἐστι μέλισσα, τοὺς ἰδίους πόδας αἱμάσσει· σὺ δὲ μετὰ τῶν ποδῶν καὶ τὴν κεφαλὴν προσημάχθης τὴν ἄφρονα. ταῦτα μὲν οὕτως.

17. Ὁ δέ γε συμπαθὴς καὶ φίλοικτος ἡμῶν βασιλεὺς τὸν τοῦ δυσμενοῦς ἐκείνου δίκαιον ἐνωτισάμενος θάνατον, οὐκ ἐκόμπασεν, οὐκ ἐνεκαυχήσατο, οὐκ ἐπεκρότησε ταῖς χερσί, τῷ πάθει δὲ φιλοτίμως μάλα νυγεὶς τὴν ψυχὴν καὶ ἐπεστέναξε τοῖς ἀκούσμασιν ὅτι μάλα καὶ ἐπεδάκρυσεν, εἰ ἐκεῖνος οὕτω ματαίως ἀπατηθεὶς τῇ σφετέρᾳ ζωῇ καὶ τὴν ψυχὴν συναπώλεσεν, ἧς ὁ κόσμος οὐκ ἔστιν ἀντάξιος. καὶ μὴ τὸ τοῦ σοφοῦ περιμείνας γράμμα Σειράχ, ἀλλ' ὑπὸ τῆς σφετέρας γνώμης νυγείς, τῆς φιλοίκτου καὶ συμπαθοῦς, ἐπὶ νεκρῷ κατήγαγε δάκρυον· οὐ μόνον γὰρ ἐκλέλοιπε τούτου τὸ φῶς, ἀλλὰ καὶ τὴν ψυχὴν ἐζημίωται· ἀλλ' ὦ φῶς ἡμέτερον, σὺ βασιλεῦ, ὦ πόσα ἔτι ταῖς σαῖς ἤθελον ἐπεντρυφᾶν ἀρεταῖς καὶ τὸν ἐμὸν ἀκαλλῆ τοῦτον λόγον καὶ ἀγλευκῆ τῷ περικαλλεῖ φωτὶ τοῦ προσώπου σου καὶ ἐπὶ πλέον ἐναγλαΐζεσθαι· νῦν δὲ ἀλλ' ὁ τῶν λαμπρῶν τούτων φώτων κοσμολαμπὴς οὗτος καιρὸς βραχὺς οὕτω περὶ τοὺς σοὺς ἐπαίνους ὑφάπλωται, καὶ τὸν μετροῦντα δέ μου τὸν λόγον κρουνὸν τὸ πολύκρουνον τοῦτο ῥεῦμα καὶ Ἰορδάνειον ἵστησιν. οὐκοῦν ἐνταῦθα μὲν οὕτως ἑστήξεται.

18. Ὁ δ' ἡμέτερος καὶ σοφὸς ἀρχιποίμην, ὁ καθ' ἡμᾶς οὗτος Μωσῆς, ὁ ἐξ ὑδάτων βρεφόθεν τῆς βιωτικῆς τύρβης τοῦ θεοῦ σοφίᾳ τῇ ὄντως βασιλίδι ἀναληφθείς, * * ὁ φωτίζων ἡμᾶς φωτὶ γνώσεως (Ὡσηὲ τῷ προφήτῃ καὶ ταῦτα τεθεσπεσιῴδηται), φῶς ταῖς τρίβοις ἡμῶν καὶ λύχνον τοῖς ποσὶν ἡμῶν ὑπανάψας, εἰς τὸ πολυχανδὲς τοῦτο ῥεῦμα καὶ πολύκρουνον μετὰ τοῦ προπορευομένου φωτὸς αὐτὸς ἡμῶν προπορεύεται· καὶ τὸ θεῖον ξύλον καὶ πάντιμον τοῖς σταδαίοις τούτοις νάμασιν ἐμβαλὼν ὁ καθ' ἡμᾶς οὗτος Μωσῆς, καὶ

3 Ἡσ. α', 3. 4/5 τερατ. βούπρωρον] πρβλ. Σοφ. Τραχ. 13. 7/8 παροιμίαν] Corp. paroem. τ. 1, σ. 148, 301. 16 ἧς ὁ κόσμος οὐκ ἔστιν ἀνάξιος] πρβλ. Ἑβρ. ια', 33. 16/17 Σιρ. λη', 16. 28 ἀναληφθεὶς] μετὰ τοῦτο κενὸς ἐν τῷ κώδικι χῶρος 22—27 στοιχείων. 28 Ὡσ. ι', 12. 29 φῶς — ποσὶν ἡμῶν] πρβλ. Ψαλμ. ριη', 105. 32 σταδιαίοις—Μωσῆς] πρβλ. Ἐξόδ. ζ', 19.

7 κ ῶ δ. ἀναισθητίσας. 18 σταδαίοις.

τὸ τούτου δὲ νόστιμον ἅλας τῶν ἀρετῶν προσεπεμβαλὼν κατὰ τὸν προφήτην Ἐλισσαιέ, πρὸς τὸ γλυκύτερον ταῦτα μετασκευάσει καὶ ποτιμώτερον, ὡς καὶ ὕδωρ ζῶν καὶ ἀλλόμενον εἰς τὰς ψυχὰς ἡμῶν γλυκάζον μετοχετεύσει καὶ τῶν παθῶν ἀναψύξει τοὺς καύσωνας· μᾶλλον δ', ἵν' οἰκειότερον εἴπω, ἡ μεγάλη φωνὴ τοῦ Λόγου, ἡ πάντα περιηχοῦσα τὰ πέρατα, ὁ μέγας ἐν πατριάρχαις οὗτος δὴ καὶ σεβάσμιος, ὁ τῷ τῶν προφητῶν σεβασμιωτέρῳ καὶ μείζονι πάντων ὁμότροπος καὶ ὁμώνυμος, ἁγιάσει ταῦτα τὰ ὕδατα καὶ κατὰ τὸν μεγαλοφωνότατον Ἡσαΐαν πρὸς τὸν περιούσιον τοῦτον λαὸν καὶ αὐτὸς ἀναβοήσει τρανότερον· " Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ καὶ πίετε ἄνευ ἀργυρίου καὶ τιμῆς ".

19. Εἰ δὲ καὶ τοῖς ἁγιασθεῖσιν ὁ καθ' ἡμᾶς σὺ μέγας καὶ φωσφόρος ἥλιος, βασιλεῦ, τὸ περικαλλὲς πρόσωπόν σου περιρραντισθῇ, τάχ' ἂν καὶ ὑπὲρ τὸν ὁρώμενον τοῦτον ἥλιον, ὃς καὶ αὐτὸς λαμπρότερον ὡραΐζεται Ὠκεανοῦ λουόμενος ὕδασι, φαυστήριος ἡμῖν ἐπιλάμψῃς φαιδρότερός τε καὶ διαυγέστερος, ἐπεὶ καὶ φωτὸς πλήρη ταῦτα τὰ νάματα καὶ τῶν Ὠκεανείων μένουσι καθαρώτερα· τάχα δὲ καὶ ἡμεῖς ἀπὸ τῶν σῶν ἀκτίνων περιλαμφθείημεν ἀφθονώτερον, φῶς ἐκ σοῦ τοῦ φωτὸς ἀπαρυσάμενοι καὶ ἀπαύγασμα. ἀλλ' εἴης τῇ λαμπρᾷ καὶ περικαλλεῖ σελήνῃ συνανατέλλων καὶ σεμνὰ ταῦτα περιλάμπων ἀνάκτορα εὔθυμός τε καὶ πολυχρόνιος.

2.

Τοῦ αὐτοῦ μονῳδία εἰς τὸν ὑπέρτιμον Νέων Πατρῶν.

1. Ἰδού σοι τὸν τάφον περιϊστάμεθα περίλυποί τε καὶ δακρυόεντες, ὦ σοφώτατε ἀγχίθεε δέσποτα, αἰχμάλωτοι μέντοι καὶ ὡς οὐκ ἂν ἠθέλομεν, καὶ διπλοῦ τοίνυν τοῦ σκύφους τῶν συμφορῶν ἀκράτου τε καὶ πλήρους γευόμεθα· φρεάτια γὰρ πικρασμῶν ἀκενώτων καὶ ὡς ἐξ ἀειρρύτου πηγῆς πολύκρουνος ποταμὸς βαρυσυμφόρως ἄγαν ἡμῖν ἀνορώρυκται καὶ δυστυχῶς πεπλημμύρηκεν. ὦ διπλοῦ πένθους ἐμοῦ, τοῦτο μὲν τὴν πόλιν θρηνοῦντος, τοῦτο δὲ σὲ τὸν ἐμὸν κηδεμόνα τὸν ὑπέρσεμνον. ὦ δυστυχὴς ἐγὼ λογογράφος καὶ βαρυσυμφορώτατος ἄνθρωπος, ὃς οὐκ ἔχω τίνα μὲν τὸν θρῆνον ποῖον δὲ τὸν λόγον ἐπιθείην τοῦ πάθους τῇ πλάστιγγι· πότερον τὸν κοσμικὸν τοῦτον ἀπο-

2 Ἐλισσαιὲ] Βασ. 4, β',20—21. 3 ὕδωρ ζῶν καὶ ἀλλόμενον] πρβλ. Ἰω. δ', 14. 7 ὁμώνυμος] νοητέος ὁ οἰκουμενικὸς πατριάρχης Ἰωάννης ὁ Καματηρός, παραβαλλόμενος ὧδε τῷ βαπτιστῇ Ἰωάννῃ. 9 Ἡσ. νε', 1. 14 Ὠκεανοῦ λουόμενος] πρβλ. Ἰλ. Ε, 6. 21 Κῶδ. φ. 85β—88β || Νέων Πατρῶν] νοητέος Εὐθύμιος ὁ Μαλάκης.

12 κ ῶ δ. περιραντισθῇ. 15 ὠκεανίων. 17 ἀπαρρυσάμενοι. 28 κηδεμόνα] κήδεμα.

κλαύσομαι κλύδωνα, ὃν ἁμαρτημάτων ἐσμὸς ἴσως ἀνεπλήμμυρέ τε καὶ ἀνεμόρμυρε, καί γε τὴν Κωνσταντίνου καὶ τὸ σύμπαν ἐπέκλυσεν, ἢ σὲ θρηνολογήσω πανόδυρτα, τὸ ἐμὸν περιθρύλητον σέμνωμα, τὸν λαμπρὸν ἡμέτερον κόσμον; οὔ πάντως οὐδ' ὁ κόσμος ἦν ὅλος ἀντάξιος, ἐπεὶ μηδ' ἁμαρτημάτων βρασμὸς ἐνταῦθα παρῆν, μᾶλλον μὲν οὖν καὶ ποταμὸς ἐπλήμμυρεν ἀρετῶν καὶ χύμα σοφίας τὴν οἰκουμένην πᾶσαν ἐπήρδευε. πότερον κατάρροπον τὴν πλάστιγγα θήσομαι, τὴν τοὺς ἡμετέρους περὶ σοῦ θρήνους καὶ τὴν τῶν θλίψεων βαρυολκίαν βαστάσουσαν, τὴν ἀτέραν, τὴν κοσμικὴν δηλονότι, μετεωρίσας ἐφ' ἱκανὸν ἢ καὶ ἀμφοτέρας ἰσορρόπους ὡς ἐν τρυτάνῃ ζυγοστατήσω τὰς πλάστιγγας, ἴσα καὶ ἐπ' ἀμφοτέροις θρηνολογήσας τοῖς πάθεσιν; ἀλλ' ἴσως μὲν τὴν τῆς Βύζαντος συμφοράν, ἧς ἡμεῖς αἰχμῇ Βαρβάρων ἁλωτοὶ δειχθέντες ἔξω γεγόναμεν καὶ φυγαδεύοντες ἐμακρύνθημεν, καὶ ῥήτορες ἀποκλαύσονται καὶ Ἱερεμίαι πλεῖστοι θρηνολογήσουσιν· οὐδὲ γὰρ ἂν οἱ τοῦ ἑνὸς ἐκείνου πάλαι κλαυσθέντες ἐπὶ τῇ παλαιᾷ Ἱερουσαλὴμ θρῆνοι καὶ ἐπὶ τῇ νέᾳ τοῦ θεοῦ Ἱερουσαλὴμ καὶ τῷ κοινῷ τούτῳ πάθει πάντως ἀρκέσουσιν. ἐγὼ δέ σου τὸν θειότατον τύμβον περιιστάμενος ὑπέραντλον τοῖς σφετέροις θήσομαι δάκρυσι, καὶ οὔ ποτε λήξω δακρυρροῶν οὐδὲ πενθῶν ἀπαράκλητα παύσομαι, καὶ οὐκ ἂν ὅλος ἀπαλείψῃ τὸ πένθος αἰὼν οὐδὲ πρὸς τὸν εἰκότα θρῆνον ἀρκέσῃ μοι· μενεῖται δὲ νεαρόν, καίτοι χρονίζον, καί ποτε τῷ μακρῷ χρόνῳ καμὸν ἐσεῖται παρ' ἐμοὶ πάλιν ἀνανεούμενον, ὅλῳ πρὸς ὅλον τὸ πάθος μεθισταμένῳ μοι κἀκεῖνα θρηνολογοῦντι καὶ φθεγγομένῳ μοι, ὅσα μᾶλλον ὑπανάπτειν οἶδε τὸ πένθος καὶ πρὸς τὸ περιπαθέστερον κόπτεσθαι.

2. Ἀλλ' ἔλαθον ἐμαυτόν, ὦ θειότατε δέσποτα, ἀπὸ τῆς πρὸς σὲ ταύτης ἐμῆς ἐμπύρου θερμότητος ἐπιρρίψας οὕτω μὲν ἀχανεῖ πελάγει τῆς κατὰ σὲ σοφίας, οὕτω δὲ καὶ βάθει τῆς σῆς πυριπνόου ῥητορείας ἀτλαντικῷ, ἢ καὶ τολμήσας ἀναπτερύξασθαι πρὸς ὕψος ὑπερνεφὲς τῶν σῶν ἀρετῶν καὶ ὄντως ὑπερύψηλον καὶ οὐράνιον, καὶ ταῦτα πτερορρυήσας οἷον καὶ χαμαιπετὴς ὡς τὰ πολλὰ γεγονώς, ἐπεὶ καὶ τοὺς πτερόεντας λόγους ὑπὸ τοῦ τῆς λύπης ἀχανοῦς βάθους καταποντωθεὶς σχεδὸν ἀποβέβλημαι. ὀκνεῖ τοίνυν ὁ ἐμὸς οὗτος λόγος πρὸς ἀνδρὸς ἔπαινον οὕτω μὲν μεγάλου τὴν ἀρετήν, οὕτω δὲ καὶ πρὸς βάθος τε καὶ πρὸς ὕψος ἐπαναβεβηκότος λόγου καὶ διορατικωτέρῳ τῷ βλέμματι τοῦ νοὸς τούτοις ἐγκύψαντος. ὁ δὲ ὄκνος δοκεῖ τέως ἐμοί γε καὶ λίαν ἐπαινετός, καὶ οὐδ' ἄν ποτέ τις τῶν εὖ τε καὶ προσηκόντως στοχαζομένων τὸν ἡμέτερον τοῦτον ὄκνον μωμήσεται· δέδοικε γὰρ ὁ ἐμὸς οὗτος λόγος τὸν

4 οὐδ' ὁ κόσμος ἦν ὅλος ἀντάξιος] Ἑβρ. ια', 38. 28 πτερόεντας λόγους] πρβλ. Ἰλ. Α, 201.

8 κ ὦ δ. μεταιωρήσας. 10 τοῖς] γοῖς. 17 δακρυρροῶν. 29 ἀβάθους. 33 προσηκότως.

ἡμέτερον τοῦτον φωστῆρα, τὸ τοῦ λόγου ταμεῖον, μήποτε μὴ μόνον τῶν ἐγγύς τε καὶ προσηκόντων τῷ μάκαρι λόγων ἅψασθαί γε δυνήσαιτο, ἀλλὰ καὶ μακρὰν ἐκπέσοι νικώμενος. τίς τοίνυν ἀρκέσει μοι λόγος τηλίκην συμφορὰν ἀποκλαύσασθαι; τί τῶν ἐκείνου προτερημάτων δακρύων θήσομαι πρόφασιν; ποία δὲ γλῶττα τέχνῃ στομωθεῖσα ῥητορικῇ τὸν ἐν τῇ σεμνοτάτῃ σοφίᾳ καὶ τῇ πρέσβᾳ σοφιστικῇ περιβόητον ἐποδύρεται; τίς ἐπὶ τῷ κειμένῳ λογογραφεῖν καὶ θρήνους ἐπᾴδειν τῷ μνήματι καὶ λόγοις μονῳδεῖν ἐλεγείοις δυνήσεται;

3. Ἀλλ' ἐνταῦθα τὴν σὴν ἔδει παρεῖναι καλὴν καὶ γλυκεῖαν γλῶσσαν, ὦ σοφώτατε δέσποτα, τὴν δεινὴν μὲν φράσαι γλυκυφραδέστατα, μετὰ κάλλους δὲ σοφιστεῦσαι ῥητορικοῦ δεξιάν, ἀττικιζούσης τε καὶ παρεξεσμένης καὶ οἷον ὑπομειδιώσης τῆς λεκτικῆς· ἐμοὶ δὲ ὀλίγος ὁ λόγος εἰπεῖν ἀσθμαίνοντί σε ὑπὸ τοῦ πάθους καὶ ὑπὸ τοῦ τῶν συμφορῶν βαρυολκοῦς συμφορήματος ἤδη καὶ καταπίπτοντι. ἀλλὰ γὰρ πάρεσό μοι, πολύσοφε καὶ πολυμάκαρ ἀρχιερεῦ· πάρεσό μοι καὶ νῦν, καὶ ὡς ἐπηνώρθους ἡμᾶς ἐν λόγοις σφαλλομένους πάλαι καὶ περιπίπτοντας, γίνου μοι τοῦδε τοῦ λόγου στάθμη τις καὶ διόρθωσις· καὶ λόγον δὸς ἡμῖν ἄνωθεν, ἔνθα σὺ τῷ ὑψίστῳ προσεγγίζων εἶς, ἀγχίθεε δέσποτα, καὶ ἀκούτισόν μοι τὴν φωνὴν τῆς σῆς γλυκείας γλώττης, τὴν ἡδυεπῆ, τὴν μελίγηρυν, γλώττης ἐκείνης μελισταγοῦς παντοίων λόγων ἡμῖν εὐροούσης πηγάς, αἳ πανταχοῦ τῆς οἰκουμένης ὑπερεκβλύζουσαι δροσόεντάς τινας λόγους καὶ μελιρρύτους ταῖς ἁπάντων ψυχαῖς μεθ' ἡδονῆς ἐνεστάλαζον καὶ ἦν ἰδεῖν τοὺς τέως λόγου πλείστου καὶ σοφίας μετειληχότας χανδὸν ἐκροφοῦντας τοῦ μελισταγοῦς ἐκείνου νάματός τε καὶ πόματος. ὦ γλώσσης ἐκείνης ὅλους ἐποχετευούσης ἡμῖν τῶν λόγων ἡδίστους καὶ ποτίμους τοὺς ῥύακας, ἡμεῖς δ' ὥσπερ ἐκ θεοβρύτου πηγῆς ἐκείνης ἐνετρυφῶμεν πλουσίοις ἐκχεομένοις τοῖς νάμασι· γλώττης ἐκείνης κατὰ ποταμὸν ἐκρεούσης ἔπεα πτερόεντά τε καὶ χρύσεα, ἡμεῖς δ' οὐκέτι ψήγματα χρύσεα συνελέγομεν, οἷα τῷ χρυσοδίνῃ φασί τινες παρεισρέεσθαι Πακτωλῷ ποταμῷ, ἀλλ' ὅλων ἐσπῶμεν χρυσέων λόγων τοῖς ἐκείνου καλλυνομένων χρυσέοις ἔπεσιν.

4. Ἐπεὶ δ' ἡ καλὴ καὶ πυρίπνους γλῶσσα σεσίγηκεν (ἀλλὰ πῶς ἀδακρυτὶ λέγειν, ὦ παρόντες, προσκαρτερήσω;) ἐξ ὀφθαλμῶν ἡμετέρων προφθάσασα καὶ κατὰ γῆς ὑπόβρυχα δύνασα καὶ τὸ γλυκάζον γοῦν ἔστη ῥεῦμα τῶν λόγων καὶ ὁ πολυχεύμων ἐκεῖνος τῆς σοφίας κρουνὸς ἐπαύσατο ῥέων, καὶ τὸ λαρὰ δὲ κελαρύζον ὕδωρ τῆς σοφίας σεσίγηκεν, ἐδιψῶμεν (πῶς ἂν ἐρεῖ τις;) καὶ λίαν ὑπερκαῶς, εἴ τινός που βραχυτάτης ἀντὶ τῶν πολλῶν ἐκείνων καὶ

27 χρυσωδίνῃ Πακτωλῷ] πρβλ. Σοφοκλ. Φοιν. 393. Λυκ. 272.

14 εἷς] κ ὦ δ. ἧς. 33 κελαρίζον.

μεγάλων κρουνῶν ῥανίδος αἰσθοίμεθα, κατ' ἴσον ἀνάρρῳ τοῖς διψῶσιν ἀναβλυσθείσης ἡμῖν, ἐγκύψαι οἱ καὶ παραυτὰ τὸ δίψος ἀκέσασθαι. ἐκάμνομεν ὁσημέραι τῆς ἐκείνου γλώττης γλιχόμενοι· πολὺν ἐκείνης τὸν ἔμπυρον ἐτρέφομεν ἔρωτα καὶ ψεκάδα κἂν γοῦν λεπτὴν τοῖς αὐαλέοις καὶ τῷ πυρὶ τῆς δίψης ἐκκαμινευομένοις ἐποθοῦμεν ἡμῖν ἐνσταλάξαι, ἢ καὶ ἀπορρῶγά τινα βραχυτάτην τῶν πλημμυρούντων ἐκείνῳ τῆς σοφιστείας ναμάτων καὶ τῆς γλυκείας γλώττης κρουνῶν. οὕτως ἡμῖν τῆς γλυκυφραδοῦς ἐκείνου γλώττης τοῦ πολυσόφου στερουμένοις καὶ πολυμάκαρος καὶ τῇ συμφορᾷ γοῦν τρυχομένοις καὶ ἀνασχάλλουσιν ἡ σοφὴ βίβλος ἐκείνου, ἧς ἄρα καὶ τὴν ἀντιγραφὴν πολλῷ πόθῳ μακρὸς ἐξ οὗ χρόνος ἡμεῖς ἐπονήσαμεν, παρῆν εὐθὺς ἀκεσώδυνος· ναὶ μὲν γὰρ τῇ σοφῇ βίβλῳ τοῦ ἐν ἀρχιερεῦσιν ἐκείνου πανσόφου μάκαρος ἐνεκύπτομεν καὶ τὸ τοῦ νοὸς διορατικὸν ταῖς ἐγκεκολαμμέναις σοφαῖς συλλαβαῖς καὶ τοῖς πανδήμοις σοφιστεύμασιν ἐπερείδοντες ὡς ἐν καλοῖς τούτοις ἐσόπτροις ἀριπρεπεῖς τινας καὶ θείας ἐμφάσεις τῆς θεοεικέλου καὶ θεοπρεποῦς θέας ἐκείνης ἑαυτοῖς παρυφιστῶντες ἐφανταζόμεθα, καὶ τῆς μελιφραδοῦς ἐκείνου γλώττης καὶ μελιχρᾶς ἡμῖν οἷον ἐνηχούσης περιεκυκλούμεθα, καὶ τῶν σοφωτάτων φωνῶν ἐκείνης ἐπιδεδράγμεθα. παρ' αὐτῇ δὲ τῇ πηγῇ τῶν χαρίτων παρακαθήμενοι ἀμφοτέραις ἠντλοῦμεν ὅσα χρηστὰ ψυχῆς καὶ σωτήρια ὅσα σώματος, κἀντεῦθεν φῶς ἡμῖν θείας ἐνεπυρσεύετο γνώσεως, καὶ εἰ μὴ τελέως βραχὺ δ' οὖν ὅμως παρεμυθούμεθα.

5. Ἀλλ' οἴμοι· σκύλευμα γὰρ καὶ τοῖς τὴν Βύζαντος (ἀλλὰ γὰρ πῶς καρτερῶ καὶ λέγειν ἢ γράφειν ταύτης τὴν συμφοράν;) ἐαλωκόσι Βαρβάροις καὶ τῆς σοφῆς ταύτης βίβλου προσγενομένης, πόσον ἐπὶ μᾶλλον ἡμᾶς οἴεσθε, ὦ συγγενὲς ἡμέτερον ἄθροισμα, ἐμπλησθῆναι τῶν συμφορῶν, αἳ καὶ ὑπερχειλῆ κρατῆρα τῆς ἀθυμίας καὶ ἄκρατον ἡμῖν καὶ παραπικραίνοντα τὸν σκύφον ἐκίρναντο; καὶ ἡμεῖς δὲ τοῦ πικροῦ τούτου κράματος ἐς κόρον ἐνεφορήθημεν. ὦ γὰρ ποσάκις μὲν ἐνεκαρτεροῦμεν τῇδε τῇ σοφῇ προσλαλοῦντες βίβλῳ, ποσάκις δὲ καὶ τὸ τὴν ψυχὴν ἀθυμοποιοῦν καὶ τὸ καρδιῶττον παρεμυθούμεθα, μεγίστας ἐκεῖθεν γλυκυθυμιῶν ἀφαρπάζοντες ἀφορμὰς κἀντεῦθεν καὶ τὴν παραπικραίνουσαν ἡμᾶς θλῖψιν τῇ γλυκύτητι παρακιρνῶντες τῶν λέξεων καὶ τὸ λυποῦν ἀπαμβλύνοντες. ὦ σοφιστευμάτων ἐκείνων γλυκυφραδῶν, ὦ ῥημάτων ἡδυεπῶν· ὦ γλώττης λιγυρὰ φθεγγομένης καὶ τὰ πολλὰ δυναμένης καὶ τοὺς συνετοὺς ἀκροατὰς ταῖς τῶν λόγων χάρισι πλεῖν ἢ τοῖς

15 ἐσόπτροις] Ἀντιαττικιστὴς παρὰ τῷ Cramer, Anecd. gr. 1, σ. 102, 10 ‖ ἀριπρεπεῖς] πρβλ. Ἰλ. Θ, 555—556. Ὀδ. θ' 176.

1 κ ῶ δ. ἀνάρω. 1/2 ἀναβλυσθείσης] ἀναβληθείσης. 2 ἐγκύψαιοι. 14 ἀριπετεῖς. 16 περικυκλούμεθα. 17 ἐπιδεδράχμεθα. 23 οἴεσθαι.

κρούμασιν Ὀρφεὺς ἐφελκύσασθαι καὶ πολὺ μὲν ταῖς ψυχαῖς τὸ κέρδος, μέγαν δὲ καὶ ταῖς ἀκοαῖς ἐνθησαυρίσαι τὸν γάργαλον. ἔτι γὰρ ἡ τῆς μελιστάγοῦς ἐκείνης τοῦ ὑπερτίμου γλώττης ἠχὼ καὶ ἡ γλυκύτης τῶν λέξεων, ναὶ μὴν καὶ τὸ σοφιστικὸν ἐκεῖνο μέλος εὔστροφόν τε καὶ ἐναρμόνιον, ἐμβομβοῦσί μου τὰ ὦτα· ἐγκάθηνται δέ μου καὶ τῇ ψυχῇ, καὶ τῶν λογικῶν ἐκείνου χαρίτων οὐκ ἐπιλέλησμαι, αἵ μοι καὶ τὸ τῶν λόγων ἄφθονον νᾶμα προσεχορήγουν καί μου τὸν ἄνικμον νοῦν νοστίμοις ὕδασι λόγων μεθ' ἡδονῆς ἐπότιζον καὶ κατήρδευον.

6. Ἓν μοι τῶν λυπηρῶν παραμύθιον καὶ μία τούτων παραψυχή, τὸ θεῖον μνῆμα τοῦτο τοῦ ἐμοῦ φωστῆρός τε καὶ σεμνώματος καὶ ἡ τοῦ παναγίου σκήνους ἐκείνου θειοτάτη σορός· πρὸς ὃ δὴ μνῆμα, εἰ καὶ κατὰ τὸν τῆς βροντῆς ἐκεῖνον υἱόν, τὸν ἐπιστήθιον καὶ πιστότατον μαθητήν, τὸν παρ' Εὐαγγελίοις τάχιον τοῦ Πέτρου ἐπὶ τὸ μνῆμα προσδραμόντα Χριστοῦ, καὶ αὐτὸς ὠκυδρομήσας καὶ τὰ πολλὰ ταχύνας ἐπέδραμον, ἢ καὶ κατὰ τὰς σεμνὰς μυροφόρους, τὰς τὸ κυριακὸν σῶμα σπευδούσας μυραλοιφῆσαι, τὸν αὐτὸν δὴ τρόπον καὶ αὐτὸς μὴ τὸ πανίερον σῶμα τοῦ φωστῆρος ἐκείνου καὶ μάκαρος ταῖς σφετέραις χερσὶν ἀρωματίσαι δεδράμηκα, πλὴν ἀλλ' ἕτερόν τινα τρόπον τὰ μύρα τε προσφέρω τῷ μνήματι καὶ παντοδαπὴν τούτῳ τὴν ἀρωματοφορίαν ἀποπληρῶ, τὴν περὶ ἐκεῖνον πίστιν παρυπεμφαίνων καὶ τὸ σφοδρὸν τοῦ πόθου παραδεικνύς, ψυχῆς κίνημα προθυμότατον, καρδίας ταχυδρόμου διάθεσιν, τρόπον εὔνουν καὶ πρὸς τὸν ἐμὸν δεσπότην δουλόσυνον ὀφειλέσιον· καὶ (πῶς ἂν ἐρεῖ τις;) ἐκθύμως θερμῷ τῷ πόθῳ φιλονεικῶ τὸν ἐπιπωμάζοντα τοῦτον ἀρθῆναι λίθον τοῦ μνήματος, ἐπεὶ καὶ μᾶλλον τῶν λοισθίων ἐκείνου καὶ τῶν πρὸς τὴν ἄνω λῆξιν ἀπὸ τῶν ἐνθένδε θείων ἐξιτηρίων, ναὶ μὴν καὶ τῶν εὐκτηρίων τῆς ἐκείνου περιπνόου γλώττης φωνῶν καὶ τῆς εὐλογίας διήμαρτον. καὶ καλὸν περὶ τὸ θεῖον μνῆμα τοῦτο καὶ ἱερὸν γίνεται τὸ σπούδασμα καί τινα πολυέπαινον πλεονεξίαν ἀποπληρῶ, ἀπλήστως τε καὶ ὑπερκαῶς τοῦ πράγματος ἔχομαι καὶ τὴν ἀγγελοπρεπῆ θέαν ἰδεῖν ἐκείνην ἐπιποθῶ· κέχυται γάρ μοι περὶ τοῦτο ψυχῆς ἅπαν νόημά τε καὶ κίνημα καὶ καρδίας σφύζει μοι πρόθεσις, ἵν' ὅλῳ τῷ καθαρῷ τοῦ μάκαρος σώματι περίδακρυς ὅλος περιχυθῶ, χείλη τε τούτῳ περιθήσω καὶ σιαγόνας καὶ ὀφθαλμοὺς περιάψωμαι, συμφυῆ δέ μοι καὶ τὸ λοιπὸν ἅπαν μέρος καὶ μέλος τοῦ σώματος τῷ πανσέπτῳ νεκρῷ τοῦ μάκαρος προσκνυζώμενα, ὡς παμμελῆ τὴν ἴασιν καὶ τὸν ἁγιασμὸν τῆς ψυχῆς πληρέστατον δέξωμαι.

12 βροντῆς υἱὸν πρβλ. Μάρκ. γ', 17. 13 πρβλ. Ἰω. κ', 4. 15 πρβλ. Ματθ. κς', 12. Μάρκ. ιδ', 8. Ἰω. ιβ', 7.

4 κ ῶ δ. ἐμβοβοῦσι.

7. Καὶ ταῦτα μὲν ἀκραιφνὴς πίστις συναναγκάζει καὶ πόθος δουλοπρεπὴς τῆς ἀγγελοπρεποῦς ἐκείνου καὶ πανιέρου θέας καὶ ἀρετῆς· εἰ δὲ τὸν ἐπιπωμάζοντα λίθον τοῦ μνήματος οὐχ ὅσιον ἀρθῆναι δοκεῖ πως καὶ εὐπρεπὲς κἀντεῦθεν ἐν ἀπόρῳ κεῖταί μοι τὰ τοῦ πράγματος, οὐχ οἷός τέ εἰμι ἀποπληρῶσαι τὴν ἔφεσιν, ἀπόχρη κἂν γοῦν τὴν παναγῆ τε καὶ πανυπέρτιμον θεάσασθαί οἱ τὴν ὁσίαν ταφὴν καὶ τὸν λίθον τοῦ μνήματος, καὶ εἰ μὴ τὸν ἔνταφον, ἀλλά γε τὸν ἐπικείμενον τούτῳ χοῦν ἀποψήσασθαι, θεῖναί τε περίαμμα ἔγκολπόν τε καὶ περιστέρνιον, ψυχῆς σωτήριον περιφύλαγμα, σώματος καθαρτήριον, ἡγεσίαν πρὸς τὰς τοῦ βίου τρίβους τὰς σκολιὰς ἀπλανῆ, λυμαντικοῦ παντὸς ἀποσόβην, ὁλοθρεύοντος ἀμυντήριον· μαινοίμεθα γὰρ ἂν ἄντικρυς καὶ πόρρω τοῦ καλοῦ πίπτοιμεν καὶ τοῦ πρέποντος, εἰ τὴν σποδὸν τῆς δαμάλεως πάλαι μαθόντες ἔχομεν μόνον ῥαντιζομένην γίνεσθαι τοῖς κεκοινωμένοις καθάρσιον, τὴν δέ γ' ἐπανθοῦσαν κόνιν τῷ λίθῳ τοῦ μνήματος τοῦ καθαροῦ τοῦδε καὶ ἀρρυπάντου σώματος μὴ καθαρτικὴν εἶναι ψυχῶν, μὴ δύναμίν τε προϊέναι ἰάτειράν τινα καὶ τερατουργὸν καὶ κοινωφελὲς ἀγαθὸν εἶναι καὶ πάνδημον.

8. Ἀλλ', ὦ ἀρχιερέων καὶ θειότατε καὶ σοφώτατε, δι' ὃν καὶ λόγων τούτων ἐλεγείων ἐμοὶ καὶ θρηνημάτων τόσων ὑπόθεσις, τίνα ταύτην ἄγεις σιγήν; καὶ ἡμεῖς μέν σου τὸν πανίερον τοῦτον τύμβον περιλαλοῦντες κλαυθμοὺς καὶ θρήνους ἐγείρομεν, δακρυρροεῖν δὲ καὶ τὸ παρεστὼς τοῦτο καὶ περιφανὲς ὀτρύνομεν ἄθροισμα· σοῦ δὲ τὰ μελισταγῆ μέμυκε χείλη καὶ ἡ γλυκυφραδὴς ἐκείνη γλῶσσα σιγᾷ. μὴ τῷ ὑψίστῳ προσεγγίζων θεῷ καὶ τοῖς σοφοῖς καὶ θείοις συμπαραστατῶν ἀρχιερεῦσι θεοῦ νῦν μὲν τῷ χρυσῷ τὴν γλῶτταν προσδιαλέγῃ, τὰ ψυχωφελῆ τούτου θαυμάζων καὶ συγγράμματα καὶ πονήματα, νῦν δὲ τὴν θεολόγον γλῶτταν προσεπαινεῖς καί οἱ τὸ τῆς σοφιστείας ποικίλον ἐκθειάζεις καὶ εὔστροφον; ἢ τὸν νοῦν πρὸς τὴν τῶν δογμάτων ἄσειστον βάσιν καὶ ὄντως βασίλειον τρέψας ἔχεις καὶ τὰ πολλὰ τούτῳ προσομιλεῖς, αἰδῇ τε τὸν ἄνδρα τῆς ἀρετῆς καὶ τοῖς ἐπαίνοις τούτου προσκαρτερεῖς; τούτους γὰρ καὶ θαυμάζων ἐπῄνεις ἔτι ζῶν καὶ φθεγγόμενος, τούτοις δὲ καὶ προσετετήκεις σχεδὸν καὶ ὁσημέραι ταῖς σοφαῖς τούτων βίβλοις ἐγκύπτων οὐκ ἀνίης κατέχων ταύτας ἐν ταῖν χεροῖν καὶ πᾶν ἀναλεγόμενος εἴ τι κάλλιστον καὶ σωτήριον.

9. Ταῦθ' οὕτως ἔχει, ἢ μόνῳ προσανέχῃ θεῷ καὶ τοῖς θείοις τούτοις

10/11 σφοδρὸν — ῥαντιζομένην] πρβλ. Ἑβρ. θ', 13.

8 κ ῶ δ. ἀλλ' ἄγε. 9 καθαρτήριον] καθαρώτερον 14 ἀριπάντου. 20 παρεστὸς. 23 τῷ χρ. τὴν γλῶτταν = Χρυσοστόμῳ. 25 θεολόγον γλῶτταν = Γρηγόριον τὸν Θεολόγον. 27 βασίλειον Βασίλειον τὸν Μέγαν.

καὶ ἱεροῖς συμπαραστατῶν ἀρχιερεῦσι θεοῦ τὸν κοσμικὸν τοῦτον συνικετεύεις παύσασθαι κλύδωνα, ὃν ἁμαρτημάτων ἡμετέρων αὖραι συρρήξασαι μέγα τε συμπνεύσασαι καὶ τυφωνικὸν καὶ τετριγὸς ὀλέθριον, φονικὸν ἡμῖν ἐμπνέοντα καὶ ἄγριον ἐπήγειρον καὶ χαρώνειον; ὃν δὴ κλύδωνα τοῖς σοῖς νοεροῖς καὶ διορατικωτάτοις προϊδὼν ὀφθαλμοῖς κατὰ τὸν θεῖον καὶ ἱερὸν Σαμουὴλ (ὅλος γὰρ καὶ σὺ δοτὸς τῷ θεῷ καὶ προβλέπων τὰ ἔμπροσθεν) φθάνεις μὲν ὑπερφρονῆσαι τῶν εἰς γῆν συρομένων, τῶν χαμαιζήλων τῶνδε καὶ καθ' ἡμᾶς, πρὸς δὲ τὸ θεῖον καὶ οὐράνιον ὕψος ἀναδραμεῖν, ὁ οὐράνιος ὄντως ἄνθρωπος· οὐδὲ γὰρ ἔφερες, θειότατε δέσποτα, τοῖς ζῶσι τέως συγκαταλέγεσθαι καὶ τὸ κοσμικὸν τοῦτο σκάφος ὁρᾶν οὕτω κλυδωνιζόμενον, ἅτε δὴ ὑπὸ τῶν ἀναβραζομένων ταῖς ἡμετέραις ἀνομίαις ἀλλεπαλλήλων κυμάτων ἤδη καταρροθούμενον καὶ πρὸ τῆς ὥρας καταποντούμενον καὶ τὴν φθορὰν ὑπισχνούμενον. οὕτω τούτοις ἐνασμενίζων καὶ ὅλος προσανέχων θεῷ παρὰ τοῦτο θρηνολογούντων οὐκ ἐπαΐεις ἡμῶν, ὡς ἀπὸ γῆς φωνούντων καὶ ταπεινά τινα φθεγγομένων πρὸς σὲ τὸν μετ' ἀγγέλων ὑμνολογοῦντα θεὸν καὶ μετὰ Παύλου φωνοῦντα καὶ ὑψόθεν βροντῶντα, καὶ παρὰ τοῦτο οὐχ ἡμῶν ἐμπάζῃ τῶν δούλων καὶ προσγενῶν, οὓς ἐξ ἀγκαλῶν βρεφοκομήσας τῶν μητρικῶν ἐν καλῷ καταρτίσας ἔχεις, ἐν εὐθέσι τρόποις παιδεύων, ἔργοις ῥυθμίζων ἐν ἀγαθοῖς, εἰς βίου διευθύνων σεμνότητα, εἰς ἦθος εὔρυθμον καταρτίζων, παντοίοις σοφίζων μαθήμασι, τέχνῃ στομίζων ῥητορικῇ καὶ εἰς παντοῖον εἶδος λόγου προσακονῶν.

10. Ἡμεῖς δὲ τὸ πᾶν ὅπερ ἐσμέν (ἀλλὰ μαρτύρεσθέ μοι πᾶς ὁ σεμνὸς καὶ περίδοξος οὗτος χορός, οἶδε δὲ πάντως καὶ ἡ σὴ θεία ψυχή), τῆς σῆς σοφῆς παιδείας ἐπιγραφόμεθα καὶ εἴπερ ἄλλο τι τῶν ἁπάντων ταύτῃ σεμνούμεθα. οὐκ ἀπόχρη δὲ ταῦτα, ἀλλὰ καὶ ὅσον πρὸς ἰσχύος ἔστιν ἡμῖν εἰς οὐκ ἐλάχιστον τιθέμεθα σπούδασμα κατόπιν τῶν σῶν θεοδρομημάτων εὐθύνεσθαι, ἀκριβῆ τε φέρειν ἡμᾶς εἰκόνα τῶν κατὰ σέ, ἐπεὶ καὶ μᾶλλον αὕτη παντοδαπῶν ἀρετῶν ποικίλοις διεμάρμαιρε χρώμασι, καὶ θέλομεν ταύτην μὲν μετεγγράψαι ἐν ἑαυτοῖς, ἀκριβῶς φιλοτεχνηθεῖσαν ἐς τὸ ἀρχέτυπον, ὁλοκληριάζουσάν τε καὶ ἀπαράλλακτον καί σοι πάντα τρόπον ἐνδάλλουσαν. πλὴν ἀλλὰ στενός τις ἄγαν ὁ πίναξ ὁ ψυχικὸς καὶ οὐδ' ὁ ζωγράφος νοῦς οὕτω ποικίλλειν οἶδεν ὡς σὺ καὶ συγκεραννύειν τὰ χρώματα· σὺ γὰρ πάντα τὰ κάλλιστα συλλαβών, ὅσα τὸν ἐντός, ὅσα τὸν ἔξω κοσμοῦσιν ἄνθρωπον, καὶ τεχνικῶς πρὸς ἄλληλα ταῦτα συγκερασάμενος τὴν σὴν εἰκόνα χαρίτων λειμῶνα διεμορφώσω παντοδαπῶν ἀρετῶν ποικίλοις βάμμασί τε καὶ χρώμασι, καὶ εἰς τέλεον ἐξετελέσθης τὸν ἄνθρωπον καὶ οἷον ἀρχῆθεν αἱ πλαστουργοὶ χεῖρες τοῦ

6 πρβλ. Βασιλ. 1, α', 12. 16 φωνοῦντα] πρβλ. Πράξ. ις', 28. 35 εἰς τέλειον — ἄνθρωπον] Ἐφεσ. δ', 13.

4 κ ῶ δ. ἐπίγειρον. 18 καταρτήσας.

θεοῦ διεπλάσαντο, εἰ μὴ καὶ μείζονα λέγειν ἔχει τις· ἐπεὶ μὴ τὴν πρώτην ἐντολὴν παρέβης θεοῦ, μηδὲ τὴν πρώτην γεγύμνωσαι γύμνωσιν, μᾶλλον μὲν οὖν καὶ τὴν ἀρχιερατικὴν καὶ πρώτην περιεβάλου στολήν, ἀληθὴς μαθητὴς γεγονὼς τοῦ πρώτου ἀρχιερέως καὶ σωτῆρος Χριστοῦ.

11. Οὐκ ἦν γάρ, ὦ περίδοξον ἄθροισμα, ὁ μέγας οὗτος ἐν ἀρχιερεῦσι φωστὴρ τὸν σώφρονα σωφρονιζόμενος, αὐτὸς ἴσως μὴ σωφρονῶν, ἀλλ' ἦν ἀληθῶς σώφρων καθαριεύων τῷ πνεύματι. οὐκ ἔκαμνε καθ' ἑκάστην σχεδὸν ἐπισκεπτόμενος τοὺς ἐν φυλακαῖς καὶ τὰ ἐνδέοντα τούτοις προσεπαρκῶν. δαψιλὴς ἦν τοῖς πενομένοις προμήθεια, ἀπαρέγκλιτος στάθμη τῆς Θέμιδος καὶ ὑπὲρ τὰς ἀπὸ στιγμῆς εὐθείας γραμμὰς καὶ τὰς γεωμετρικὰς ἁπάσας ἰσότητας· στερρὰ τῶν ἀδικουμένων ἀντίληψις, καὶ μηδ' ἂν εἴ τι καὶ γένηται μεθήσειν τὸν ἀδικούμενον ἔφασκεν ὀδυνηρῶς οὕτω πάσχειν καὶ λυπηρῶς, ἕως ἂν τὴν παρ' αὐτῷ γλυκεῖάν τε καὶ χαρίεσσαν Θέμιδα γλυκὺ παρασκιρτῶσαν τῷ πάσχοντι καὶ προσμειδιῶσαν ὑπέφηνεν. ὦ οἷος ἡμῖν δικαιοσύνης ἔλαμπεν ἥλιος ἐξ οὐρανοῦ οἷον διακυπτούσης καὶ φωταγωγούσης ἅπασαν τὴν ὑφ' ἥλιον· ὦ οἷα λαμπὰς ἀληθείας ἐκ γῆς κατὰ τὸν Ψαλμῳδὸν ἀνατέλλουσα εἰς γῆν αὖθις ἐκρύβη τε καὶ ἀπέσβεστο. ὦ πόσαι μὲν περιεστοίχουν τὸν ἡμέτερον ἥλιον Ἀρεταί, ὁπόσαι δὲ περιεχόρευον Χάριτες, περιεκύκλου χορός, ὡς ἐντεῦθέν τις γεωμετρικούς τινας κύκλους ἂν ἐθεάσατο καὶ περικύκλους ἅμα καὶ ἐπικύκλους καὶ τὸ τετραγώνου δὲ σχῆμα κατὰ τοὺς σοφοὺς γεωμέτρας προσδεχομένους τῷ στερρῷ τοῦ φρονήματος· ἡ γὰρ ἐκείνῳ τετρακτὺς καὶ πρώτη τῶν ἀρετῶν τοῦ λοιποῦ χοροῦ τῶν Ἀρετῶν προεξῆρχε καὶ τῶν Μουσῶν καὶ τῶν Χαρίτων προὐκάθητο, ὁ δ' ἀρεταίνων ἐκεῖνος καὶ πάμφωτος ἥλιος ἀκτῖνας ἐκ μέσου κύκλωθεν ἦν ἐπιπέμπων ἡλιακὰς ὡς ἀπὸ κέντρου γραμμάς, ἐμέ τε καταφωτιζούσας καὶ ἅπαν καταλαμπούσας τὸ συγγενές.

12. Ἀλλ' οἴμοι καὶ τοίνυν οὗτος ἀπέκρυπτο, τίσιν οὐκ οἶδα νέφεσιν ὑποκαλυφθείς, κἀντεῦθεν ὡς ἐν ἀσελήνῳ νυκτὶ καὶ βαθυτάτῳ σκότει πλαζόμενος περιφέρομαι. ἀλλὰ πῶς ὑποίσω τὸ πάθος; πῶς τὴν τοσαύτην συμφορὰν ἀποκλαύσομαι; πῶς τὸ τοσοῦτον τῶν εἰσφρησάντων μοι κακῶν ἐκτραγῳδήσω συμφόρημα; τὸ στερρὸν τοῦ γένους ἔρεισμα πέπτωκεν, ἡ λαμπρὰ τούτου κόσμησις ἐπιλέλοιπεν. κέκλεισται τῶν ἀρετῶν τὸ ταμεῖον· ἡ στάθμη τῆς δικαιοσύνης ἀφήρπασται· τὸ φαιδρὸν τῆς σωφροσύνης ἀγλάϊσμα περιῄρηται· τὸ τῶν Μουσῶν οἴχεται καταγώγιον· τὸ τῆς δικαιοσύνης κέκρυπται κόσμημα· ὁ εὐπρεπὴς τῆς Ἐκκλησίας κόσμος ἠφάνισται, τὸ κοινωφελὲς καὶ

14 δικαιοσύνης ἥλιος] Μαλαχ. δ', 2. 16 Ψαλμῳδὸν] πρβλ. Ψαλμ. πδ', 11.

3 κ ὦ δ. περιεβάλω. 19 γεωμετρικοὺς] γεωμετρικαί.

πάνδημον χάρισμα, τῶν θείων ἀνακτόρων ὁ ἀρχηγός. ἐπειδή, κἂν μὴ τῷ θρόνῳ, ἀλλά γε δὴ φρονήσει παντοίᾳ καὶ σοφίᾳ παντοδαπῇ καὶ ἁπάσαις ὁ μέγας ἐκεῖνος ἐπιλάμπων ταῖς ἀρεταῖς, τῆς συνόδου πάσης προὐκάθητο, παρὰ ταῦτα δὴ καὶ προτιμώμενος καὶ προθρονιζόμενος· δεῖσαν γὰρ ταύτην λόγοις εἰπεῖν, δίκαιόν τε κρῖμα στοχάσασθαι καὶ γνώμην ὀρθὴν ἀποφήνασθαι, μόνον ἦν διαστεῖλαι τὰ χείλη συνόδῳ μέσῃ συνθεμιστεύοντα τὸν ὑπέρτιμον καὶ παραυτὰ τοῖς λόγοις τούτου ξυνείπετο καὶ ξυνεγνωμάτευε. καὶ ἦν ἡ ἐκείνου πυρίπνους γλῶσσα γλῶσσα συνοδικὴ καὶ τοῦ ἑνὸς ἐκείνου στόμα τὸ σοφόν τε καὶ μελιχρὸν καθέδρας ὅλης στόμα πρεσβυτικῆς καὶ τοῦ ἱεροῦ συνεδρίου βάσις ὄντως καὶ στήριγμα. ναὶ μὲν γὰρ αὕτη τῆς σοφῆς ἐκείνου καὶ γλυκείας γλώττης ἐξήρτητο, ἐπεὶ καὶ πλεῖσται χάριτες λόγων τοῖς ἐκείνου χείλεσιν ἐξεχέοντο, καὶ ταύτης ἦν κανών τε καὶ στάθμη πρεσβυτικὴ καὶ ὄντως θεόπνευστον ἐγκαλλώπισμα. καί ποτε μεγάλου κλύδωνος ἐμπεσόντος αὐτῇ καὶ τῆς θείας καὶ ἱερῆς κιβωτοῦ, τῆς τοῦ θεοῦ Σοφίας, τοῖς ἀλλεπαλλήλοις κύμασι ταραττομένης τῶν ἀντιθέσεων, ἐκεῖνος (ὦ τῆς σοφῆς καὶ πυριπνόου γλώττης ἐκείνης καὶ μελιχρᾶς, ὦ πλούτου σοφίας, ὦ βάθους γνώσεως) ἐκ μέσου ταύτην τοῦ κλύδωνος καὶ τῶν κυμάτων ἀνείλκυσεν. οἶδας ὁ ἱερὸς σύλλογος καὶ ὁ περίδοξος οὗτος χορὸς ἐκεῖνον δὴ τὸν κλυδωνισμόν, ὃν δογματισταὶ καινοί τινες ἀνερρίπισαν, δεινὸν δέ γε καὶ ἀλλεπάλληλον ἡμῖν ἐπήγειραν τῶν κυμάτων τὴν ἐπανάστασιν.

13. Οὕτως ἐφ' ἅπασιν ἀρεταίνων ὁ μέγας αἰδέσιμος ἦν καὶ παρὰ πάντων διὰ τὸν λόγον σεβόμενος· οὕτω παρὰ πᾶσιν ἔκειτο στόμασιν, οὕτω παντοῦ θρυλούμενος ἦν καὶ πρὸς τὰ τῆς οἰκουμένης ἔφθανε πέρατα. οἵ γε μὴν βασιλεῖς καὶ τὸ περίδοξον προσγενὲς καὶ βασίλειον πολλοῦ τιμῶντες ἦσαν καὶ τοῦ παντὸς ἀνταλλάττοντες· τίνι γὰρ τῶν ἁπάντων ἠγνόηνται ὅσαι τῷ μεγάλῳ χρηστὰι πράξεις ἐπέλαμπον καὶ ὡς κράτει λόγων ἁπάντων σοφιστῶν ὑπερίπτατο; ὦ λόγων χάριτες μετ' ἐμβριθοῦς τινος τῆς συνθήκης καὶ μεθ' ὅσης τῆς γλυκύτητος ᾄδουσαι· ὦ νοῦς οὐράνιος, νοῦς ἀσύγκριτος· ὦ διανοίας μέγεθος, ὦ νοὸς εὐπορία, ὦ νοημάτων συνεχεῖς καὶ ἀλλεπάλληλοι ἐπιστοιβασμοί· ὦ γλῶσσα γλυκυφραδὴς καὶ πυρίπνοος, τῇ τοῦ νοὸς ὀξυκινησίᾳ συντρέχουσα καὶ τοῖς ἀθροιζομένοις διακονοῦσα νοήμασι καὶ μελισταγεῖς οὕτω τοὺς λόγους καὶ κατὰ ποταμὸν ὠκύρροον ἀποστάζουσα. οὐδὲ γὰρ ἦν τῷ μεγάλῳ καιρὸς ἐνθυμημάτων, ἀλλ' οὐδὲ χρόνος νοήσεως, ἀλλ' ἐν ἀκαρεῖ ταχύτερον ἀστραπῆς ὡς ἐξ οὐρανοῦ οἷον τοῦ σφετέρου καὶ οὐρανίου νοὸς τοὺς λόγους ἠφίει, πυκνότερον ἀστραπηβολῶν ταῖς ἀθροιζομένων ἐνθυμημάτων καὶ νοημάτων λαμ-

16 ὦ πλούτου σοφίας, ὦ βάθους γνώσεως] Ἐφεσ. ια', 33.

13 κ ὦ δ. ἐγκαλώπισμα. 32 ὠκύρρον.

πρότησι. κἀγὼ μὲν πρὸς τὸ γράφειν ἐς ὅσον ἦν τάχος τοὺς δακτύλους ἐπέτεινον καὶ (εἰ περιττόν τι φράσαι καὶ κομπηρόν) γραμματέως κάλαμος ὀξυγράφου ὁ ἐμὸς κάλαμος ἦν· ἀλλ' οὐδ' ὡς ἐξήρκουν οἱ κοῦφα πρὸς τὸ γράφειν πεταννύντες τῆς σφετέρας δάκτυλοι δεξιᾶς, ἀλλ' ἦσαν ἡμίση τὰ τῶν στοιχείων χαράττοντες, ἀλλόκοτά τινα καὶ δυστέκμαρτα τὰ γράμματα σημαινόμενοι. πυκνοὺς γὰρ ἐκεῖνος καὶ ὑπὲρ τὰς χειμερινὰς νιφάδας ἠφίει τοὺς λόγους, ὡς ἀπό τινος βιβλίου ἀναλεγόμενος καὶ τὰ διπλᾶ περικλύζων τοῖς κρουνοῖς τῶν λόγων ἀνάκτορα. ἀλλ' ὦ πόσα τῶν ἐκείνου προτερημάτων παρατρέχων ὁ λόγος οὐκ ἔχει πάντως συγγράψασθαι· ὦ πόσων χαρτῶν φακέλους εἶχον ἐπιστοιβάσαι, εἰ τὰς ἀρετάς, ὁπόσας ὁ μέγας ἐκεῖνος ἀρχιερεὺς ἐπλούτει, ὁ λόγος εἶχε διενεγκεῖν· οἶ(μαι γὰ)ρ ὡς μέγαν ἂν ἐκ τούτων καὶ προσκορῆ τὸν λόγον συνεστησάμην καὶ ταῖς ἀκοαῖς ὡς ὄντως πολέμιον· ἀλλ' εἴργει με νόμος οὗτος ῥητορικὸς καὶ στενοῖ μου τὴν γλῶτταν καὶ βραχυλογεῖν ἀναγκάζει με, ἔθεσι βραχυτέροις καὶ μικροῖς τισιν ὅροις περιγραφόμενος· ἐθέλει γὰρ τηρεῖσθαι πάντως ὁ νόμος οὗτος ὡς τὰ πολλὰ καὶ ὁπότε τοὺς οἰκείους κειμένους περιπαθέστατα μονῳδεῖ καὶ ὁπότε δακρυόεντας λόγους ἐλεγείοις γράμμασι μελετᾷ.

14. Ἀλλ' ὦ τί σου πρῶτον θρηνήσω, σοφώτατε καὶ ἀγχίθεε δέσποτα; τί δ' ἐποδύρωμαι δεύτερον, τί δ' ὕστατον ἀποκλαύσομαι, ὦ ἡμέτερον καύχημα, ὦ περίδοξον σεμνολόγημα, ὦ περιθρύλητον ἡμέτερον μεγαλαύχημα, ἤθους παντὸς ἐπανόρθωσις, ψυχῆς ἐμῆς ἐπικόσμησις; σύ με γὰρ καὶ βίῳ σεμνῷ καὶ λόγοις παντοίοις καὶ ἤθεσι χρηστοῖς βρεφόθεν ἀνήγαγες καὶ πᾶσι τρόποις ἐπλούτισάς τε καὶ συνεδόξασας· καὶ ἵνα τὰ πολλὰ συνελών, ὦ περίδοξον ἄθροισμα, διὰ βραχέων ἐπιτροχάσω τὸ πᾶν· τοῦ Νέων Πατρῶν εἴρηκέ τις ἐμὲ μόνον ἀδελφιδοῦν, καὶ παραυτὰ σέμνωμά μοι τ(ὸ ῥ)ῆμα τοῦτο μόνον ἐπῆν· καί γε τὸ ῥῆμα τοῦτο οἷα δὴ πτερύσσον ἀπανταχῇ με περίβλεπτον ὡς προσγενῆ τούτου παρέπεμπε καὶ οὔτε γένος ἐντεῦθεν διηρευνᾶτό μου, οὔτε λόγος οὔτε τις τρόπος ἕτερος ἐξητάζετο, ἀλλ' ἤρκει μοι μόνον τὸ προσγενὲς εἰς πᾶν ὅ τι τίμιον. τό γε μὴν λοιπὸν συγγενὲς τούτῳ μόνῳ ἢ τῷ γένει καὶ τοῖς τρόποις ἐνεδέξατο, καὶ ταῦτα τῶν εὖ γεγονότων ὂν καὶ περιφανές, ταῖς πρώταις τε σεβαζόμενον τῶν τιμῶν καὶ παντὶ τρόπῳ περιδοξούμενον. τοιοῦτος ὁ ἐμὸς φωστὴρ ἀπανταχῇ τῆς οἰκουμένης διέθεε, καὶ οὐ μόνον αὐτὸς ἑαυτὸν ἐκόσμει, οἷς πολλοῖς ἐκεῖνος ἐπλούτει τοῖς ἀγαθοῖς, ἀλλὰ καὶ τοῖς τούτῳ προσῳκειωμένοις ἀφορμὰς ἐδίδου κοσμεῖσθαι καὶ παρὰ πάντων αἰδεῖσθαι καὶ περι-

2 γραμματέως κάλαμος] πρβλ. Ψαλμ. μδ', 2.

8 τῶν] κ ὦ δ. τοῦ. 9 φακέλλους. 11 οἶ(μαι γὰ)ρ] συμπλ. ἡμετέρα. 22 βρεφώθεν. 25 τ(ὸ ῥ)ῆμα] συμπλ. ἡμετ. 28 ειρκει.

βλέπεσθαι. ὦ οἷου κηδεμόνος, οἷας δόξης ἐστέρημαι· ὦ οἷον ἐζημίωμαι σεμνολόγημα, οἷον δὲ προσαφῄρημαι καὶ τὸν πλουτισμόν. ᾤχοντό μοι αἱ κατ' ἀνθρώπους ἐλπίδες, αἳ παρ' ἐκείνῳ μόνῳ μοι παρῃώρηνται· ᾤχοντο νεκρωθεῖσαι κἀμὲ συναπονεκρώσασαι, εἰ μή πως πρὸς κρείττονά τινα καὶ τιμιωτέραν τῶν τῇδε βίωσιν ταμιευόμενος ἄνωθεν χρηστὰς ἐλπίδας ἡμῖν ἐκεῖνος διδοῖ· οὕτω γὰρ ἡμεῖς ἔχομεν ταῖς ἐκείνου πεποιθότες εὐχαῖς.

15. Αὗταί σοι παρ' ἡμῶν αἱ λογικαὶ δεξιώσεις, ὦ σοφώτατε δέσποτα· τοιαύτας σοι τὰς χοὰς ἐναγίζομεν· τοιαῦτά σοι τῷ λαμπρῷ τὴν σοφίαν καὶ πολυόλβῳ ταῖς ἀρεταῖς τὰ πενθικὰ προσεπισπένδομεν μελῳδήματα, τόλμαν σοι τοιαύτην τετολμηκότες, ἣν ὁ πρὸς σὲ θερμὸς ἡμῶν ἔρως ἠρέθικε καὶ δουλόσυνος. σὺ δέ μοι προσίεσο ταύτας, ὦ θεία καὶ σοφωτάτη ψυχή, κἂν πόρρω τῶν σῶν ἀρετῶν καὶ τῆς σῆς σοφίας ὑπερελήλανται, δάκρυσιν ἐπιλειβομένας μονῳδικοῖς, ἀρωματοφορίαις πληρουμένας παντοδαπαῖς καὶ νεκυσίμοις ἐθίμοις καὶ παντοίαις ἄλλαις προσαγωγαῖς· καὶ μὴ λήγοις ἄνωθεν ἐποπτεύων ἡμᾶς, ἀγχίθεε δέσποτα, ἀνωτέρους τε τοῦ κοσμικοῦ τούτου κλύδωνος συντηρῶν καὶ τῶν ὁσημέραι περιστοιχιζόντων ἡμᾶς ἀλλεπαλλήλων ἀνιαρῶν. ὁρᾷς, ὁπόσος οὗτος ὁ κλύδων ὁ κοσμικός, πηλίκος ὁ σάλος τῶν συμφορῶν· ὁρᾷς, ὅπως φοραῖς κυμάτων πυκνὰ προσεπαναστατούσαις ἡμῖν ἄλλαις ἐπ' ἄλλαις καταποντούμεθα· ὁρᾷς, ὅπως ἄλλοτε ἄλλῃ προσκινδυνεύοντες τῇδε κἀκεῖσε περιφερόμεθα καὶ (τὸ τῆς τραγῳδίας) πολλοῖς διαύλοις κυμάτων φορούμεθα. μὴ κάμοις οὖν οὕτω ποιῶν, ἀγχίθεε δέσποτα, ἄνωθεν ἐποπτεύων ἡμᾶς, πρεσβεύων ὑπὲρ ἡμῶν καὶ δεξιὰν ἡμῖν ὀρέγων καὶ κουφίζων τοῦ κλύδωνος.

3.

Τοῦ αὐτοῦ ἐπιτάφιος εἰς τὸν πανσέβαστον καὶ πάνσοφον λογοθέτην κύριον Δημήτριον τὸν Τορνίκην.

1. Νῦν εἴπερ ποτὲ θρηνοῦσιν οἱ λόγοι τὸ καλλίστευμα τούτων, τὸν λογοθέτην, ἀνακαλούμενοι, τὸ μέγα ῥητόρων κράτος, τὸ τῶν Μουσῶν καταγώγιον. καὶ σιγᾶν μὲν ἀγαπῶσιν οὗτοι, ἐπεὶ καὶ τὸ πυρίπνουν τοῦ λογοθέτου στόμα σεσίγηκεν, ἵνα κἀνταῦθα τὸν ἄνδρα μᾶλλον τιμήσωσιν· ἀλλά γε τῷ πανδήμῳ καὶ κοινῷ τούτῳ πάθει φιλοτίμως μάλα νυττόμενοι γοερώτερον ἀνακαλεῖσθαι τοῦτον φιλονεικοῦσι, τὸ τῆς ζημίας ἀποκλαιόμενοι μέγεθος. οὐ μόνον γὰρ οὗτοι τὸ τούτων ἐζημίωνται σέμνωμά τε καὶ καλλιτέχνημα, ἀλλά γε καὶ

20 τραγῳδίας] Εὐριπ. Ἑκάβης 29 Dind. 25 κ ὦ δ. φ. 88β—94α.

14 κ ὦ δ. λίγοις.

ξύμπαν τὸ κοινὸν καὶ πάνδημον χάρισμα· οἱ μὲν γὰρ πενθοῦσι τὸ λόγιον, οἳ τὰ τῶν λόγων πρεσβεύουσιν· οἱ δὲ ὃν ἀφῄρηνται κόσμον μετὰ δακρύων ἐπιζητοῦσιν, οἳ τῇ συγκλήτῳ τετάχαται· ὁ μὲν βαθὺ στενάζει καὶ τὸ πρᾶον ἐπιζητεῖ, ὁ δὲ τὸν ταπεινόφρονα νοῦν ὑψηλῷ μάλα καὶ σταθηρῷ φρονήματι καλλυνόμενον· ἄλλος ἀνακαλεῖται τὸν εὐεργέτην, ἕτερος τὸν παρήγορον καὶ ἄλλος ἄλλο τι τῶν ἐκείνου καλῶν (πολλὰ δὲ ταῦτα πάντως καὶ ὡς οὐκ ἄν τις ῥᾳδίως ἀπαριθμήσαιτο) λόγου καὶ μνήμης ἄξιον· κἀκ τοῦ καταλόγου δὲ τῶν πολλῶν τοῦ λογοθέτου καλῶν γίνεται μεγίστου πένθους ὑπόθεσις· ὑπανάπτεται δὲ καὶ κοινὸν ἅπασι πένθος καὶ πολύκρουνον ἐκχεῖται τὸ δάκρυον. ὦ κοσμικοῦ τούτου πάθους· ὦ κοινῆς συμφορᾶς καὶ πανδήμου ταυτησὶ σκυθρωπότητος, αἳ τὸν ἐμὸν τοῦτον λόγον συνθρύπτουσί τε καὶ περικόπτουσι καὶ πρὸς κλαυθμὸν κινοῦσι τοῦτον καὶ δάκρυα.

2. Κεῖται μὲν ὁ καλὸς λογοθέτης καὶ ἡ πυρίπνους καὶ γλυκεῖα γλῶσσα σιγᾷ, ἐμπικραίνονται δ' οἱ λόγοι τῷ πάθει καὶ τῷ κειμένῳ συγκαταπίπτουσιν. ὤφελον λίθου φύσιν ἂν ἠλλαξάμην, ὡς μήτ' αἰσθέσθαι ταύτης τῆς συμφορᾶς, μήτε τὴν φωνὴν ὅλως προῖεσθαι, ἀλλ' ἐνεὸς μένειν καὶ ἄναυδος ὑπὸ τοῦ πάθους τούτου πεδούμενος· καὶ τούτου μὲν ηὐχόμην τυχεῖν, δακρύων δὲ ῥοὴν οὐκ ἤθελον ἐπιλελοιπέναι μοι, ἵν' ἐν τούτῳ τὸν τῆς Νιόβης λίθον ἐτύπουν καὶ οὕτως ἐξ ἀναισθησίας εἰς πάθος αὖθις αἰσθανομένου μετετυπούμην, θρηνῶν διὰ τὴν τοῦ πάθους αἴσθησιν ὁ εἰς λίθον παγείς ἀναίσθητον. ὦ δυστυχὴς ἐγὼ λογογράφος, ὃς τὸν τοῦ λογοθέτου θάνατον, οἴμοι, τοῦ λόγου τοῦδε προεστησάμην ὑπόθεσιν· ὃς τὸν τούτου τάφον δακρυόεις οὕτω περιϊστάμενος σκυθρωπὰ γράφειν ἐθέλω καὶ λογοπενθεῖν ἐπιτύμβια, πρὸς ὃν ἔδει με πάντως τῆς τῶν Ἰλλυριῶν πρέσβιν ἐπαναζεύξαντα ᾄσματα περιᾴδειν μᾶλλον χαρμόσυνα καὶ χαρίεντα τούτῳ προσφωνεῖν εἰσιτήρια. ὦ τολμηρὸς ἔγωγε ῥήτωρ· τίνα ταύτην τόλμαν λαβὼν ἀνδρὸς τηλικούτου τάφον τοῖς ἐμοῖς λόγοις κοσμεῖν ἐθέλω, μὴ μόνον ἐπ' ἀρεταῖς ἁπάσαις ἐνσεμνυνομένου, ἀλλὰ καὶ ξυμπάσῃ σοφίᾳ περιβοήτου καὶ τῶν λόγων ἀναζωσαμένου τὸ κράτος καὶ τούτους μᾶλλον ἐκείνου ἢ ἐκεῖνον οὗτοι καὶ σεμνύναντος καὶ κοσμήσαντος; ποίαν ἰδέαν λόγων ἢ ποίαν ἁρμονίαν τούτοις ἐφαρμοσάμενος τὸν προσήκοντα τούτῳ λόγον ἐκτραγῳδήσω καὶ περιλαλήσω κειμένῳ τούτῳ τὸν ἐπιτάφιον; ὅσαι γὰρ οἶμαι σοφῶν ἐπιχειρήσεις καὶ ἁρμονίαι, ὅσαι γλῶσσαι ῥητόρων, ὅσαι φωναὶ ποιητῶν ἐκτραγῳδοῦσαι περιπαθέστατα, ἐς ταὐτὸν ἅπασαι συνελθοῦσαι ἐλάττω τοῦδε τἀνδρὸς τὸν λόγον μὴ ὅτι γε τὸν ἄξιον αὐτῷ προσενέγκωσι. τῆς ἐκείνου δὲ μελιχρᾶς καὶ γλώττης ἦν καὶ φωνῆς τὸ

18 κ ω ὁ. ἐπελελοιπέναι. 22 δακρυόεις. 27 ἐπαρ' ἑταῖς || ἐνσεμνυνομένου] ἐνσεμνύνετο.

τοῖς μεγάλοις ἐπιχειρεῖν καὶ κρείττω ταῦτα κατασκευάζειν καὶ τιμιώτατα μεγέθει σοφῶν ἐννοιῶν κομψείᾳ τε καὶ γλαφυρότητι λέξεων, μετὰ κάλλους ῥητορικοῦ καὶ συνθήκης σοφιστικῆς ἀποστοματιζομένων καὶ κατὰ ποταμοὺς ἐκκρουνιζομένων καὶ τῶν ἄγαν ὀξυγράφων γραμματέων τὸν κάλαμον (προφθανόντων) ἐγὼ δὲ τί χρήσομαι; πότερον σιωπήσω τυγχάνοντος ἐργώδους ἢ καὶ τελέως ἀνεφίκτου τοῦ πράγματος, ἢ περιλαλήσω τοῖς ἐμοῖς λόγοις τῷ τάφῳ καὶ θρηνήσω νῦν ἐπιτύμβια; καὶ δέδοικα, μὴ μᾶλλον τοῖς ἐμοῖς ἀκοσμήσω λόγοις τὸν τοὺς λόγους κοσμήσαντα, σεσοβημένος καὶ ταῦτα τῷ πάθει καὶ συγκεχυμένος τῇ συμφορᾷ καὶ κινούμενος ἄρτι πρὸς δάκρυα· δυσεπιχείρητον γὰρ πάντη καὶ ἐργωδέστατον, μὴ μόνον τοῖς ἐμοῖς τοῦτο λόγοις, ἀλλὰ μηδὲ τῶν ἄγαν σοφῶν τὰς ἀρετὰς ὁπόσας εἶχεν ἐκεῖνος διενεγκεῖν καὶ τοῖς ἐκείνου καλοῖς τούτους ὅλως παρεξετάζεσθαι· πλήν, ὥσπερ ἦν ἡμῖν καὶ ξύμπασιν εὐμενὴς ὁ μέγας ἐκεῖνος ἀνήρ, οὕτω δὴ κἀνταῦθα τοῖς οὐκ ἀξίοις ἐκείνου λόγοις συγγνώσεται.

3. Καὶ εἰ μὲν τοῖς ἐκ γένους τε καὶ πατρίδος ἐκεῖνος ἤθελεν ἐνσεμνύνεσθαι (ἦν γὰρ καὶ τοῦτ' ἐκεῖνος φιλοσοφῶν, τὸ μὴ τοῖς ἔξωθέν τινας καλλωπίζεσθαι), πάντως ἂν οὐκ ἂν μεγίστων τε καὶ πολλῶν ἐγκωμίων ἠπόρησα, ὡς καὶ μέγαν ἐκ τούτων καὶ προσκορῆ συστήσασθαί οἱ τὸν ὑμνητήριον, νόμους ἐγκωμίων τηρῶν κἀκ τοῦ περιφανοῦς γένους τοῦτον καὶ τῆς πατρίδος αὐξάνων καὶ περικαλλύνων τοῖς περιδόξοις καὶ σεμνοῖς διηγήμασι. τίς γὰρ οὐκ οἶδε τὰς ἐν Βοιωτίᾳ Θήβας τὰς Καδμικάς, ὡς πόλις αὗται περιφανής, περίδοξος, πᾶσιν ἐνευθηνουμένη καλοῖς καὶ τὸ τῆς ἀρχαιότητος αἰδέσιμον περισῴζουσα, καὶ τὸ γένος δὲ τὸ Τορνίκιον, ὡς ἀνέκαθεν εὖ γεγονός ἐστι καὶ περίφημον, κἀν ταῖς χρονικαῖς δὲ περὶ τῶν κατὰ τοὺς ἄνω χρόνους βεβασιλευκότων βίβλοις τε καὶ συγγράμμασι παντὶ τρόπῳ περιδοξούμενον, ἵνα μὴ τὸ ἀρχαιότερον ἀναδράμω γένος, εὐγενὲς ὂν τῶν ἀφ' ἡλίου ἀνατολῶν καὶ περίκλυτον; ἐπεὶ δ' ἐκεῖνος οὐκ ἠγάπα τούτοις σεμνύνεσθαι μηδὲ τοῖς ἔξωθεν περικαλλύνεσθαι σεμνώμασί τε καὶ ὡραΐσμασιν (εἴα γὰρ τὰ κενὰ ταῦτα φιλοτιμήματα τοῖς περὶ τὰ τοιαῦτα στρεφομένοις καὶ τοῖς τοιούτοις σεμνυνομένοις, τοῖς μέγα τε κυδρουμένοις ἐπ' εὐγενείᾳ καὶ φυσωμένοις ἢ καὶ δοξουμένοις ἐπὶ κενοῖς), σοφίᾳ δὲ μᾶλλον καὶ συνέσει καὶ παντὶ τρόπῳ χρηστῷ καὶ παντοίοις ἤθεσι περικαλλέσιν ἐνωραΐζεσθαι, μᾶλλον δὲ τὴν ψυχὴν ἔσπευδεν ἐξευγενίζειν ὡς τὰ πολλὰ καὶ καλλύνειν ταύτην ταῖς ἀρεταῖς, ἐπ' αὐτὰ δὴ καὶ τρέψω τὸν λόγον, εἴ πως καὶ ὁ πενιχρὸς οὗτος λόγος τοῖς ἐκείνου προτερήμασιν ἐγκαλλωπισθήσεται.

21 κ ω ὁ. πόλεις — περιφανεῖς. 30 φυσσουμένοις.

4. Ἤνεγκε μὲν οὖν οὕτω τοῦτον ἡ περικαλλὴς αὕτη πόλις, αἱ Θῆβαι, κλάδον εὐγενοῦς ῥίζης ἐκ πρώτης (ὅ φασι), χρηστοῖς ἤθεσί τε καὶ τρόποις εὐθαλῆ καὶ κατάκομον· ἐπεὶ δὲ γῆς ἀπῆρε πατρῴας συμμεταναστεύων τῷ Ἀβραὰμ καὶ ἔτι τρυφερευόμενος ἐπὶ τὸ μεγακλεὲς τοῦτο τῆς Βόζαντος ὄνομα, τὸ τῶν λόγων ἔδαφος, ἧκεν (οὐδὲ γὰρ πάντως ἔξω τοῦ καλοῦ καὶ τοῦ πρέποντος μηδὲ πόρρω προνοίας θεοῦ τὸ μὴ τὸν εὐθαλῆ τοῦτον κλάδον ἐνταῦθα μεταφυτευθῆναι δενδρωθῆναί τε καὶ στελεχωθῆναι καὶ πρὸς μήκιστον ὕψος καὶ καλλιστέλεχον αὔξην ἀναδραμεῖν), ἔνθα τὸ μέγα σέμνωμα τοῦτο δὴ καὶ βασίλειον, ἐνταῦθα τοῖς ἀρίστοις τῶν παιδευτῶν προσωμίλησε· καὶ τῇ τῆς φύσεως εὐκληρίᾳ τῶν ὁμηλίκων πάντων κρατήσας γραμματικῆς μὲν οὐδοτιοῦν παρεῖκε λαθόν, ῥητορικῆς δὲ τὸ κάλλος τῆς φράσεως ἅπαν ἀπανθισάμενος καὶ τὴν ἀληθῆ πειθὼ ταύτης ἀναλεξάμενος τὸ ψεῦδος ἅπαν ἐξέκλινεν. οὕτω γοῦν τὸ κράτος τῶν λόγων ἀναδησάμενος, τὸν μέγαν ὄλβον τῆς σοφίας πεπλούτηκεν. ἔνθεν τοι καὶ βασιλεῖς μακρὸς ἐξ οὗ χρόνος ἐκεῖνον ὑπερηγάσθησαν, καὶ ἀπὸ δόξης εἰς δόξαν ὑψοῦντες αὐτὸν καὶ ἀναβάσεις ταῖς αὐτῶν καρδίαις τιθέμενοι καὶ περὶ τῶν ἐκείνου μελετῶντες τιμῶν εἰς τὰς πρώτας τιμὰς ἀνήγαγον· ὁ δὲ μήτε ταῖς τιμαῖς καὶ τοῖς τῶν ἀξιωμάτων ὄγκοις προσεπαρθείς, μήτε δὲ τῷ τῆς τόσης σοφίας χύματι κυδρωθεὶς ταπεινοφροσύνην ἠγάπα μᾶλλον καὶ ἀκραιφνὲς ταύτης ὑπόδειγμα τοῖς ξύμπασιν ἐπεδείκνυτο. τίς γὰρ οὐκ οἶδε τὴν ἐκείνου σοφίαν, ὡς εἰς μέγα καὶ αὕτη πλάτος, ὡς καὶ τοῦ Σολομῶντος, ἐφήπλωτο; τίς τὴν πυρίπνουν ἐκείνου γλῶσσαν καὶ μελιχρὰν ὅλως ἠγνόησεν, ὡς καὶ τοῦ Ὀρφέως γλυκυτέραν τε καὶ ἐναρμοστοτέραν πεπλούτηκεν; φρονήσεως δὲ περί τί χρὴ καὶ λέγειν, ᾗ τὰς τῶν ἐθνῶν βουλὰς διεσκέδαζε; καὶ τὰς δυσδιαλύτους δὲ τούτων συζητήσεις καὶ συστροφὰς ὡς ἰστὸν ἀράχνης διέλυε καὶ στρεπτὰς τὰς φρένας ἐκείνων πρὸς τὰς τῶν κρατούντων βουλὰς μετετίθει τε καὶ μετῆγεν, οὐχὶ παρὰ τὸ τυγχάνειν ἐκείνους ἐσθλούς, καθά φησιν Ὅμηρος, εἰ μὴ καὶ μᾶλλον δυστρόπους τε καὶ μεγαλορρήμονας καὶ τῶν σφετέρων βουλῶν ἅπαντα σπεύδοντας ἐξαρτᾶν, ἀλλὰ παρὰ τὸ σοφὴν ὑπερβαλλόντως εἶναι καὶ ἰσχυρὰν τὴν τῆς ἐκείνου γλώττης πειθώ. οἷος ἐκεῖνος πολὺς συνέσει καὶ (κατὰ τὸν παροιμιαστὴν) "νοῆσαι λόγους φρονήσεως, δέξασθαί τε στροφὰς λόγων". ὁποῖον δὲ καὶ τοῦ νοὸς ἐκείνου τὸ σταθηρόν, καθαρᾷ πάντως καὶ βαθείᾳ φρενὶ (κατὰ τὸν θύραθεν αὖθις σοφόν) κεδνὰ βλαστῆσαι βουλεύματα.

14/15 ἀπὸ δόξης εἰς δόξαν] Κορ. 2, γ', 18 || ἀναβάσεις — τιθέμενος] πρβλ. Ψαλμ. πγ', 6. 20 Σολομῶντος] Σιρ. α', 1—3. 24 ὡς ἱστὸν ἀράχνης] Corp. paroem. 2, σ. 465. 25 στρεπτὰς τὰς φρένας] πρβλ. Ἰλ. ΙΕ, 203. 30 Παροιμ. α' 2, 3. 32/33 βαθείᾳ — βουλεύματα] Αἰσχύλου Ἑπτὰ ἐπὶ Θήβαις 593—594 Dind.

3 κ ῶ δ. ἐπεῖδε. 14 ὑπερηγάθησα.

5. Ἀλλ' ὤ, τίς τὸν μέγαν ὄλβον τῆς σοφίας ἀποσυλήσας κατέκρυψε, τὸ τῆς φρονήσεως ἄγαλμα, τὸν συνετὸν ὄντως καὶ ἀριστόβουλον; τίς τὸ τῶν λόγων ταμεῖον κατέκλεισε, τὸ τῶν σοφιστευόντων ἢ καὶ θεμιστευόντων ἀγλάϊσμα; τίς ἐν ἀφανεῖ τὸν τοσοῦτον θησαυρὸν κατεστήσατο καὶ ἀνημμένους ἡμῖν ἀντὶ τοῦ θησαυροῦ παρέσχε τοὺς ἄνθρακας; ὤ, πῶς ἡ πυρίπνους καὶ μελιχρὰ τοῦ λογοθέτου γλῶττα σιγᾷ, ἐγὼ δὲ καὶ γλώττης εὐμοιρῶ καὶ φωνῆς καὶ λόγους ἐλεγείους τε καὶ περιπαθεῖς καὶ θρήνους, οὓς ἀποτροπιάζομαι, φθέγγομαι. ὄφελον ἀμοιρῆσαι τούτων καὶ γλώττης καὶ φωνῆς καὶ χειρῶν· τί γὰρ χρὴ ταύταις ἐπὶ τηλικούτῳ πάθει διακονεῖν καὶ λόγους οὕτω θρηνώδεις ἐπικειμένῳ τῷ σοφῷ λογοθέτῃ προσφθέγγεσθαι; ἀλλὰ τί δὴ παρεὶς τὰ τῆς ψυχῆς μείζω καὶ τελεώτερα ἐκ τῶν περὶ αὐτὸν ἐπαινεῖν ἐθέλω τὸν ταῖς ἀρεταῖς ὑπερλάμψαντα; τίς τούτου πλέον τὴν ταπεινοφροσύνην ἠγάπησεν ἢ τὴν σωφροσύνην ἐτίμησεν; τίς τοσοῦτον τὸ πρᾶον καὶ ἵλαρὸν ἐπεκτήσατο, οἷς καὶ Δαυὶδ ἐσεμνύνετο; τίς ὡς οὗτος τὸ εἰρηναῖον προσῳκειώσατο καὶ ἀτάραχον, οἷς καὶ Σολομὼν ἐδοξάζετο; τίς τοσοῦτον πεπλούτηκε τὸ φιλάνθρωπον καὶ τὸ φιλόξενον, οἷς καὶ Ἀβραὰμ ὁ μέγας ἐν πατριάρχαις ἐμεγαλύνετο; ἐπὶ δέ γε τῇ τῆς ἐλεημοσύνης ἀκαθέκτῳ ῥύμῃ, ᾗ καὶ Ἰὼβ ἐκεῖνος ἐκαλλωπίζετο, καὶ τῇ πρὸς τοὺς πένητας ἀφθονωτάτῃ καὶ ἀνυποκρίτῳ χειρὶ τοσοῦτον τῶν ἄλλων ἐκράτησεν, ἵνα μὴ λέγω τῶν παλαιῶν, ὧν πολὺς ἐπὶ ἐλεημοσύναις ὁ λόγος, ὡς καὶ κατὰ τὸν μέγαν ἐν προφήταις Δαυὶδ ὅλην τὴν ἡμέραν ἐλεῶν καὶ δανείζων ὁ δίκαιος, τοῖς πεινῶσί τε θρύπτων τὸν ἄρτον, τοῖς ἐνδεέσι προσεπαρκῶν, εὐεργέτιν ὤρεγε χεῖρα πτωχοῖς καὶ δανείζων ἦν τῷ θεῷ. οὕτω καλῶς ἐκεῖνος ἐσκόρπιζεν, ἐδίδου τοῖς πένησιν. ὦ πηγῆς ἐλέους ἐκκρουνιζομένης ἐφ' ἅπασιν εἰς δαψίλειαν καὶ ψυχὰς δροσιζούσης περιεχομένας τῆς πενίας τῷ καύσωνι. ὦ πηγῆς αἴφνης οὕτω φραγείσης καὶ πολὺν προξενησάσης τοῖς δεομένοις τὸν καύσωνα. "Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν τὴν σάρκα" φωνοῦντος ἐν τοῖς ἱεροῖς γράμμασιν ἀκήκοα τοῦ θεοῦ, "ἀπὸ δέ γε τῶν ἐμῶν ζωαρκῶν ἐπὶ πάντα πένητα καὶ πτωχόν" τοῦ σοφοῦ λογοθέτου διατρανοῦντος οἷον ἠσθανόμην καὶ πράττοντος.

6. Τοσοῦτον δὲ τὴν δικαιοσύνην ἠγάπησεν, ὡς ἐκεῖνον εἶναι τοῖς πᾶσι νομίζεσθαι τὴν Θέμιν ὄντως αὐτήν, τὴν τῷ θεῷ παρεδρεύουσαν, ἀπαρεγκλίτους φέρουσαν καὶ ἰσορρόπους τὰς πλάστιγγας, καὶ στάθμην εὐθεῖαν εἶναι

5 θησαυροῦ — ἄνθρακας] Corpus paroem. τ. 1, σ. 32, ἀριθ. 1. 14 Δαυὶδ] πρβλ. Ψαλμ. ρλα', 1. 15 Σολομὼν] πρβλ. Ψαλμ. οα', 3, 7. Σειρ. μζ', 13. 19/21 ὅλην — δανείζων] πρβλ. Ψαλμ. λς' 26. 22 εὐεργέτιν — θεῷ] πρβλ. Παρ. ιθ', 17. 26 Ἰωὴλ β', 28.

15 τὸ] κ ῶ δ. τον.

τὴν γεωμετρικὴν νικῶσαν ἰσότητα. ὤ, πόσον ἐπήνθει τῷ σοφῷ λογοθέτῃ τὸ χάριέν τε καὶ ἱλαρὸν μετὰ τῆς προσηκούσης κατηφείας τε καὶ σεμνότητος, ὁποῖον δὲ καὶ τὸ προσηνὲς ἐπέπρεπε τῷ προσώπῳ καὶ ἥμερον μετὰ συνετῆς ἅμα καὶ μεγαλοπρεποῦς τινος κοσμιότητος ταῖς τῶν ἀρετῶν ἐναπαστράπτοντι χάρισιν, ὡς ἐντεῦθεν συστολήν τε τοῖς ὁρῶσι καὶ πόθον ὁμοῦ συγκεράννυσθαι. τῆς δ' ἀγαθῆς ἐκείνου καὶ ἀντιληπτικωτάτης γνώμης καὶ προαιρέσεως οὐκ ἔστιν ὅστις ἂν ἐφίκοιτο λόγος· τί γὰρ τῶν ἐκείνου προτερημάτων πάντα λόγον οὐχ ὑπερέβαινε; τὸ τῆς διανοίας ὀξύτατον; καὶ τίς ἂν ὀξύτερος ἐκείνου καὶ ἀσφαλέστερος τῶν νῦν ἢ τῶν πώποτε πρόβλημά τι πρόβληθῆναι σοφὸν καὶ μὴ παραυτὰ φρεσὶν ἁρπάσαι τὸ καιριώτατον; τίς ἀποστοματίσαι λόγους σοφιστικοὺς μετὰ κάλλους ἐσκευασμένους ῥητορικοῦ, μετ' εὐσυνθέτου τε καὶ καὶ καθαρωτάτης τῆς λεκτικῆς τῶν ἀπ' αἰῶνος ἐκείνου συντομώτερός τε καὶ τεχνικώτερος;

7. Ἀλλ' ἐν δὴ τῆς ἐκείνου ταχυτῆτος ὁ λόγος ἄττει μοι διηγήσασθαι. πολέμων καιρὸς ἦν ὁ ἀπευκταιότατός τε καὶ φρικωδέστατος καὶ συχναὶ τῶν ἀλλοφύλων ἐπιδρομαί, καὶ ὁ βασιλεὺς γοῦν τοῖς τῆς Βερρόης μέρεσιν ἐπεστράτευεν. εἶτα τί; Σκυθικὸν σμῆνος ὅτι πολὺ καὶ μέτρον πᾶν ὑπερπαῖον, ἐκδραμεῖν τε μελετῶν καὶ τῶν ἡμετέρων ἀφειδῶς ὡς ἔνι μάλιστα κατορχήσασθαι, περὶ τοὺς τοῦ Ζυγοῦ πρόποδας σκηνῶσαν ἀπαγγέλλεται βασιλεῖ· ὁ δὲ μηδὲν μελλήσας, καὶ ταῦτα τοῦ σφαίρου τούτου δὴ τοῦ ἡλιακοῦ μελετῶντος ἤδη τὰ δυτικά, ἠχῆσαι προστέταχέ τε καὶ τὸν ἐνυάλιον καὶ κατὰ τῶν Σκυθῶν ἐξώρμησε πανστρατί, καὶ ὦ τῆς τότε πρὸς ἡμᾶς σου κηδεμονίας, Χριστὲ βασιλεῦ· ἐπεισπίπτει τε τούτοις ὁ βασιλεὺς καὶ τῇ τῶν Σκυθῶν πανσπερμίᾳ πανωλεθρίαν εἰργάσατο. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; γράμματα κοσμοχαρῆ τε καὶ εὐάγγελα τοῖς ἐν ἀρχείοις καὶ τοῖς ἐν τέλει γράφειν ἐπισκήπτει τῷ λογοθέτῃ. ἀλλ' οἴμοι, τὸ ῥεῦμα τοῦ λόγου πρὸς ἀνάρρουν κεχώρηκε, τοῦ ῥεύματος τῶν λόγων ἐκείνου καὶ τοῦ χύματος τῆς σοφίας ὑπερεκβλύσαντος, καὶ σκυθρωπάζειν αὖθις ἐθέλει καὶ πρὸς πενθικὴν παλινῳδίαν μεταχωρεῖν, μᾶλλον δὲ προφθάνει τὸ πάθος καὶ συμποδίζει τὸν λόγον καὶ περικόπτει μου τὸ διήγημα. ἐπέσκηψεν οὕτως ὁ βασιλεὺς καὶ ἦν ἰδεῖν εὐθὺς λόγων ὅλους κρουνοὺς ἐκ τῶν σοφῶν ἐκείνου χειλέων, ἃ βραχὺ μόνον διεστέλλοντο, καὶ φάκελοι τόμων πλήρεις ἦσαν γραφῶν αὐτοσχέδιοι.

8. Ὦ χειλέων, οἷς ἐξεχύθη σοφίας χάρις ἀπείριτος· ὦ σοφῆς γλώσσης ἐκείνης καὶ μελιχρᾶς, ἧς ἡ φωνὴ κατὰ τὴν ποίησιν λειριόεσσα καὶ ἧς μόνης ἦσαν ὄντως οἱ λόγοι πτερόεντες· ὦ γλώττης τῇ τοῦ νοὸς ὀξύτητι συν-

34 ποίησις λειριόεσσα] πρβλ. Ἰλ. Γ, 152. 35 λόγοι πτερόεντες] πρβλ. Ἰλ. Α, 201.

28 κ ὦ δ. βερόης ὑπερεκβλήσαντος. 28 πενθικοὺς.

τρεχούσης καὶ τῷ τῶν ἀθροιζομένων ἐνθυμημάτων διακονούσης ἀλλεπαλλήλῳ τε καὶ πυκνῷ, ἄλλων ἐπιστοιβαζομένων κατὰ συνέχειαν ἀδιάκοπον· γλώττης, ᾗ θεία τις Σειρὴν ἐπεκάθητο καὶ μέλος ἔμελπεν ἐναρμόνιον· γλώσσης, ᾗ μηδ' ὑπηρετῆσαι χεῖρες ὀξυγράφων ἐξήρκουν, μικροῦ δὲ καὶ δυσχεραινούσης, ὅτι μηδὲ πτερόεις τούτων ὁ κάλαμος, ἧς ἐγὼ καὶ μᾶλλον πεπείραμαι. ὤ, πόσους τότε τῶν ῥητόρων ἐξέπληξεν, οἳ συμπαρῆσαν τῷ βασιλεῖ σοφίαν τε καὶ ῥητορικὴν καὶ πᾶσαν ἄλλην λογικὴν τέχνην προβεβλημένοι κἀπὶ τῇ σοφιστείᾳ δὲ μέγα κυδρούμενοί τε καὶ σεμνυνόμενοι· οἳ καὶ γράψαι τότε προθυμηθέντες ὡς μᾶλλον ταῖς σοφιστικαῖς γραφαῖς ἐνδειξόμενοι, μόλις τὰ τῆς ὑποθέσεως προοιμιασάμενοι, εἶτα τὸν γραφέα κάλαμον ἔστησαν, τόμους ὅλους ἐν βραχεῖ πλήρεις ἰδόντες γραφῶν μετὰ κάλλους ἐσκευασμένων ῥητορικοῦ καὶ μετὰ δαψιλεστέρας παρεξεσμένων τῆς κομψείας τῶν λέξεων· οἳ καὶ τὸν ἄνδρα τότε θαυμάσαντες καὶ καταπλαγέντες τὴν ὀξύτητα τοῦ νοός, καὶ γνόντες ὡς σοφὸς ὄντως ὁ λογοθέτης κἀν τοῖς λόγοις ἀκαταγώνιστος, ἐνεοὶ καὶ ἄναυδοι μεμενήκασι. νῦν δὲ ἀλλ' ὁ μὲν κρουνὸς ἐκεῖνος ἀπέρρει καὶ ἡ ταχεῖα καὶ γλυκερὰ γλῶσσα σεσίγηκεν, οἱ δὲ πτερόεντες λόγοι μένουσί πως ἤδη πτερορρυήσαντες. βαβαὶ γλώσσης ἐκείνης ἔπεά τε προσαυδούσης πτερόεντα καὶ τὰς ὁμηρικὰς δέκα γλώσσας ἡττώσης τῇ τῶν λόγων ἀβρότητι· βαβαὶ τοῦ κελαρύζοντος ἐκείνου κρουνοῦ τῶν λόγων, τοῦ πολυχεύμονος, οὗ τὰ ῥεύματα τότε τὴν τοῦ θεοῦ πόλιν ταύτην ἐπηύφραινον. ὦ λόγων ἀττικιζόντων καὶ τοῖς ἔξωθεν μὲν καλλωπιζομένων σοφοῖς, τῷ θείῳ δὲ μᾶλλον καὶ ἡμετέρῳ τῷ νοστίμῳ τούτῳ παρηρτυμένων ἅλατι καὶ ὡς ὑπομειδιῶντι τῷ προσώπῳ καὶ ὑποσέμνῳ τῇ τῶν λέξεων γλαφυρότητι καὶ ἐνηδυνόντων τὸν ἀκροώμενον καὶ μὴ μᾶλλον ἀηδιζόντων τῆς στρυφνότητος τῇ βαρύτητι. ὦ σοφίας λόγων ἐκχεομένης μεθ' ἱλαρότητος καὶ γλυκεράς τινας τοῖς ἀκροωμένοις ἐνσταλαζούσης τὰς χάριτας.

9. Καὶ ἵνα τὸν λόγον αὖθις ἐπαναλήψωμαι, τίς εὐπρέπειαν οἴκου κυρίου οὕτως ὑπερηγάπησεν, ὡς ταῖς κατ' ἀστέρας ἀγρύπνοις λαμπαδηφορίαις ὑπερβαλλόντως τοῦτον καταστράπτεσθαι καὶ καταφωτίζεσθαι, κἀντεῦθεν τεκμαίρεσθαι καὶ τὴν τῆς φωτεινῆς καὶ θείας ἐκείνης ψυχῆς ἔνδον ἀποκειμένην λαμπρότητα; τίς τοῖς κατ' οἶκον θείοις σηκοῖς κλήρους ἐπέταττεν, ὁπόσους οὐδ' οἱ μεγάλοι καὶ καθολικοὶ προσεκτήσαντο, ὡς ὑμνοπόλους χοροὺς περιστήσῃ καὶ τῷ συνετίζοντι τοῦτον δόξαν δώσῃ θεῷ, ὀρθῷ τῷ σώματι τού-

16 πτερόεντες λόγοι] πρβλ. Ἰλ. Α, 201. 18 ὁμηρ. δέκα γλώσσας] πρβλ. Ἰλ. 13, 489. 19/20 οὗ τὰ ῥεύματα] πρβλ. Ψαλμ. με' 5. 22 νοστίμῳ ἅλατι] πρβλ. Γεωπ. β', 16, α'. 27 εὐπρέπειαν — ὑπερηγάπησεν] πρβλ. Ψαλμ. κε', 8.

1 κ ὦ δ. ἀλλ' ἐπαλλήλω. 5 πτερόης. 16 γλυκυρὰ. 33 δώσει.

τοις συνορθριζόμενος, σὺν ἀτρέπτῳ τε καὶ ἀκλινεῖ τῷ νοῖ καὶ μόνῳ θεῷ προσανέχοντι; τίς καρδίαν εἶχε συντετριμμένην καὶ τεταπεινωμένην τῷ πνεύματι; τίς τοσαύτην κατάνυξιν ἐπεκτήσατο, ὡς καὶ φαίνεσθαι τοῦτον ὅλην τὴν ἡμέραν μετὰ σκυθρωπότητος πορευόμενον ἐν τοῖς κατὰ θεὸν διαβήμασιν, ὡς ἂν ἐκεῖθεν ἀγάλληται; τίς ἐκείνου συμπαθεστέραν ἔσχε ψυχὴν καὶ τοῖς λυπουμένοις συγκάμνουσαν; τίς τοῖς τῶν ἑτέρων ἐκάμπτετο πάθεσι; τίς οὐ μόνον τὸν πλησίον ὡς ἑαυτόν, καθὼς ἐνετείλατο κύριος, ἀλλὰ καὶ τοὺς μακρόθεν ὑπερηγάπησεν, ὡς ἐντεῦθεν ὑπεραναβαίνειν φαίνεσθαι καὶ τὴν ἐντολὴν καὶ κατὰ τοὺς πιστοὺς ἐκείνους θεράποντας πολυπλασιάζειν τὸ τάλαντον; εὐστοχώτατα δὲ συμβουλεῦσαι μὴ τοῖς ἐκ γένους ἐκείνου μόνον καὶ τοῖς ἐγγύς, μηδὲ τοῖς ἐκ τοῦ λαοῦ τούτου καὶ τοῖς ἐκ Βύζαντος, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις τε καὶ ἐθνογενέσι καὶ κοινὸν εἶναι σύμβουλον καὶ παρήγορον καὶ τῆς ἐκείνου γνώμης ἦν καὶ γνώρισμα καὶ κατόρθωμα· τί γὰρ τῶν ἐκείνου βουλευμάτων οὐκ ἦν σκοπιμώτατόν τε καὶ συνετώτατον; τὸ δὲ καλοθελὲς καὶ καλόηθες, τὸ δ' ἥμερόν τε καὶ προσηνές, τὸ δ' ὁμιλητικὸν ἐκείνου καὶ τὸ εὐπρόσιτον οὐκ ἔστι τῶν ἁπάντων οὐδείς, ὃν οὐχ εἷλκον ὥσπερ τινὲς ἴυγγες εἰς τὸ κατάκρας ἐκείνου τάνδρὸς ἐξέχεσθαι. οὕτω ποθεινὸς τοῖς ἅπασιν ἦν καὶ ἐράσμιος, οὕτως αἰδέσιμος ἦν καὶ παρὰ πάντων σεβόμενος.

10. Ὦ, οἷος ἀνὴρ ἐκρύβη καὶ κοινωφελὲς οὕτω χρῆμα πάντες καὶ πάνδημον ἐζημίωνται. κοινὸς ἦν οἶκος ἐκείνου τοῖς πενομένοις ἴσως ἀφ' αἵματος, πατὴρ ἦν ὀρφανῶν, προστάτης χηρῶν· τόσην δ' ὤρεγε χεῖρα τούτοις εὐεργέτιν καὶ πλουτοδότειραν, ὡς τοὺς μὲν ὀρφανείας, τὰς δὲ χηρείας ἐπιλανθάνεσθαι· ὀφθαλμὸς ἦν τοῦ γένους περίβλεπτος. ἀλλ' οἴμοι τῶν κακῶν, καὶ τοίνυν οὗτος ἀνήρπασται κἀκ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων ἠφάνισται κἀντεῦθεν ἡμεῖς ὡς ἐν ἀσελήνῳ νυκτὶ καὶ βαθυτάτῳ σκότει διάγομεν. ὤ, οἷα μὲν λαμπὰς τοῦ γένους ἀπέσβεστο, οἷον δ' ὑπανήφθη τούτῳ λαῦρον πάθους ὑπέκκαυμα, πυρπολῆσαν ἅπαν τὸ προσγενὲς καὶ μηδὲ μακρῷ χρόνῳ σβεσθῆναι φιλονεικοῦν, κἂν χάλαζαι δακρύων τῷ λαύρῳ τούτῳ πυρὶ τοῦ πάθους προσεπιρρίπτωνται, ἐξακοντιζόμεναι τῶν συγγενικῶν ὀμμάτων πυκνότεραι, τῶν ἀγαθῶν ἐκείνου προτερημάτων συνεχῆ μνήμην ἀνακινούντων καὶ παρεχόντων ἄφθονον ὕλην τοῦ καύματος καὶ ζωπυρούντων οὕτω τὸ τοῦ πάθους πῦρ εὐπρηστότερον.

2 καρδίαν — τεταπεινωμένην] πρβλ. Ψαλμ. ν', 17. 3/4 ὅλην τ. ἡμ. — πορευόμενον] πρβλ. Ψαλμ. λζ', 6. 7 τὸ πλησίον — κύριος] πρβλ. Ματθ. ε', 43—47. κβ', 39. Μάρκ. ιβ', 31. Λουκ. ι', 27. 9 θεράποντας — τάλαντον] πρβλ. Ματθ. κε', 14—19. 21 πατὴρ — χηρῶν] πρβλ. Ψαλμ. ξζ', 6.

17 ἐξέχεσθαι] κ ῶ δ. ἐξέρχεσθαι. ἐν τῷ κώδικι διττογραφία: ἡμετέρων ὀφθαλμῶν τῶν ἡμετέρων. 27 ὑπέκαυμα.

11. Ἀλλὰ γὰρ πῶς ἐκτραγῳδήσῳ τὸ πάθος; πῶς τὴν τοσαύτην συμφορὰν ἀποκλαύσομαι; τὸ τοῦ γένους ἔρεισμα πέπτωκε· κέκλεισται τῶν ἀρετῶν τὸ ταμεῖον· οἴχεται τὸ τῶν Μουσῶν καταγώγιον· τὸ τῆς συγκλήτου κόσμημα περιῄρηται· ὁ τῶν ἀρχείων εὐπρεπὴς κόσμος ἠφάνισται. κέκρυπται τὸ καθαρὸν τῆς σωφροσύνης ἀγλάϊσμα· τὸ κοινωφελὲς ἀφῄρπασται χάρισμα. τίς ἀρκέσει λόγος τηλίκην συμφορὰν ἀποκλαύσασθαι; ποῖον δὲ τῶν ἐκείνου καλῶν δακρύων θήσομαι πρόφασιν; τῆς ψυχῆς τὴν εὐπρέπειαν; τὴν τοῦ τρόπου σεμνότητα, τὴν τοῦ ἤθους χρηστότητα; τὸ σταθηρὸν τοῦ φρονήματος; τὸ σῶφρον, τὸ πρᾶον, τὸ ἱλαρόν, τὸ μείλιχον, τὸ φιλάνθρωπον; τὸ τῆς γνώμης ἐπιειχὲς καὶ τὴν συμφωνίαν πᾶσαν τῶν ἀρετῶν, ἢ τὸ τῆς διανοίας μεγαλοφυὲς καὶ αἰθέριον καὶ τὸ μελισταγὲς τῆς γλώττης καὶ ἐναρμόνιον; πάντα γὰρ ὡς ἀπὸ συνθήματος ὁμοῦ συνελθόντα τὰ κάλλιστα τὸν σοφὸν λογοθέτην ἐστεφανώσαντο. ὦ ψυχῆς στεφανουμένης οὕτω καὶ κυκλουμένης ὑπὸ τοσούτων τῶν ἀρετῶν, ὡς οἷα κέντρου τινὸς ἀστεμφοῦς περὶ τὸ μέσον τοῦ κύκλου μένοντος καὶ ἀκινηταίνοντος, μᾶλλον δὲ περὶ αὐτὰς ἀεὶ στρεφομένης διὰ τὸ τοῦ νοὸς ἀεικίνητον καὶ τὸ τῆς ἐπαινουμένης ἐργασίας συνεχές τε καὶ ἀδιάκοπον καὶ οὕτω ταύτας συγκινούσης, ὡς εἰς προὔπτον μὲν κεῖσθαι πᾶσιν αὐτάς, αὖθις δὲ κρύπτεσθαι ταύτας διὰ τὸ τοῦ τρόπου συντετριμμένον καὶ ταπεινόν. οἶμαι γὰρ ὡς καὶ νῦν τοῦ σοφοῦ λογοθέτου τῆς τοῦ κινεῖν δυνάμεως λήξαντος κινδυνεῦσαι στῆναι τῆς ἀεικινησίας καὶ τὸν μέχρις ἐκείνου καὶ παρ' ἐκείνου κινούμενον κύκλον τῶν ἀρετῶν. ὦ κύκλος οὗτος οὐράνιος ὑπὸ τῆς ψυχῆς ἐκείνης τῆς ὄντως οὐρανίας καὶ τοῦ τῆς ταπεινώσεως κινούμενος πνεύματος, ὃν μένειν ἀεικίνητον ἔδει πάντως κἀκείνῳ ζῶντι συμπεριφέρεσθαι, ὡς ἀρχέτυπον ἐκεῖνον εἰκόνα τοῖς πᾶσιν εἶναι τῶν ἀρετῶν καὶ καλῶν ἁπάντων παράδειγμα.

12. Ἀμείλικτε Θάνατε καὶ τῆς ἡμετέρας φύσεως ἀρχῆθεν πολέμιε, αἰδοῦνται τὴν ἀρετὴν καὶ πολέμιοι· σὺ δὲ πῶς οὐκ ἠδέσθης τὸν τοσοῦτον ἀριθμὸν τῶν καλῶν, τὴν καλὴν στεφάνην τῶν ἀρετῶν, ἄτεγκτε καὶ ἀτίθασε; πῶς οὐκ ἐμαλάχθης ταῖς χάρισιν, αἳ ταῖς ἀρεταῖς συνεξέλαμπον, ἀλλὰ τὸν τηλίκον ἡμῶν ἀφῄρπασας, ὃν ἄσυλον ἔδει μεῖναι καὶ τοῖς βροτοῖς μέχρι καὶ μακροῦ παραμόνιμον, ἵν' ἔτι πλουτοῖεν οὗτοι τῶν ἐκείνου καλῶν ἀπολαύοντες, ἵν' ἔτι τῶν ἀρετῶν αἱ χάριτες περιλάμπουσαι πανταχοῦ γενήσονται διαδόσιμοι; αἴθε μάρανσιν ἂν ἐκεῖνο τὸ φυτὸν ἐπεπόνθει, ἐξ οὗ καρπὸς ἐτρυγήθη καὶ βρῶσιν ὁ πρῶτος ἔφαγεν ἄνθρωπος. καὶ σὺ τοίνυν ἡμῖν παρεισέφρησας, ἀτέραμνε Θάνατε. αἴθε μὴ ὁ πλάνος καὶ ψίθυρος ὄφις ἐσύρη καὶ

34 ὄφις — προσωμίλησεν] πρβλ. Γεν. γ', 1 κέ.

14 κ ῶ δ. στρεφουμένης. 28 ἄτεκτε καὶ ἀτίθασσε.

βάσκανον ἐπεσύριξε, μηδὲ τῇ πρώτῃ γυναικὶ προσωμίλησεν, ἵνα καὶ λάθῃς ἐκεῖθεν τῷ βίῳ παρεισφθαρείς. τί γὰρ ἔδει λάφυρον σοῦ τοῦ ἀφανοῦς ἡμῖν πολεμίου γενέσθαι τὸν σοφὸν λογοθέτην, τὸν δὲ κύδιστον παῖδα τούτου θρηνεῖν, τὸ ἀκραιφνὲς τοῦ πατρὸς ἀφομοίωμα; ὃς τὸν ἐκείνου τόπον ἀναδεξάμενος ("ἀντὶ γὰρ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί", τὸ γράμμα λέγει τὸ ἱερόν) καὶ τὴν λογοθετικὴν ἀξίαν περιζωσάμενος εἰκότως ἐκ τούτου μᾶλλον αὔξει τὸν θρῆνον.

13. Ἅμα γὰρ αὐτόν τις λογοθέτην καλεῖ, καὶ παραυτὰ τὸν πατέρα καὶ σοφὸν λογοθέτην εἰς μνήμην ἀναπεμπάζων στενάζει τε βύθιον καὶ πενθικὰς ᾠδὰς ἀναφθέγγεται, καὶ τοῦ χωρισμοῦ μεμνημένος τοῦ πατρικοῦ μικροῦ παρανοίγει τὸν τάφον καὶ προσκυζᾶσθαι θέλει τῷ νεκρῷ τοῦ πατρός. τῷ τοῦ πατρικοῦ δὲ φίλτρου ζωπύρῳ τὴν ψυχὴν ἐμπιπράμενος συνεκμετρεῖσθαι τῷ πατρὶ ταύτην ἐθέλει καὶ συμπαρελθεῖν ἐκείνῳ φιλονεικεῖ, "Ἐκλέλοιπε" λέγων "τὸ φῶς, ὁ σοφὸς λογοθέτης καὶ φιλόπαις σύ μου πατήρ. τίς σε τὸν ἐμὸν λύχνον ὑπὸ τὸν μόδιον ἔκρυψεν, ὃν εἶχον πᾶσι τοῖς ἐμοῖς προλάμποντα διαβήμασι; λύχνος γὰρ ἦν τοῖς ποσί μου πάντως ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου κατὰ τὸν σὲ Δαυὶδ τὸν πραότατον, ἐν ᾧ πάσας ἀρετῶν εἰκόνας ἐνωπτριζόμην. καὶ ἤθελον μὲν αὐτὰς μετεγγράφειν ἐν ἑαυτῷ καὶ τῶν πατρικῶν σεμνοτήτων κληρονόμος γνησιώτατος φαίνεσθαι, ἀλλά μοι στενός τις ἄγαν ὁ πίναξ ὁ ψυχικὸς καὶ ἡ ζωγράφος προαίρεσις οὐκ εἰς κάλλος ταύτην τὴν τέχνην ἐξηκριβώσατο· καὶ μετεγγράφω μέν, μικρὰ δὲ ἄττα καὶ οὐδὲ ταῦτα μετὰ ἀκριβείας τῆς γραφικῆς. οἴμοι, ὅτι ἀπέστην ἀπὸ προσώπου εὐπρεπείας τῆς δόξης σου. οἴμοι, ὅτι ἐξεχύθη εἰς γῆν ἡ δόξα μου (τὰ τοῦ Ἱερεμίου προσφθέγγομαι)· "ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου", τὸ στήριγμα τὸ ἐμόν, ὁ ἐμὸς φιλόπαις πατήρ. οἴμοι, ὅτι συνετρίβη ἡ καρδία μου ἐν ἐμοὶ καὶ ἐγενήθην τεταραγμένος, ὅτι ἐξέλιπεν ἡ μεγάλη δόξα τοῦ οἴκου μου, ταῦτα δὴ τὰ προφητικά. χθὲς ἐκροτοῦμεν σὺν εὐφροσύνῃ καὶ ἀγαλλιάσει τὰ εἰσιτήρια, καὶ σήμερον τὰ πικρὰ ταῦτα καὶ λοίσθια θρηνολογοῦμεν σὺν δάκρυσιν ἐξιτήρια. χθὲς ἑορτῶν ἄντικρυς ἑορταὶ κατὰ τὸν τοῦ θεόπτου Μωϋσέως νόμον· χθὲς ὕμνοι καὶ κρότοι καὶ μελιχρά τινα ψαλτῳδήματα καὶ πρὸς θεὸν εὐχαριστήρια μελῳδήματα καὶ διαχεομένη πανήγυρις, καὶ νῦν πῶς ἐστράφη εἰς πένθος ἡ χαρὰ ἡμῶν. ἀλλ' ὦ τῆς ἐμῆς οἰακοστρόφε ψυχῆς,

5 Ψαλμ. μδ', 17. 15 λύχνον ὑπὸ τὸν μόδιον] πρβλ. Ματθ. ε', 15. 17 Δαυὶδ] πρβλ. Ψαλμ. ριη', 105. 22 ἀπὸ προσώπου — δόξης σου] πρβλ. Ἱερεμ. κγ', 9. 23 ἐξεχύθη—δόξα μου] Θρ. β', 11. 24 Ψαλμ. οβ', 26. 25 συνετρίβη—ἐμοὶ] Ἱερεμ. κγ', 9. 26 ἐγενήθην τεταραγμένος] πρβλ. Ψαλμ. κθ', 8. 32 ἐστράφη — ἡ χαρὰ] πρβλ. Θρ. ε', 15.

18 κ ῶ δ. ἐνοπτριζόμην.

φίλτατε γεννῆτορ ἐμέ, τὸ ἐμὸν ἐντρύφημα καὶ καλλώπισμα, τίνα ταύτην ἀπαίρεις ὁδόν; μὴ στέλλῃ πρέσβις καὶ πάλιν καὶ αὖθις ὄψομαί σε μετὰ μικρὸν ἐπανήκοντα; μὴ πρὸς τὸ Σικελικὸν ὄρος τὴν Αἴτνην ἀπαίρεις, ἧς τὸ ὑπαναφλάζον πῦρ καὶ ἀναβραζόμενον οἱ παρὰ σοὶ τοῦ ῥητορικοῦ πυρὸς κρατῆρες ἀπέκρυψαν καὶ τὰς καθ' ἡμῶν Σικελικὰς βουλὰς καὶ τὰς ὑγρὰς κελεύθους τῷ μένει τούτων ἐναπετέφρωσαν; ἀλλ' οἴμοι, τὸ μὲν ῥητορικὸν ἐκεῖνο πῦρ ἀρτίως ἀπέσβη, τὸ δ' Αἰτναῖον παρ' ἐμοὶ πάντως μένει παφλάζον τε καὶ πρηστήριον. καὶ σὺ τοίνυν ἀμεταστρεπτὶ πάντως πεπόρευσαι πρὸς τὰ τῆς Περσεφόνης καὶ Πλούτωνος καὶ οὐκέτι σου τὸ προσηνὲς ὄψομαι πρόσωπον, οὐκέτι σε τὸν ἐμὲ σωφρονίζοντά τε καὶ βελτιοῦντα θεάσομαι. ὦ ποσάκις "ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου", κατὰ τὸ τοῦ προφήτου καὶ βασιλέως ψαλτῴδημα, καὶ "ἐν τῇ βουλῇ σου ὡδήγησάς με καὶ μετὰ δόξης ἀνήγαγές με καὶ προσελάβου με", Υἱὲ λέγων ἐν ὁδοῖς δικαιοσύνης ἀνάστρεφε καὶ ἐμῶν νόμων μὴ ἐπιλανθάνου. οὐκέτι τοίνυν βελτιώσεις ἡμᾶς· οὐκέτι δοξάσεις μόνον ζῶν καὶ φαινόμενος· οὐκέτι λαμπρύνεις, οὐκέτι κοσμήσεις ὁ λαμπρὸς ἡμῶν κόσμος, τὸ ἡμέτερον σέμνωμά τε καὶ καύχημα".

14. Τοιαῦτα μέν σοι, θειότατε καὶ σοφώτατε λογοθέτα, ὁ σὸς παῖς, ὁ καλὸς μετὰ σὲ λογοθέτης, μετὰ δακρύων ἐκτραγῳδεῖ καὶ γίνεται τῷ θεάτρῳ μεγίστου πένθους ὑπόθεσις· ἡ δὲ σεμνοτάτη σου νύμφη, ἡ ἐκ τῆς πρώτης καὶ βασιλικῆς τῶν Κομνηνῶν χρυσέας σειρᾶς, ἡ ἀνδρεία καὶ σώφρων τοῦ σοῦ παιδὸς καὶ λογοθέτου γυνὴ καὶ παρὰ τῷ Σολομῶντι δυσπόριστος, ποίαν οὐ συνθρύπτει ψυχήν, τίνος οὐ σπαράττει καρδίαν θαλερὸν κατὰ δάκρυ χέουσα καὶ σῶφρον ἀποστάζουσα δάκρυον; καὶ φωνὴ μὲν θρηνῳδούσης νύμφης οὐκ ἐξακούεται, οἵαν Ἱερεμίας νύμφην θρηνῳδοῦσαν θεσπεσιῳδεῖ· θέλει γὰρ φέρειν κἀνταῦθα τὸν ἐκ τῆς σιγῆς κόσμον, τὸν ταῖς γυναιξὶ πρεπωδέστατον· τέως δ' οὖν ἀλλ' ἀπορριπτεῖ τὸν κόσμον τῆς κεφαλῆς, ἐπεὶ καὶ τὴν κεφαλὴν τῶν κόσμων, τὸν σοφὸν αὐτῆς κηδεστήν, τὸν λογοθέτην, ἐστέρητο, καὶ ἀπαράκλητα κλαίει γαληνῷ καὶ σώφρονι τῷ κλαυθμῷ καὶ περὶ δακρύων οἷον κἀν πένθους τῷ καλῷ συζύγῳ διαμιλλᾶται καὶ θαμινὰ τῶν ὀμμάτων ἐξακοντίζει τὰ δάκρυα καὶ θεατρίζει τὸ θέατρον, ὃ πρὸς τὸν σοφὸν αὐτῆς κηδεστήν, τὸν καὶ ποθοῦντα ταύτην, ἐπέτρεφε, μετὰ τῆς ᾀσματιζούσης νύμφης τοῦτον ἀναζητοῦσα καὶ "δεῖξόν μοι" φωνοῦσα "τὴν ὄψιν σου

11/13 Ψαλμ. οβ', 23, 24. 13 ἐν ὁδοῖς δ. ἀνάστρεφε] πρβλ. Παρ. η', 20. 14 ἐμῶν—ἐπιλανθάνου] πρβλ. Παρ. δ', 2. 20 χρυσέας σειρᾶς] πρβλ. Ἰλ. Θ, 19. 21 Σολ. δυσπόριστος] πρβλ. Παρ. λα', 10. 22 θαλερὸν χέουσα] - - πρβλ. Εὐρ. Ἰφιγ. ἐν Αὐλίδι στ. 39. 24 Ἱερεμίας] πρβλ. Ἱερ. ζ', 34. ις', 9. κε', 10. 25 σιγῆς κόσμον] πρβλ. Σερ. κς', 14. 32 Ἄσμα β', 14.

7 παμφλάζον. 8 πριστήριον

καὶ ἀκούτισόν μοι τὴν φωνήν σου". τοιαῦτά σοι τοῦ καλοῦ παιδὸς καὶ τῆς νύμφης τὰ θρηνῳδήματα, τὰ δὲ τῶν λοιπῶν παίδων ὁποῖα; πείθονται ταῖς τοῦ Ἡσαΐου φωναῖς· κείρουσι τὰς κεφαλὰς καὶ τὰς τρίχας ἀπορριπτοῦσι καὶ ἐπὶ τῶν χειλέων θρῆνον ἀναλαμβάνουσι· συνολοφύρεται δὲ τούτοις τὸ συγγενὲς καὶ συνζοφοῦται τῷ νυκτέρῳ ζόφῳ τοῦ πάθους, ὡς ἐπὶ ψηλαφητῷ δή τινι σκότῳ τούτῳ πλαζόμενον, καὶ τοῖς περιβλήμασι συμμελαίνεται.

15. Ἀλλ' οἰκτείρεται τὸν καλὸν τοῦτον λογοθέτην ὁ λόγος καὶ συνεῖραι νηπενθῆ ῥήματα θέλει καὶ σπεύδει στῆσαι τούτῳ τὰ δάκρυα, τῆς Ἱερεμίου θρηνῳδίας δανεισάμενος τὴν παράκλησιν, "διαλιπέτω" λέγοντος "ἡ φωνὴ αὐτοῦ ἀπὸ κλαυθμοῦ καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ δακρύων", ἐπεὶ ἐπένθησεν ἐπὶ τεθνηκότι πατρί, καὶ ἐλθέτω νῦν εἰς παράκλησιν· καὶ ἵν', ὦ λογοθέτα, πρὸς σὲ τρέψω τὸν λόγον, ἕως πότε θρηνήσεις οὕτω πικρῶς; ἕως πότε στενάξεις ἀπὸ βάθους καρδίας σου; ἕως πότε θήσεις ὀδύνας ἐν καρδίᾳ σου, ἡμέρας καὶ νυκτὸς παθαινόμενος; ἕως πότε τῶν σῶν ὀφθαλμῶν οὐκ ἀπομόρξῃ τὰ δάκρυα, ἀλλὰ δακρύεις ὅτι σοφὸς ἦν ὁ πατὴρ καὶ ἐξέλιπε καὶ "πολὺς ἐν φρονήσει" καὶ ᾤχετο; στενάζεις λέγων· "Οἴμοι ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, ἀλλ' ὅτι συνετός, ὅτι χρηστός, ὅτι πρᾶος, ὅτι εὐθύτητα καὶ δικαιοσύνην ἠγάπησε καὶ ἀνομίαν ἐμίσησε, καὶ δόλος οὐκ ἐξῆλθεν ἐκ τῶν χειλέων αὐτοῦ· ἃ δὴ πάντως τὸν ἀρεστὸν καὶ φίλον θεῷ χαρακτηρίζουσιν ἄνθρωπον. "Ἄπο τὰ σεμνὰ ταῦτα" λέγεις "κεκρύφαται κατορθώματα". διὰ ταῦτα στυγνάζεις σὺ καὶ δακρύεις καὶ ποιεῖς οὕτω στυγνάζον καὶ κατηφείας γέμον τὸ θέατρον; ταῦτα μᾶλλον γέρα τῶν ἀρετῶν ἐκείνου τὰ κατορθώματα, ὅτι τοιούτου σὺ παῖς ἐγένου πατρός, οὗ μετ' ἐγκωμίων ἡ μνήμη, οὗ θανόντος μετάμελος καταλέλειπται, οὗ τελευτήσαντος ἐλπὶς οὐκ ἀπόλλυται. εἰ δὲ καὶ τὰ παρ' ἐκείνου κατορθώματα φίλα πάντως ἦσαν θεῷ, τί τὸν ταῦτα κατορθώσαντα πενθεῖς; μετὰ τῶν ἄνω συντέτακται, δικαίοις συγχορεύει, τοῖς τῶν ἀγγέλων τάγμασι συναγάλλεται, ἐπεὶ καὶ μᾶλλον τὴν ἀγγελικὴν στολὴν ἐνεδύσατο καὶ μετὰ τῆς ἀγέλης τῶν κεκαρμένων ἀναβαίνειν ἐκ τοῦ δακρυόεντος τῆς μετανοίας λουτροῦ καὶ ταύτῃ συναγελάζεσθαι προτεθύμηκεν.

3 Ἡσ. φωναῖς] πρβλ. Ἱερ. ζ', 14. 3/4 κείρουσι — ἀναλαμβάνουσί] Ἱερ. ζ', 29. 8 Ἱερεμίου] Ἱερ. λη', 16. 10/11 ἐπένθησεν — παράκλησιν] πρβλ. Ἱερ. ις', 7. 13 θήσεις — ἡμέρας] Ψαλμ. ιβ', 3. 15 ἀπομόρξῃ τὰ δάκρυα] πρβλ. Ὀδ. ρ, 304. 16 Παρ. ιδ', 29 || οἴμοι—γῆς] Μιχ. ζ', 2. 17 εὐθύτητα — ἐμίσησε] πρβλ. Ψαλμ. μδ', 7-8. 18 ἀνομίαν—χειλέων αὐτοῦ] Ἡσ. πρβλ. νγ', 9. 23 οὗ μετ' ἐγκ. ἡ μνήμη] πρβλ. Παρ. ι', 7. 24 οὗ τελ. ἐλπὶς οὐκ ἀπόλλυται] Παρ. ια', 7.

29 κ ῶ δ. λοτροῦ.

16. Ἄφες ἄρτι παρενοχλεῖν τῷ μετὰ τῶν δικαίων νῦν ἀναπαυομένῳ καὶ τῷ θεῷ προσανέχοντι. ἅλις σοι τῶν στεναγμάτων, ἅλις σοι τῶν κλαυθμῶν. καὶ ὁ σοφὸς δὲ Σολομὼν καιρόν σοι πάντως κλαυθμοῦ καὶ πένθους ὁρίζεται. στῆσόν σου τὸ δάκρυον, ὡς καὶ τῆς σῆς συζύγου τῆς σώφρονος τὰ πολύκρουνα τάχα παυθήσονται δάκρυα· ἃ κἂν οὕτω κρουνηδὸν ἀποβλύζωνται, κἂν οὕτω κατὰ ποταμοὺς ἀκάθεκτα χέωνται, πλὴν ἀλλ' οὐδ' ὡς τὴν κάμινον τῆς συμφορᾶς ἀποσβέσουσιν· ὑπανάπτει γὰρ ταύτην τὸ τοῦ πρὸς τὸν σοφὸν λογοθέτην φίλτρου διακαὲς καὶ διάπυρον καὶ τῆς συμφορᾶς ἀναρριπίζει τὴν κάμινον. ἢ οὐκ οἶδας, ὡς τὸ θῆλυ γένος φιλοίκτιστον; τί μὴ ταύτην οἰκτείρῃς; ὁρᾷς, ὅπως ὑπὸ τοῦ πολλοῦ τούτου πάθους λιποδρανήσασαν. κἀγὼ πάντως συνοδύρομαί σοι τὸ πάθος, ὅτι τοι. καὶ συνεζημίωμαι. κλαίω μετὰ κλαιόντων καὶ μετὰ θρηνούντων θρηνῶ, μᾶλλον δὲ καὶ πρὸ τούτων καὶ μετ' αὐτοὺς μακροῖς θρήνοις τὴν συμφορὰν ὀλοφύρομαι καὶ τὸν κοινὸν ἀνακαλοῦμαι παρήγορον. στενάζεις, ὦ λογοθέτα, καὶ ἀπὸ καρδίας ὁ στεναγμός· ἐγὼ δὲ καὶ τὴν σφετέραν ψυχὴν ἐκείνῳ συνεκμετρηθήσεσθαι προτεθύμημαι, τῶν ἐκείνου μεμνημένος καλῶν καὶ τὴν στοργὴν ἀναπεμπάζων τὴν πατρικήν, ἣν ἐκεῖνος καὶ ἐπ' ἐμοὶ μετ' ἀμύμονα μέντοι Πηλείωνα, τὸν καλὸν σὲ λογοθέτην, ἴσα τοῖς ἄλλοις τέκνοις ἐπέτρεφεν.

17. Ἀλλ' ὅτι μετὰ τῶν ὁσίων συντέτακται, ὅτι μετὰ τῶν δικαίων ἐπαναπέπαυται, ταῖς χρηστοῖς ἐλπίσι μαλθάσσομαι καὶ τοὺς ὀδυρμοὺς ἀνακόπτω καὶ ἀποψῶνται τῶν ὀφθαλμῶν μου τὰ δάκρυα. Ἀβραὰμ φιλόξενος ἦν, ἐπειδὴ κἀκεῖνος φιλόξενος· μετὰ τοῦ προπάτορος καὶ συναυλισθήσεται, μετὰ Ἰσαάκ, μετὰ Ἰακώβ, μετὰ Ἰωσήφ, μεθ' ὅσον ἂν ἐρεῖ τις ἐναρέτων καὶ θεοφιλῶν, μετὰ τοῦ δικαίου καὶ φιλοπτώχου Ἰώβ, μετὰ τοῦ πραοτάτου Δαυίδ, ἐπεὶ τοῦ μὲν τὸ πρᾶον, τοῦ δὲ τὸ φιλόπτωχον ἐμιμήσατο. εἰ βούλει δὲ οὕτως, τί τῶν πραττομένων ἐνταῦθα τὸ κρεῖττον καὶ ὑψηλότερον, ὃ καὶ σώζειν ἔχει τὸν ἄνθρωπον; σωφροσύνη καὶ ὅσα τῆς σωφροσύνης ὑπέρσεμνα, χεὶρ ἄν(ε)τος καὶ δαψιλὴς εἰς τοὺς πένητας. τίς ἐκείνου σωφρονέστερος ἢ δαψιλεστέραν τὴν χεῖρα πεπλούτηκεν; ἐπαινεῖται δικαιοσύνη ὡς ἐξ οὐρανοῦ διακύψασα καὶ θαυμαστὸν εἰρήνη χρῆμα καὶ κάλλιστον, αἳ πάντως καὶ κατεφίλησαν· καλὸν ἐλεημοσύνη καὶ ἡ ἀλήθεια ἡ ἐκ τῆς γῆς ἀνατείλασα, αἳ καὶ ἀλλήλοις συνήντησαν. τίς ὡς οὗτος ταύταις συνήντησε; τίς ὑπερβαλλόντως ταύ-

3 Σολομὼν] Ἐκκλ. γ', 4. 11 κλαίω μετὰ κλαιόντων] πρβλ. Ῥωμ. ιβ', 15. 17 μετ' ἀμύμ. μ. Πηλεῖωνα] Ὀδ. ω, 18. 21 Ἀβρ. φιλόξενος] πρβλ. Γεν. ιη', 1—8. 24 Ἰὼβ] πρβλ. Ἰὼβ. α', 1. κθ', 12 || πραοτ. Δαυὶδ — πρᾶον] πρβλ. Ψαλμ. ρλα', 1. 29/32 δικαιοσύνη — συνήντησαν] πρβλ. Ψαλμ. πδ', 11.

5 κ ῶ δ. ἀποβλύζονται. 10 λειποδρανήσασαν. 17 πηλείονα.

τας ἐφίλησε; τίς ταύτας ἠσπάσατο καὶ προσῳκειώσατο καὶ συνοίκους ἔχειν ἠγάπησεν; αἳ καὶ πάντως ἐνώπιον ἐκείνου τοῦ δικαίου προπορευθήσονται καὶ εἰς ὁδὸν δικαίων τὰ τῆς ψυχῆς ἐκείνου θήσονται διαβήματα.

18. Βούλεταί μοι τελευταῖον ὁ λόγος πρᾶγμα παρ' ἐκείνου δὴ τελεσθὲν ταῖς ὑμῶν ἀκοαῖς γνωρίσαι, ὦ θειότατον ἄθροισμα, μέγα τι καὶ θαυμαστὸν καὶ τῆς ἐκείνου ψυχῆς ἄξιον, οὗ τῶν νῦν ἠθροισμένων πολλοὶ παρίστανται μάρτυρες. τῆς θείας καὶ ἱερᾶς μυσταγωγίας τὸ μέγα τε καὶ φρικωδέστατον ἐτελεῖτο μυστήριον, ἡ ἀναίμακτος καὶ καινὴ θυσία, τὸ ἱερώτατον σφάγιον, καὶ ὁ πολὺς ἐκεῖνος ἀνὴρ ἔνδοθεν τῶν προτεμενισμάτων ἔκειτο κάμνων, τὰ πολλὰ τῇ νόσῳ τρυχόμενος, καὶ περὶ τὴν κλίνην τὸ συγγενὲς τῷ κειμένῳ συγκάμνον καὶ τὴν ψυχὴν παθαινόμενον. συμπαρῆν καὶ μέρος γένους βασιλικοῦ δακρύον τε καὶ περιπαθές, σπαραγμόν τινα πάσχον ψυχῆς διὰ τὸν κοινὸν παρήγορον λογοθέτην, τὸ πρὸς ἐκεῖνον ἐμφαῖνον φίλτρον καὶ μετὰ πένθους οἴμοι τὰ λοῖσθά οἱ προπεμπτήρια χαριζόμενον· οὐκ ἀπελιμπάνετο δὲ καὶ τὸ τῆς συγκλήτου καὶ τῆς βουλῆς, ἀλλ' ἐπληροῦτο καὶ τοῦτο κατηφείας καὶ στεναγμῶν καὶ θαμινοῖς ἐπιτεγγόμενον δάκρυσι. τὸ μέγα δὲ καὶ περιλάλητον τοῦτο πολίτευμα περὶ ἐκεῖνον ἅπαν ἐξεχεῖτο σχεδόν, ἅπαν πρόσοικον ἔθνος, πᾶσαι γλῶσσαι, πᾶσαι φυλαί, ὧν ἐκεῖνος τῇ σφετέρᾳ σοφίᾳ πᾶσαν τὴν διάλεξιν κατεγλύκαινε, καὶ τὰς ἐπιθανατίους ἐκείνῳ καὶ λοίσθας ἔνεμον χάριτας καὶ θόρυβος ἐκ τούτων πολύς· ὁ δὲ θόρυβος οἰμωγαὶ καὶ θρῆνοι καὶ δάκρυα καὶ ὁ συμμιγὴς τοίνυν θρῆνος τὴν ἱερολογίαν ἐκείνην συνέχεε καὶ τὰς φωνὰς τῆς θείας παρέκλινε τὸ πένθος ᾠδῆς. καί τις τῶν ἐπιμελῶς σκεπτομένων καὶ φιλοσοφούντων περὶ τοῦ πάθους ἐδώδιμον προσῆγεν ἐκείνῳ τῆς νόσου φάρμακον, ὃ δ' ἀνένευσε· πραείᾳ δὲ μᾶλλον καὶ ἡσύχῳ προσλαλιᾷ ὡς μέλι τῆς γλώττης ἐκχεομένῃ ἢ ῥεῦμα ἐλαίου καὶ γάλακτος (κατὰ τὸν ᾀσματογράφον) ἡσύχως καὶ μεθ' ἡδονῆς σταλασσομένῃ, " Ἰδοὺ καιρὸς " εἶπε " τῶν ἁγιασμάτων ἐφίσταται καὶ μή μοι τοιοῦτόν τι πρόσαγε φάρμακον, εἰ μὴ πρότερον μετάσχω τῶν δωρεῶν ". εἶπε ταῦτα, καὶ κάμνων ἔκειτο τῇ νόσῳ κατατρυχόμενος καὶ μεστὸν ἦν θρήνων καὶ στεναγμάτων τὸ θέατρον.

19. Ἐπεὶ δ' ὁ καιρὸς ἐφεστήκει, καθ' ὃν τὰ θεῖά τε καὶ φρικτὰ μυστήρια τετελείωτο (τὸν ἄνδρα δ' οὐκ ἔλαθεν ὁ καιρὸς τὸν σοφὸν ἐκεῖνον καὶ συνετόν, κἂν ἰαχή τις ἐξ ἁπάντων ἐκράτει καὶ θόρυβος, κἂν οἰμωγαί τε καὶ στοναχαὶ δακρύοις σύμμικτοί τε καὶ σύγκρατοι· ἀλλ' οὐδέ γε καὶ θεὸς οἶμαι

3 εἰς ὁδὸν δικαίων] πρβλ. Ψαλμ. α', 6. 26 ᾀσματογράφον] πρβλ. Ἆσμα δ', 11.

26 κ ῶ δ. σταλασσόμενα.

λάθετ' ἐκείνου τοῦ μάκαρος, ἵνα τι μικρὸν παρῳδήσας καὶ τὰ Ὁμηρικὰ ἐκείνῳ ταῦτα προσεφαρμόσωμαι· ὦ τῆς εὐλαβοῦς καὶ θείας ἐκείνης ψυχῆς, ὦ τοῦ καθαρωτάτου καὶ ὑψηλοτάτου νοός. τοῦ ταῖς θείαις ἐκείναις φωναῖς προσανέχοντος, τῆς νόσου καὶ τῆς παντελοῦς ἀσθενείας ἐκεῖνος οἷον ἐπιλαθόμενος, ᾗ τόνον εἶχε τῆς στρωμνῆς καὶ τῆς κλίνης ἀνίσταται καὶ τῶν ἀγκαλῶν ὑπολαμβανόμενος πρόσεισι τῷ θυσιαστηρίῳ τοῖς σφετέροις ἐκεῖνος ποσὶ μετὰ χρηστῶν ἄγαν ἐλπίδων καὶ ἀκραιφνεστάτης τῆς πίστεως. εἶτα τί; μιμεῖται κάνταῦθα τὸν Μωϋσῆν· τὰς χεῖρας αἴρει πρὸς κύριον σὺν ἀτρέπτῳ μάλα καὶ ἀκλινεῖ καὶ τῷ νοῖ καὶ τῷ βλέμματι, οὐχ ἵνα καταβαλῆται τὸν Ἀμαλήκ, ἀλλ' ὡς ἀφανῆ δαιμόνων αἰσχυνθῶσι στρατεύματα τὰ τοῖς βροτοῖς ἀρχῆθεν πολέμια. κλίνας τε γόνυ καρδίας ἐν συντετριμμένῃ ψυχῇ καὶ πνεύματι ταπεινώσεως, καὶ δακρύων ὅλος γενόμενος καὶ πλουσίοις οὕτω κατατεγγόμενος δάκρυσι, καὶ περὶ ἐλεημοσυνῶν δὲ ἀρχαίων ὑπομνήσας θεόν, οἷος ἐκεῖνος σοφὸς ἐκ βίβλων παλαιῶν ἀναλέξασθαι ἀρχαῖα κυρίου ἐλέη καὶ θαυμάσια θεοῦ διηγήσασθαι, καὶ τῆς σφετέρας ψυχῆς ὑπὲρ τῶν ἴσως ἐκείνης ὀλισθημάτων ὑπερευξάμενος (οὐδεὶς γάρ ἐστιν ἐξ ἁπάντων αἰώνων ὁ ἀναμάρτητος, εἰ μὴ μόνος κύριος ὁ θεός), εἶτα τῶν ἀχράντων μετασχὼν μυστηρίων τῆς κλίνης γίνεται πάλιν καὶ τῆς στρωμνῆς καὶ τοῦτο τοὺς παρόντας ἐξέπληξε. θαύματος τοῦτο τοὺς ὁρῶντας ἐπλήρωσε· τὰ πάντα πάντες ἐθείαζον, τὸν ἀκλινῆ καὶ ἄτρεπτον νοῦν καὶ μόνῳ θεῷ προσανέχοντα, τὴν τῶν ποδῶν κίνησιν, ἣ καὶ τὴν νόσον ἐν ἄλλῳ τινὶ σώματι τάχα κειμένην ὑπέφαινε· τὴν τῶν χειρῶν ἄρσιν, τὸ σύντονον τῆς εὐχῆς, τοὺς στεναγμούς, τὰ δάκρυα, τὴν κατάνυξιν. τίς γὰρ ταῦτα βλέπων οὐκ ἂν ἐθαύμασεν καὶ τὸν ἄνδρα τῆς τοσαύτης ἀρετῆς οὐκ ἐζήλωσεν;

20. Ἀλλ' ὅ με μεταξὺ τῶν λόγων διέδραμε, τοῦ ἀνδρός τε τὴν ἀρετὴν ἐμφαῖνον ἀριδηλότερον καὶ τοῦ προτέρου θαυμασιώτερον· μετέλαβε τῶν μυστηρίων ὁ σοφὸς καὶ μέγας ἐκεῖνος ἀνὴρ καὶ παραυτὰ παραγγέλλει τῷ θύτῃ μετ' εὐλαβείας, ὁπόσης ἂν εἴποι τις καὶ αἰδοῦς, μερίδα τινὰ παρατηρῆσαι τῶν δωρεῶν, ὡς ἂν μετάσχῃ ταύτης ἐπιψωσκούσης τῆς αὔριον. ὃ δὴ καὶ ξυνέβη πάντως γενόμενον· ὀρθρισθέντων γὰρ ἤδη τῶν κατὰ θεὸν βιούντων ἀνδρῶν καὶ τοὺς ὀρθρινοὺς ὕμνους ᾀδόντων, κἀκείνου δὲ τῶν θείων ὑμνῳδιῶν ὑπακροωμένου, ἔστι δ' ὅτε καὶ τούτοις ἠρέμα πως καὶ ἡσύχως τὰ ψαλ-

1 Ὁμηρικὰ] πρβλ. Ἰλ. Δ, 127. 10 Ἀμαλὴκ] πρβλ. Ἐξόδ. ιζ', 10—13. 11 ἐν συντ. — ταπεινώσεως] Δαν. γ', 39. 14 ἀρχαῖα κ. ἐλέη] πρβλ. Ψαλμ. πη', 50. 15 θαυμ. θεοῦ διηγήσασθαι] πρβλ. Ψαλμ. θ', 1. κε', 7. οδ', 1.

5 ᾗ] κ ῶ δ. ἣ. 9. καταβαλεῖται. 27 παραγγέλει.

τικὰ συνυποψάλλοντος ῥήματα, ἐπειδὴ ὁ τῆς ἀναλύσεως ἐφειστήκει καιρός, ὡς τελεσθείη λειτούργημα φύσεως ἄφυκτον, εἰς ἀνάμνησιν ἐκεῖνος τῶν θείων ἔρχεται δωρεῶν. εἶτα τούτων μεταλαβὼν καὶ ὡς εἶχεν εὐχαριστήσας θεῷ (ἡ γὰρ ἰσχὺς ἤδη τοῦ σώματος ὑπετέμνετο καὶ ἡ ἀριφραδὴς ἐκείνη γλῶσσα καὶ μελιχρὰ ὑπὸ τοῦ δεινοῦ καὶ πλημμυροῦντος τῆς νόσου ῥεύματος καὶ τῶν πνιγηρῶν καὶ θανασίμων ὑγρῶν παρεσύρετό τε καὶ παρεκόπτετο), τέλος καταθεῖναι λέξας τοῖς ἀμφ' αὐτὸν ὕπνωσεν ὕπνον τὸν τοῖς τῷ θεῷ φίλοις προσοφειλόμενον καὶ τὸ συγγενὲς πανόδυρτον εὐθὺς καὶ πολύθρηνον καὶ διωλύγιον κλάον καὶ τῷ πάθει διαρρηγνύμενον.

21. Ἐκόψαντο καὶ γυναῖκες καὶ τὸν κοπετὸν ἦραν εἰς ὕψος καὶ μέχρι καὶ ἐς οὐρανὸν ἀνέβαινε τὸ θρήνῳδημα. ἐστέναξαν ἄρχοντες καὶ πρεσβύτεροι τῆς νέας ταύτης Σιών, παρθένοι καὶ νεανίσκοι ἠσθένησαν, ταῦτα δὴ τὰ προφητικά· ὁ δὲ λοιπὸς ὄχλος ἐστέναξεν ἐσκυθρώπαζε καὶ πενθικὸν συνῆρε μελῴδημα· οἳ καὶ κοινὴν συμφορὰν τὸ πάθος ἡγούμενοι πρὸς μέγαν θρῆνον ὡς ἀπορφανισθέντες ἠγείραντο. ἡ σύγκλητος δὲ ἀλλὰ περιΐστατο καὶ αὐτὴ περιαλγὴς καὶ περίλυπος τὸν κόσμον ταύτης ἀναζητοῦσα καὶ τὰ πολλὰ στυγνάζουσα καὶ περίδακρυς. ἐγένετο καὶ μέγα πένθος ἐπ' ἔθνεσιν, ὅσα τε τῇ βασιλίδι τῶν πόλεων μισθοφοροῦντα ταύτης προκινδυνεύουσι καὶ ὅσα εἰς πρέσβεις ἐξ ἀλλοδαπῶν ἥκοντα τεθεώρηται τὴν αὐτοκρατορικὴν ἀναζητοῦντα πάντως εὐμένειαν. ἀφῄρητο δὲ καὶ κόσμος ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν, ἐπεὶ τὸν σοφὸν λογοθέτην, τὴν κεφαλὴν αὐτῶν, ἐζημίωνται· οἳ καὶ τὰς κεφαλὰς αὐτῶν προσουδίζοντες, θαμά τε τὴν γῆν τοῖς κρούμασι βάλλοντες καὶ κοινῇ τὴν ὀρφανίαν ἀποκλαιόμενοι, " Οὐκέτι ἐν τῇ γῇ ἔθνη ὁδηγήσεις " ἐβόων· " οὐκέτι ἐνώπιόν σου ἔθνη ἀγαλλιασθήσονται ἢ καὶ εὐφρανθήσονται, ἐπεὶ ὡς ἀπολωλεκότα βουλὴν αὐτῶν ἐταράχθησαν καί σε τὸν σοφὸν ἀνακαλοῦνται λογοθέτην τὸν ἀριστόβουλον ". καὶ ἵνα συνελὼν εἴπω τῆς Δαυιτικῆς κιννύρας αὖθις τὰ ψαλμῳδήματα δανεισάμενος, συναχθέντα πάντα τὰ ἔθνη αὐτὸν ἐμακάριζον, ἐπεὶ ἡ δόξα αὐτοῦ πολλὴ ἐν αὐτοῖς καὶ ὑψώθη τὸ ὄνομα αὐτοῦ ἐν πᾶσι τοῖς ἔθνεσιν. οὕτω καὶ οἱ ἐθνογενεῖς ἐπωδύραντο καὶ ἀλλότριοι· οὐδὲ γὰρ ἀθρήνητος οὐδ' αὐτοῖς ὁ τοῦ σοφοῦ λογοθέτου θάνατος ἔμεινεν. ἔκλαυσεν ἐπὶ τῷ λογοθέτῃ καὶ γένος ἅπαν βασίλειον, ὅσον τε σύνεγγυς καὶ ὅσον ἐστὶ μακρυνόμενον.

22. Ὁ δ' εὐσθενὴς καὶ πανδέξιος αὐτοκράτωρ, ὁ φίλοικτος βασιλεύς, ὁ

12 ἐστέναξαν — ἠσθένησαν] πρβλ. Μακ. 1, α', 26. 17 ἐγένετο — ἔθνεσιν] πρβλ. Μακ. 1, α, 25. 23 Ψαλμ. ξς', 5. 24/25 ἔθνη — απολωλεκότα βουλὴν αὐτῶν] πρβλ. Δευτ. λβ', 28. 25 ἐταράχθησαν] πρβλ. Ψαλμ. με', 6. 27/28 ἐμακάριζον] πρβλ. Ψαλμ. οα', 17. 8/29 ὑψώθη — ἔθνεσιν] πρβλ. Ἡσ. ιβ' 4.

ἡμέτερος οὗτος ἥλιος καὶ ἡ περικαλλὴς αὕτη σελήνη καὶ λαμπρὰ βασιλὶς τῇ τοῦ πάθους ἀθυμίᾳ κατενεφώθησαν καὶ ὡς ἐξ οὐρανοῦ οἷον τοῦ βασιλείου κράτους καὶ ὑψηλοῦ ὄμβρος κατηνέχθη δακρύων ἐπὶ μόνῳ τῷ τοῦ πάθους ἀκούσματι. ἐπεδάκρυον τούτοις καὶ Ἡλιάδες καὶ εἰς ἤλεκτρον μὲν οὐκ ἐπεπήγει τὰ δάκρυα, ἐπεὶ μηδ' ὡς πάλαι μῦθος ἐθέλει τὸν ταύταις σύγγονον ἐπέκλαιον, τὸν Φαέθοντα, εἰ μή τις ἐκεῖνον εὐστόχως ἐν ἀρεταῖς καὶ λόγοις εἴπῃ Φαέθοντα· ἐπεὶ δὲ καὶ τοῖς τῶν παρηλίων συζύγων συνεπωχετεύοντο δάκρυσι καὶ εἰς ῥεῦμα πάντως ἀπετελεύτων πολύκρουνον. ναὶ μὲν γὰρ ἤρεμόν τε καὶ βύθιον ὁ βασιλεὺς ἐπεστέναξε τὸν τούτου συνετὸν ἀνακαλούμενος σύμβουλον, τὸν ἀριστόβουλον, τὸν βαθύβουλον, τὸν σοφὸν βουληφόρον ἀναπεμπάζων, οὗ καὶ Νέστωρ ἡττᾶτο ὁ λιγὺς ἀγορητὴς ἐκεῖνος ὁ Πύλιος, καὶ ἐπὶ μᾶλλον ἐδάκρυσε· δεκτὸς γὰρ ἦν βασιλεῖ, κατὰ τὸν παροιμιάζοντα καὶ σοφὸν βασιλέα, ὡς ὑπηρέτης νοήμων καὶ τῇ ἑαυτοῦ εὐστροφίᾳ βουλὰς διασκεδάζων ἐθνῶν, καὶ ὅτι σοφία καὶ δικαιοσύνη διέκυπτεν ἀπὸ χειλέων αὐτοῦ καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις.

23. Τοιοῦτος ὁ περὶ τὸν λογοθέτην πόθος ἀπανταχοῦ τῆς γῆς ἐκπεπόρευται, δι' ὃν ὁ συμμιγὴς οὗτος θρῆνος καὶ πάγκοινος καὶ πανόδυρτος καὶ τὸ δακρυόεν τοῦτο ῥεῦμα τὸ πολυχεῦμόν τε καὶ πολύκρουνον ἀπὸ τῶν ἀκροτάτων καὶ ὑψηλῶν μέχρι δὴ καὶ ἐπὶ τὰς πεδιάδας αὐτὰς τοὺς ταπεινοτέρους πάντας καὶ χαμερπεῖς ὑποσύρεται. καὶ φωνὴ μὲν ἐν Ῥαμὰ τῶν συμμιγῶν τούτων θρήνων ἐξηκούετο, καθὼς τῆς Ῥαχὴλ παρ' Ἱερεμίου τεθεσπιῴδηται, ὁ θάνατος δὲ τοῦ σοφοῦ λογοθέτου, δι' ὃν ὁ πολὺς οὗτος θρῆνος καὶ τὰ πικρὰ τῶν κλαυθμῶν ἐγείρονται μελῳδήματα, συμφορῶν ἁπανταχοῦ τὴν οἰκουμένην ἐπλήρωσε· καὶ πᾶν μὲν δάκρυον ἀπὸ προσώπου τῆς γῆς οὐκ ἀφείλετο, τοῖς δ' ἐξ ἁπάντων δάκρυσι μᾶλλον τῆς γῆς τὸ πρόσωπον ἐπαρδεύεται.

24. Ἀλλ' ἔτι πρὸς τὸν τῆς ἁγιοπρεποῦς λήξεως καιρὸν τοῦ μεγάλου τῷ λόγῳ μετάγομαι, ἐπειδὴ κατὰ τὸν αὐτὸν τῷ μεγάλῳ Ξενοφῶντι καιρὸν * * * τὸν βίον οὗτος μετήλεχεν. ἔχει γὰρ ὁ λόγος πιστώσασθαι ὅπως ἄρα τοῦτον ὁ μέγας ἐναγκαλίζεται Ξενοφῶν, ὡς ἅτε μὲν συνέκδημον αὐτῷ τοῦ βίου καὶ συναπόδημον, ἅτε δὲ καὶ σὺν γυναικὶ καὶ τέκνοις καλῶς τε καὶ θε-

4/7 Ἡλιάδες — Φαέθοντα] πρβλ. Etym. M. 425 ἐν λ. ἤλεκτρον. 11 Νέστωρ — Πύλιος] πρβλ. Ἰλ. Α, 247—249. 12 παροιμιάζοντα — βασιλέα] πρβλ. Παρ. ιδ', 35. 14 βουλὰς διασκ. ἐθνῶν] πρβλ. Ψαλμ. λβ', 10. 15 ἀπὸ προσώπου — σύνεσις] πρβλ. Παρ. β', 6. 20/21 φωνὴ — τεθεσπίῳδηται] πρβλ. Ἱερ. λη', 15. 28 Ξενοφῶντι — συνδιαπρέψαντα] πρβλ. Διογ. Λαέρτ. β', 6.

27 καιρὸν] μετὰ τοῦτο κενὸς χῶρος ἄχρις στοιχείων 20.

ρέστως καὶ τοῦτον τῷ βίῳ συνδιαπρέψαντα. δεξιοῦται δὲ τοῦτον ἔνθεν μὲν ὁ χρυσοῦς τὴν γλῶτταν καὶ τὴν θεμιστικὴν γλυκύτατός τε καὶ συντομώτατος, ὡς ὁμοίως τούτῳ συνθεμιστεύοντα, ἐκεῖθεν δ' αὖθις ἡ περίπνους καὶ θεολόγος γλῶττα καὶ γρήγορος, καὶ συνδεξιοῦται καὶ συνασπάζεται ὡς πυρὸς μένος καὶ τοῦτον περὶ τὴν ῥητορικὴν συνεκπνέοντα.

25. Τοιαῦτα μέν σοι, σοφὲ λογοθέτα, τὰ κοσ(μικ)ὰ καὶ πάνδημα θρηνῳδήματα· ἡμεῖς δ' ὑπὸ τηλίκης κατασεισθέντες τῆς συμφορᾶς, ὦ σοφὴ καὶ θεία ψυχή, καὶ τῷ δεινῷ τούτῳ πάθει πᾶσαν ἐκταραχθέντες τὴν αἴσθησιν, καὶ αὐτὴν δὲ τὴν ψυχὴν συγκεχυμένην ἔχοντες καὶ καρδίαν ὑπὸ τοῦ πάθους ἀστήρικτον, μᾶλλον δὲ τοῦ πικροῦ τούτου σκύφου τῶν συμφορῶν ἀκράτου κεράσας ἡμῖν, ὡς ἐξ οἴνου οἷον βεβαρημένοι τῇ λύπῃ γεγονότες καὶ κάτοχοι ταύτην ἄρτι τὴν τόλμαν σοι τετολμήκαμεν καὶ λόγους τούτους ἐπιταφίους ὡς μὲν πενιχρούς, ὡς δὲ καὶ σαθρούς, τῷ μεγάλῳ σοὶ καὶ θείῳ τὸν βίον καὶ τὴν σοφίαν πολυόλβῳ τε καὶ λαμπρῷ κατὰ πολὺ τῶν σῶν ἀρετῶν ὑπολειπομένους καὶ οὐκ ἀξίους τῆς σῆς σοφίας προσεπιφέρομεν. συνελαθέντες δὲ καὶ ἄλλως ὑπὸ τοῦ πόθου, ὃν σοι θερμότερόν τε καὶ δουλικώτερον ἐπετρέφομεν, καί σου τῷ πανοδύρτῳ τούτῳ τύμβῳ, εἴ γε τέως χρὴ τοῦτον τύμβον καλεῖν καὶ μὴ ταμεῖον πασῶν ἀρετῶν κεκλεισμένον τε καὶ πολύολβον, τὰς λογικὰς σπονδὰς ἐναγίζομεν, χοὰς δακρύων τούτῳ προσεπισπένδοντες. σὺ δέ μοι προσίεσο τούσδε τοὺς λόγους, ὦ πραοτάτη καὶ συμπαθεστάτη ψυχή, κἂν παραβόλως τετολμήκασιν οὕτω, κἂν κατὰ πολὺ τῶν σοὶ προσηκόντων ἐγκωμίων ἀπολιμπάνοιντο, ἐπεὶ καὶ κρείττονα λόγου παντὸς ἃ σὺ παρὼν ζωὸς ἐνταῦθα κατώρθωκας· καὶ τοῦ τῆς σῆς δὲ σοφίας κρατῆρος καὶ τοῦ τῶν ἀρετῶν νοστίμου νέκταρός τε πόματος μικράν τινα ψεκάδα καὶ συγκεκραμένην μέλιτι δρόσον ἡμῖν ἐνστάλαξον ἄνωθεν, ὡς καὶ τῆς σῆς ἐμφορηθῶμεν σοφίας, τὴν πικρίαν τε γλυκανοῦμεν τῶν συμφορῶν καὶ τὸν τῆς ψυχῆς ἀκέσωμεν καύσωνα.

4.

1. Ἐμέλλομεν, οἴμοι, καὶ ἐπὶ σοὶ λογογραφεῖν, Κομνηνέ· ἐμέλλομεν θρήνους ἐπᾴδειν καὶ μονῳδεῖν ἀντὶ τῶν ἐξ ἔθους ἐκείνων ἱλαρωτέρων προσρήσεων. τὸ δὲ δὴ τοῦ πάθους κεφάλαιον, ὅτι τέως μὲν ᾄδομεν ἡμεῖς καὶ φθεγγόμεθα καὶ τὸ σύνηθες ἡμῖν καὶ φίλον ὄνομα, τὸ Κομνηνόν, προσφω-

2 χρυσοῦς τὴν γλῶτταν = Ἰωάννης ὁ Χρυσόστομος. 3/4 θεολόγος γλ. καὶ γρήγορος = Γρηγόριος ὁ Θεολόγος.

29 Κώδ. φ. 94ᵃ—97β. Ὁ λόγος οὗτος ἀνεπίγραφος ἐν τῷ κώδικι.

7 κοσ(μικ)ὰ] συμπλήρωσις ἡμετ.

νοῦμεν, σὺ δὲ βαθεῖαν ἄγεις σιγὴν καὶ οὔτε φωνὴν ὅλως δίδως, οὔτε τὸ γλυκὺ παρυπεμφαίνεις μειδίαμα· κεῖσαι δὲ νεκρὸς ὁ δεξιὸς στρατιώτης καὶ ἡ καλὴ γλῶσσα σιγᾷ καὶ τὸ θεσπέσιον ἐκεῖνο κάλλος ἠχρείωται. ὦ τολμηρὰ γλῶσσα ῥήτορος, πῶς ἀνέχομαι καὶ λέγειν τοσοῦτον κακόν; πῶς τηλικαύτην ἀπαγγέλλειν καρτερῶ συμφοράν; νεκρὸν γὰρ εἰπεῖν τὸν θαυμαστὸν Κομνηνὸν καὶ τάφον περιστῆναι τοῦ τηλικούτου ἄλλου μὲν ἦν ἀναδέχεσθαι λογογράφου καὶ ῥήτορος, τῶν ὅσοι τύμβους περιλαλοῦσι καὶ τοῖς οἰχομένοις λόγους ἀφοσιοῦσθαι τέχνην ποιοῦνται καὶ σπούδασμα, ἐμὲ δὲ ἢ συνεκλιπεῖν ἔδει τῷ φιλοῦντί με Κομνηνῷ, ἢ ἐννεὸν μεῖναι καὶ ἄναυδον, καθάπερ οἱ ἀπροσδοκήτως ὑπὸ φοβερᾶς καὶ μεγάλης βληθέντες ὄψεως, καὶ μήτε γλῶσσαν πρὸς φωνὴν αἴρειν ὅλως, μήτε χεῖρας ἐπὶ χάρτην κινεῖν καὶ κάλαμον, ἐπιμύσαι δὲ καὶ τὰς ὄψεις, ἵνα μὴ τὸ λυπρὸν ὄψωμαι θέαμα. ὦ πάθος ἀνέλπιστον, ὦ συμφορᾶς μέγεθος ἀνυπέρβλητον· ὦ θάνατος ἄωρος, ὃν δέον μετὰ πολιὰν γενέσθαι βαθεῖαν, μετὰ λιπαρὸν γῆρας, μετὰ χρόνου μῆκος πολύ· ὁ δὲ φθάνει πρὸ τῆς ὥρας ἐπιστρατεύσας καὶ ἀφαρπάζει νέον οὕτω καλόν, ὡς συναπορρεῦσαι τούτῳ δοκεῖν καὶ τὸ ἄνθος ἅπαν τὸ νεοτήσιον. εἴ τις ὀρθίαν εἶδε κυπάριττον, εἴ τις ὑψιστέλεχον φοίνικα ἐν καλῷ μὲν τόπῳ πεφυτευμένα καὶ τὸν θεατὴν καταθέλγοντα, ἔπειτα σφοδραῖς ταῖς λαίλαψιν ἀνατιναχθέντα καὶ πρὸς γῆν ἀθρόον κατενεχθέντα, τοῦτ' ἐκεῖνο κἀνταῦθα. καὶ πέπτωκεν ἡ κυπαρίττινος ἡλικία· καταβέβληται ὁ εὐμεγέθης νεανίας καὶ ὄρθιος, τὸ ἄγαλμα τῆς νεότητος, τὸ τῆς ἀνδρείας ἀφίδρυμα· ἠμαύρωται τὸ κάλλους ἄνθος καὶ τὸ χρυσοειδὲς ἀπέσβη τῆς ὄψεως. ὤ, οἷος ἔπεσε τῶν Ῥωμαίων στῦλος, οἷος πρόμαχος τῆς στρατιᾶς καταβέβληται, οἷα τοῦ γένους ἐλπὶς ἐκκέκοπται.

2. Τί σου πρῶτον κλαύσομαι, χρυσὲ Κομνηνέ; ποῖον τῶν τοσούτων καλῶν μονῳδήσω καὶ δακρύων θήσομαι πρόφασιν; τὴν χρηστότητα τοῦ ἤθους; τὴν τοῦ προσώπου σεμνότητα; τὸ μελισταγὲς τῆς γλώττης; τὸ τῆς διανοίας ἄθριον ἢ τοῦ σώματος τὴν ἀναδρομὴν καὶ τὴν τῆς ῥώμης ἰσχύν; τοῦ προσώπου τὴν χάριν καὶ τῆς ψυχῆς τὴν εὐπρέπειαν; ὦ μελῶν συμμετρία καὶ ἠθῶν ἁρμονία καὶ ἀρετῶν συμφωνία· ὦ χειρῶν γενναιότης καὶ ποδῶν ὀξύτης καὶ κοῦφα περὶ τὰς τῶν ἵππων ἀναβάσεις ἅλματα καὶ ἀποπηδήματα. ὦ τοξότης εὔστοχος, ἱππότης εὔστροφος, ἀκοντιστὴς δεξιώτατος· ὦ στρατηγὸς ἄριστος καὶ στρατιώτης ὑμνούμενος· ὦ ταῦτα μάτην πλουτή-

16 ἄνθος — νεοτήσιον] Καλλιστρ. ἐκφρ. ς', σ. 56 Schenkl-Reisch.

4/5 κ ὦ δ. ἀπαγγέλειν. 7 ὅσοι] ἄσοι. 9 ἐννεὸν] νεὸν 12 ὄψομαι. 17 τόπῳ] τόπου. 29 ὦ] ὦ οὕτω καὶ ἑξῆς.

σας, ὡς ἔοικεν, εἰ τὸν ἄτεγκτον Ἅδην τοῖς τοσούτοις ἀγαθοῖς οὐ κατέθελξας. ἐπὶ τοιαύταις σε προὐπέμψαμεν ταῖς ἐλπίσιν εὔιππον, εὔοπλον, Ἄρεος ἄντικρυς ἄγαλμα, φόνον πνέοντα βαρβάροις καὶ πρὸ τῆς παρατάξεως τρέποντα, ἵνα νεκρὸν ἀντὶ στρατιώτου καὶ στρατάρχου φόρτον ὑποδεξώμεθα, ἀντὶ τροπαιούχου καὶ νικητοῦ περιθρυλουμένου τρόπαιον νόσου θρηνούμενον καὶ θανάτου λάφυρον ἐλεούμενον; ποῦ σοι τὰ ὅπλα καὶ τὰ βέλη καὶ οἱ σθεναροὶ καὶ κοῦφοι βραχίονες; πῶς ἀργά σοι ταῦτα καὶ κεῖσαι βληθεὶς καὶ οὐδ' ἀντιπλήττειν ἔχεις τὸν πλήξαντα; πικρὸν τοῦτο θέαμα τεθέαται ἥλιος, στρατιώτην τοσοῦτον ἥρωα τηλικοῦτον ὕπτιον κείμενον, μάτην δέ οἱ ἀπηωρημένα τὰ ὅπλα καὶ ἐξ ἀφανοῦς βάλλοντα τὸν πολέμιον. ποῖος πόλεμος εἷλε τὸν ἡμέτερον στρατιώτην; ποῖαι πολεμίαι χεῖρες κατήνεγκαν; ποῖος ἐπισεμνύνεται τῷ καθ' ἡμᾶς τούτῳ τροπαίῳ μαχητὴν κτείνας ἀνίκητον; ἀλλὰ μάχης μὲν οὕτω τάχα καιρὸς ἐφέστηκεν, οὕτω πολέμου παράταξις· ἐχθρὸς δὲ ἀλλὰ τίς ἂν καὶ προσπελάσαι τῷ τοσούτῳ τεθάρρηκεν; χεὶρ δὲ ἀλλὰ καὶ ποία βαλεῖν τηλικοῦτον ἐτόλμησεν; οὐκοῦν δίχα πολέμου βαλλόμεθα καὶ δίχα παρατάξεως πίπτομεν, καὶ κεῖται μὲν ὁ θεσπέσιος Κομνηνὸς ἡπλωμένος μέγας μεγαλωστὶ καὶ ξυνίησι τοῦ πάθους καὶ τῆς πληγῆς ἐπαισθάνεται, τὸ δὲ βέλος ὅθεν, ἠγνόησεν· καὶ θέλει μὲν ἅψασθαι τῶν ὅπλων ταῦτα βλέπων ἐπικρεμάμενα, αἱ δὲ χεῖρες ναρκῶσι καὶ κινεῖσθαι μόλις δεδύνηνται. θέλει τεῖναι τόξον καὶ ἀντιπλῆξαι τὸν πλήξαντα, ἀλλ' ἀφανὴς ἡμῖν ὁ πολέμιος· τὸ δὲ δὴ μέγα καὶ βαρυσυμφορώτατον, ὅτι καὶ βασιλεὺς παρὼν οὐκ ἐπήμυνεν, οὐδὲ τοσοῦτον κράτος τὴν συμφορὰν ἀπεσόβησεν, ἀλλ' ἵσταται μὲν ἐπικωκύων τῷ πάθει καὶ τὸν γλυκὺν ἀνεψιὸν μετὰ δακρύων ἀνακαλούμενος· ἀμηχανεῖ δὲ παῦσαι τὴν μάχην μὴ καθορῶν τὸν ἀντίπαλον.

3. Ὦ θάνατε, κακὸν ἀνθρώποις ἀμήχανον, ἐχθρὲ παλαιὲ καὶ τῇ γενέσει πολέμιε, τίνα καὶ πόθεν σου τὰ τοιαῦτα βέλη, δι' ὧν τοξεύεις τοὺς ἅπαντας; πῶς ἅμα πλήττεις ἅμα φονεύεις καὶ οὐδέν σοι βέλος ἅλιον οὐδὲ μάταιον; ἀλλὰ γάρ, εἴπερ ἔδει σε βληθῆναι καὶ τὸν ἄριστον Κομνηνὸν καὶ οὐκ ἦν αὐτὸν τὰ πάντα δεινά σοι τόξα διαφυγεῖν, ἔδει γοῦν ἀναμεῖναι μέχρι τὸ κάλλος ἀπέρρευσεν, ἔδει καρτερῆσαι μέχρις ἂν αἱ χεῖρες βάλλουσαι βαρβάρους ἐνάρκησαν, μέχρις ἂν ἐπλήρωσε τροπαίων τὴν οἰκουμένην καὶ τῶν ἑαυτοῦ καλῶν πάντας ἐκόρεσε. πόσους ἂν εἶχε παραπέμψαι σοι βαρβάρους, ἀκόρεστε, εἴπερ ἐς τὴν κατὰ τῶν βαρβάρων μάχην τετήρητο; εἰ δὲ καὶ παίδων μέχρι γονῆς παρέμεινεν, εἰ δὲ καὶ καρποφορῆσαι τὸ καλὸν τουτὶ φυτὸν ἐκαρ-

27 βέλος ἅλιον] πρβλ. Ἰλ. Δ, 495.

3/4 τρέποντα] κ ῶ δ. πρέποντα. 7 κεῖσαι] κεῖσθαι. 30 ἀπέρευσεν.

τέρησε, καὶ ὁ βίος ἂν ὠφέλητο μάλιστα καὶ τὰς εἰκόνας φέρων τοῦ μεγάλου καλοῦ καὶ σὺ τὸ τοῦ θανάτου ταμιεῖον, ὁ Ἅδης, ὑπὸ πλειόνων τῶν ἀριστέων πολλοῖς κατεπλουτίσθης τοῖς σώμασι. νῦν δὲ τάχα μὲν ἠράσθης κάλλους τοσούτου καὶ προαρπάζεις τὸν ἄριστον, καὶ εἷς ἀντὶ μυρίων ἀρκεῖ σοι καὶ τὸν μέγαν ὄλβον χαίρεις κρατῶν· ἔχεις δὲ καὶ παρ' ἡμῶν πανοδύρτους γόους καὶ θρήνους, τὰ σοὶ φιλούμενα ξένια, καὶ τὸ σκοτεινὸν καὶ μέλαν ἄμφιον τῆς συζύγου καὶ τὰ πάντα νεκρὰ καὶ πένθιμα καὶ παράλυπα. μόνοι ἂν χαιρήσωσι Πέρσαι, μόνοι κροτήσωσιν οἱ πολέμιοι, καθ' ὧν τὴν σπάθην ἠκόνα, καθ' ὧν τὴν πανοπλίαν ἡτοίμαζεν.

4. Ὦ οἷον ἐθραύσθη δόρυ, πηλίκη δεξιὰ περικέκοπται, οἷον λῆμμα κατὰ βαρβάρων πέπαυται, ποία τόλμα, ποία ῥοπὴ καὶ ὁρμὴ καὶ κίνησις ἀνυπόστατος. ποῦ σοι τὰ λαμπρὰ ἐκεῖνα τῆς πανοπλίας, ὦ θειότατε Κομνηνέ; ποῦ τὰ τῆς ἀσπίδος ἐπίσημα, οἷς ἐγὼ πολλάκις καταλαμβάνων οἴκοι προσασχολούμενον ἠρώτων " τί σοι βούλεται ταῦτα "; καὶ σὺ μὲν νόμους στρατιωτικοὺς ἐξεδίδασκες, τί μὲν ἡ σημαία βούλεται στρατιώταις, τί δὲ τὰ ἐν τοῖς ὅπλοις παράσημα, τίς ὁ λόχος, τίς ἡ παράταξις, τίς ἡ φάλαγξ, ὁποδαπὴ δὲ καὶ ἡ σύνταξις καὶ τίνες ταύτης οἱ σχηματισμοὶ καὶ ὁπόσοι καὶ τἆλλα, ὅσα οἱ δεινοὶ περὶ πολέμους γινώσκουσι. πολλάκις μοι καὶ μάχας προλαβούσας ἔχαιρες ἀφηγούμενος καὶ τρόπαια γενναίων ἀνδρῶν μετὰ τῆς περὶ ταῦτα ἐπιστήμης κατέλεγες, ὅσα τε ψθάσας ἤκουσας παρὰ προτέρων ἀνθρώπων καὶ ὅσα τῷ θείῳ βασιλεῖ συνστρατεύων κατεῖδες τῆς αὐτοῦ χειρὸς ἔργα παράδοξα· ὁπότε δὴ καὶ ἔνθους τις οἷον ὑφ' ἡδονῆς κατεφα(ίν)ου καὶ θεοφόρητος, καὶ οὐχ οἷός τε ὢν κατέχειν τὸν ζῆλον ἐδόκεις τῷ βασιλεῖ παρασπίζειν καὶ τὰς τροπαιούχους χ(εῖ)ρ(ας) τούτου καταφιλεῖν. εἰ δέ τί που καὶ σὸν ἀρίστευμα παρεισέδυ τῷ λόγῳ, οἷα πολλά σοι προσμαρτυροῦσιν ἄλλοι τε πλεῖστοι καὶ ὅσοι τῶν ὑπὸ τὴν ἀρχὴν Λακεδαίμονες δυσπειθεῖς ὑπόφοροι καὶ δυστράχηλοι, ἔτι τε καὶ οἱ τὰ τῆς Ἑλλάδος οἰκοῦντες ἐρυμνότερα καὶ τραχύτερα δεινοί τε καὶ ἀλλόκοτοι βάρβαροι, οἱ μέχρι σοῦ καὶ ὁδοιδόκοι καὶ λῃσταὶ καὶ πράκτορσιν ἀντιπράττοντες, σὺ μὲν ἠρυθρίας ἄλλου λέγοντος ταῦτα καὶ ὀκνηρὸς ἐφαίνου μοι περὶ τὴν ἀκρόασιν (οἷος σὺ μετὰ τῶν ἄλλων ἐξαιρέτων καὶ ταπεινώσει στοιχῶν καὶ μετρίῳ φέρων φρονήματι), καί πού σοι τηνικάδε καὶ ὁ τοῦ προσώπου ἔρευθος ἐδιπλασιάζετο· ἐγὼ δὲ τοὺς λόγους ἐδεχόμην μεθ' ἡδονῆς καὶ μισθοὺς ὑπισχνούμην τοῖς ταῦτα λέγουσι.

5. Προσεδόκων τοίνυν τοιαῦτά τινα καὶ νῦν ἀκούεσθαι περὶ σοῦ καὶ χαίρων σε χαίροντα παραπέμψας ἐπὶ τὸν μέγαν τουτονὶ κατὰ Περσῶν πόλε-

1 κ ῶ δ. ὠφέλιτο. 8 κροτήσωσιν] το ῶ ἐκ διορθ. 22 καὶ 24 κατεφ(αίν)νου καὶ χ(εῖρας] συμπληρώσεις ἡμέτεραι. 28 ὁδοιδόκοι] οἰδοιδόκοι.

μον, ὃν ὁ κατὰ θεὸν τοῦ αὐτοκράτορος ζῆλος τοῖς εὐσεβέσιν ἐξήγειρεν, ἤλπιζον ἀπολαυεῖν στεφανίτην καὶ τροπαιοῦχον καὶ λαφύρων πλήρεις τὰς χεῖρας φέροντα· νῦν δ' ἀλλ', οἴμοι, ταχὺς μὲν ἡμῖν ἐπανῆκες, οὐκέτι δὲ μετὰ τροπαίων οὐδὲ μετὰ λείας βαρβαρικῆς, ἀλλὰ φόρτος δακρυρρόεις καὶ δυστυχὴς καὶ τρόπαιον οὐκ οἶδα τίνος, καὶ εἰς θήκην ταύτην βραχεῖαν τὰ πάνθ' ἡμῖν ἐτελεύτησεν. ὡς εἴθε κἂν ἀπὸ μάχης τὸν νεκρὸν ἐδεχόμεθα, εἴθε βαρβαρικὰς πληγὰς εἶχε κατὰ τοῦ σώματος. οὕτω ἂν Κυναιγείρῳ καὶ Καλλιμάχῳ συνηριθμεῖτο, οὕτω μεθ' Ἕκτορος καὶ Σαρπηδόνος ἐτάττετο· καὶ πρότερον πολλοὺς καταθύσας τῶν ἀντιμάχων, εἶτα καὶ αὐτὸς ἐκείνοις ἐπικαταπεσὼν παρεμυθεῖτο τοῖς τροπαίοις τοὺς πόνους καὶ τὴν συμφορὰν ἡμῖν ὑπελέαινε. νῦν δὲ ἀλλὰ βραχὺς πυρετὸς τὸν τηλικοῦτον ἐσκύλευσε καὶ νόσημα τριήμερον ἐτροπώσατο καὶ παράκλησις οὐδαμόθεν τῷ πάθει καὶ τὰ πάντα νύκτερα καὶ ἀνήλια. ὦ πονηρὸν χωρίον δυστυχές, ὅπερ ἐκ λόφων τὴν προσηγορίαν κεκλήρωσαι, ὡς ἀπὸ λόφου γε ἄρα μεταρσίου κατηνέχθης ἡμῖν καὶ ὅλας τὰς ἐπὶ τῷ Κομνηνῷ ἐλπίδας κατέσεισας. μὴ καταβήτω δρόσος καὶ ὑετὸς ἐπὶ τὰ ὄρη καὶ τοὺς λόφους τοὺς σοὺς (τὰ τῆς Γραφῆς ἐπαρῶμαί σοι), ὅτι προσωχθίσθης θυρεὸς δυνατοῦ.

6. Μισῶ καὶ τὸν παραρρέοντά σοι βάσκανον ποταμόν, ὃς ἡμῖν πολλοὺς δακρύων ῥύακας μετωχέτευσε· περὶ γάρ τοι τὰς οἰκείας ὄχθας φέρων σκηνούμενον τὸν εὐκλεῆ Κομνηνὸν οὐκ ἀφῆκας ῥεῖθρον κατὰ τοῦ πάθους· οὐδὲ ῥεύματι μεγάλῳ τὰ δεινὰ τῆς νόσου κατέκλυσεν, ἀλλὰ πυρετοῦ φλὸξ βαρεῖα τοῦ τηλικούτου ποταμοῦ κατωρχήσατο καὶ πῦρ συμφορᾶς ὀλίγον τοσοῦτον ῥεῖθρον κατέφρυξε. μηκέτι τοίνυν Ῥυνδακὸς ὁ ποταμὸς οὗτος καλείσθω, μηδ' ἐκ τοῦ μέχρι νῦν ὀνόματος γνωριζέσθω· καλείσθω δέ μοι Κωκυτός τις ἢ καὶ Πυριφλεγέθων, ὁποῖοι παραρρεῖν τῷ Ἅδῃ λέγονται ποταμοί, καὶ ἀπὸ τοῦ περὶ τὸν Κομνηνὸν γνωριζέσθω πάθους, ᾧ τὰς ψυχὰς κατεφλέχθημεν. δικαίως ἄρα καὶ ἡ λιμνάζουσα τοῦτον ἐξ ἀπωλείας θέλει παρωνυμεῖσθαι· ἐκεῖθεν γὰρ ἡμῖν, ὡς ἔοικε, τὸ φθορᾶς ὑπεσύρη ῥεῦμα καὶ νῦν στενάζομεν τὸν Κομνηνὸν ἀπολέσαντες. ὦ ποταμὸς οὗτος ἀνέραστος, ποταμὸς οὐ δροσίζων, ἀλλὰ φλογίζων τοῖς νάμασιν. ἐπὶ τὸν ποταμὸν ἐκεῖ τοῦτον ἡμεῖς καθίσαντες ἐθρηνήσαμεν, αἰχμάλωτοι τάχα γεγονότες τῷ πάθει καὶ τῶν εἰς Βαβυλῶνα πρώην ἀπαγομένων ὑπὸ τῆς ἐντεῦθεν συγχύσεως ἀθλιώτεροι· καὶ ᾔσαμεν ᾠδὴν ἐπὶ γῆς ἐκείνης τῆς ἀλλοτρίας, οὐχ οἷαν χθές που καὶ πρό-

16 Γραφῆς] πρβλ. Βασ. 2, α', 21. 30/34 ἐπὶ τὸν ποταμὸν — ᾔδομεν] πρβλ. Ψαλμ. ρλς', 1—4.

20 ἀφῆκε] κ ῶ δ. ἀφῆκας. 22 κατορχήσατο. 29 ἀπωλέσαντες.

τριτα παρὰ τῇ καθ' ἡμᾶς Σιὼν ᾔδομεν προπέμποντες μετὰ κρότων καὶ ᾠδῶν εὐκτηρίων ἐπὶ τὴν κατὰ βαρβάρων μάχην τὸν αὐτοκράτορα, ἀλλὰ πενθήρη καὶ σκυθρωπὴν καὶ οἵαν ἐθέλει τὰ λυπρὰ χωρία καὶ βάσκανα καὶ τῶν καλῶν ἀνεπίδεκτα. ἠγείραμεν θρῆνον μέγαν, ἐκλαύσαμεν περὶ τὰς ὄχθας τοῦ ποταμοῦ καὶ δακρύων ὄμβρους τούτῳ κατεσταλάξαμεν, καὶ τῷ μηδεμίαν ἡμῖν ῥανίδα πρὸς δροσισμὸν τοῦ πάθους χαρισαμένῳ φθονερῷ ποταμῷ πολλὰς αὐτῇ τὰς πίδακας ἐπεχορηγήσαμεν, καὶ νῦν βαθυδίνης ὄντως ὁ Ῥυνδακὸς ἀπὸ τῆς τῶν δακρύων ὑπερβολῆς καὶ μακρῷ πολυκρουνότερος ἑαυτοῦ. τάχα καὶ χρυσοδίνην τις αὐτὸν ἐκ τῶν βασιλικῶν δακρύων καλέσειεν, ὅσα πολλὰ τῆς χρυσῆς κεφαλῆς ἐκείνης καὶ τῶν ὀμμάτων τῶν βασιλικῶν κατερράγησαν.

7. Ὦ σκυθρωπῆς ἡμέρας ἐκείνης, καθ' ἣν τὰς ἀκτῖνας ἔκρυψεν ὁ φωσφόρος καὶ ἡ σελήνη τὸ ἑαυτῆς φέγγος οὐκ ἔδωκεν· καθ' ἣν ὁ αὐτοκράτωρ, ὁ ἡμέτερος ἥλιος, καὶ ἡ κατὰ σελήνην λάμπουσα βασιλὶς τὰς τῆς βασιλικῆς σου δόξης ἀκτῖνας καὶ τοῦ προσώπου τὰς χάριτας καὶ βαρύν τινα τὸν χειμῶνα πένθους ἑαυτοῖς σχεδιάσαντες καὶ ὅλην τὴν ψυχὴν τῇ ἀθυμίᾳ κατανεφώσαντες ὑετοὺς δακρύων ῥαγδαίους περὶ τὸν φίλτατον ἀνεψιὸν ἀπεστάλαξαν. ὦ τῶν τότε θρήνων καὶ στεναγμῶν· ὦ τῆς τῶν δακρύων ὑπερβολῆς· πάντες γὰρ τῷ βασιλεῖ συμμεθαρμοσθέντες, οὐχ οἱ προσγενεῖς τῷ κειμένῳ μόνον καὶ ὅσοι τῆς τοῦ βασιλείου καὶ χρυσέας ὄντως σειρᾶς, ἀλλὰ καὶ πᾶν γένος καὶ τύχη πᾶσα καὶ ἡλικία καὶ ὅσον ἔτυχε παρὸν τοῦ στρατεύματος, πάσχοντι συνέπασχον τῷ δεσπότῃ καὶ ὑψοῦ τὴν φωνὴν ἐπῆραν καὶ μέγαν κοπετὸν συνεστήσαντο, καὶ ἦν ὁ κάλλιστος Κομνηνὸς καὶ κοινῇ θρηνούμενος παρὰ πάντων καὶ παρ' ἑκάστου ζητούμενος. καὶ ἵνα μετὰ τῆς Γραφῆς ὡς ἐπὶ τῇ πάλαι συμφορᾷ θρηνήσω τῆς Ἱερουσαλήμ, ἐγένετο μέγα πένθος, καὶ ἄρχοντες ἐστέναξαν καὶ πρεσβῦται· παρθένοι καὶ νεανίσκοι ἠσθένησαν καὶ τὸ κάλλος τῶν γυναικῶν ἠλλοιώθη· ἀδελφὴ δὲ καὶ νύμφη, τὰ καλλιστεῖα τοῦ θήλεος, Ἡλιάδες ἦσαν ἐπὶ Φαέθοντι καὶ βλύζουσαι κρουνοὺς ἀμέτρους δακρύων καὶ τὸν ἀδελφὸν ὀλοφυρόμεναι κείμενον. ἔρριψαν τὸν τῆς κεφαλῆς κόσμον· ἐνεδύσαντο πενθικὰ καὶ τὴν τοῦ προσώπου χάριν ἠμαύρωσαν καὶ (ὅ φησιν ἡ Γραφὴ θρηνοῦσα τὴν Ἱερουσαλήμ) ἐκάθισαν εἰς τὴν γῆν καὶ χοῦν ἐπὶ τὴν κεφαλὴν ἀνεβίβασαν. καὶ τὸ δάκρυον μὲν αὐταῖς εἰς ἤλεκτρον οὐκ ἀπετελεύτησεν, αὐταὶ δὲ τῷ πάθει νενικημέναι, μικροῦ καὶ εἰς λίθων ἧλ-

24 Γραφῆς] πρβλ. Μακ. 1, α', 26. 28 Ἡλιάδες] πρβλ. Et. M. σ. 427, ε. 31 Γραφὴ] πρβλ. Θρ. β', 10.

8 ⟨τῶν⟩] προσθ. ἡμετ. 29 κ ῶ δ. ἔριψαν.

θον ἀναισθησίαν καὶ τὸν τῆς Νιόβης μῦθον ἤγαγον εἰς ἀλήθειαν· οὐ γὰρ ἐβραγχίασε ταύταις ὁ λάρυγξ μόνον ἀπὸ τοῦ κράζειν ὅλην τὴν ἡμέραν καὶ τὸν Κομνηνὸν ἀποκλαίεσθαι, ἀλλὰ καὶ εἰς ἀφωνίαν παντελῆ τὰ κλαυθμοῦ περιέστησαν· καὶ τοῦ κρουνοῦ τῶν δακρύων ἐπιλιπόντος, αἱμάτων ῥύακες ἀπὸ τοῦ φάρυγγος ἐκενώθησαν. ὦ στρατιώτης οὗτος Ὁμήρειος καὶ σταλαγμοῖς αἱματηροῖς θρηνῳδούμενος· ὦ πάθους ἀδελφῆς, ὦ νύμφης ἀγάπη μέχρι καὶ συννεκρώσεως· οὐ γὰρ ἠνείχοντο ζῆν κειμένου τοῦ καλοῦ Κομνηνοῦ, οὐδὲ ἠγάπων βλέπειν τὸν ἥλιον αὐτοῦ τοὺς ὀφθαλμοὺς καταμύσαντος, ἀλλ' ἐφιλονείκουν ἢ ἀνεγεῖραι τὸν κείμενον εἰς οἶκτον, τὸν δεσπότην κατὰ τὰς ἀδελφὰς Λαζάρου παρακαλοῦσαι διὰ δακρύων ὑπερβολῆς, ἢ συνταφῆναι τῷ ποθουμένῳ καὶ τῷ φιλοῦντι συναπελθεῖν.

8. Ἡ δὲ τῶν ἀδελφῶν δυὰς Κομνηνῶν; ὤ, πῶς ἀδακρυτὶ διηγήσομαι; θάτερος μὲν παρῆν, ὁ τῆς ἀδελφότητος πρῶτος κλάδος, τῶν Κομνηνῶν ἡ τερπνότης, τὸ τῆς ἀνδρείας εἰκόνισμα καὶ συνεξέπνει ἀποπνέοντι τἀδελφῷ, καὶ τὸ πολὺ τῆς φιλαδελφίας ἀπὸ τῆς τῶν κλαυθμῶν ὑπερβολῆς κατεμήνυεν. ὁ δὲ τὰ πάντα καλὸς Ἀνδρόνικος, ὁ σύμπνους Ἀλεξίῳ καὶ ὁμόψυχος ἀδελφός; ἀλλ' ἐμερίσθη τότε τούτοις ἡ συμφυΐα καὶ τὸν ἀδελφὸν οὐκ εἶχε βλέπειν ἐκλείποντα, ἀλλὰ τὸν μὲν εἶχεν ἡ κλίνη περὶ τὰς ὄχθας Ῥυνδακοῦ θρηνῳδούμενον, ὁ δὲ τὰς Ἀνατολικὰς περιῄει πόλεις καὶ στρατιωτικὰς συνάγων δυνάμεις κατὰ Περσῶν παρετάττετο· καὶ μηχανὰς μὲν ἐπενοεῖτο κατὰ Περσικῶν αὐτὸς πόλεων, ἠγνόει δὲ τὴν ἰσχυρὰν αὐτοῦ πόλιν, τὸν ἀδελφόν τε καὶ σύμμαχον, τῇ τοῦ θανάτου προσβολῇ καταπίπτουσαν. ὁ μὲν εἶχε περὶ τὰ ὅπλα καὶ προὐνοεῖτο πολέμων, ὁ δὲ σύμπνους ἀδελφὸς ἐσκυλεύετο καὶ ἔκειτο νεκρὸς Ἀλέξιος, Ἀνδρονίκου ζῶντος καὶ ὡπλισμένου μηδ' ἐπαισθανομένου τῆς συμφορᾶς· καὶ ἄλλοι μὲν αὐτὸν ἐθρήνουν λιποψυχοῦντα καὶ περιεστηκότες ἐδάκρυον, ὁ δὲ ἀδελφὸς ἐκ τῆς ὑπερορίας γράμμασι προσηγόρευε, καὶ " Ὦ ", φησίν, " ἀδελφέ, γράφε καὶ ἀποδημοῦντα παρηγόρει τὸν ἀδελφὸν καὶ ἀναπλήρου μοι τὴν θέαν τοῖς γράμμασιν ". ὁ δέ, ὡς ἔλαβεν εἰς χεῖρας τὸ γράμμα καὶ εἶδεν ἀπὸ τῆς ἐπιγραφῆς τὸν ποθούμενον, αὐτὸν μὲν ὡς εἶχεν ἀπὸ γραμμάτων ἐφίλησεν, ἀκούσας δὲ καὶ τῶν γεγραμμένων καὶ λεπτόν τι στενάξας, ὅ(σο)ν παρεῖχεν ἡ δύναμις, " Οὐκέτι σε ὄψομαι " εἶπεν, " ἀδελφὲ φίλτατε, μικρὸν ὅσον καὶ τῶν βλεφαρίδων συγκλειο(μέν)ων μοι· οὐκέτι προσφωνήσω, καὶ μετὰ ποίου γὰρ ἀπάρτι στόματος; γράμματα δὲ εἰ μὲν ἐξ

2 ἀπὸ τοῦ κράζειν ὅλην τὴν ἡμέραν] πρβλ. Ψαλμ. λα', 3. 10 Λαζάρου] πρβλ. ια', 32—33.

25 κ ὦ δ. λειποψυχοῦντα. 30 καὶ 32 ὅ(σο)ν κ α ὶ συγκλειο(μέν)ων] συμπλ. ἡμετ.

Ἅδου ζητεῖς, ἡμεῖς μὲν ἐς Ἅδην ἤδη μεταχωροῦμεν, αἱ δὲ χεῖρες πάντως ἀργήσουσιν ".

9. Ὦ γλώσσης καὶ μετὰ τοσούτου πάθους ἀττικιζούσης καὶ φθεγγομένης εὐσύνοπτα. κἂν γὰρ ἡ νόσος ἐπεβούλευε ταύτῃ καὶ πολλὰ δεσμεῖν ἤθελεν, ἀλλ' ὁ τῶν φρενῶν τόνος ἀντεῖχεν καὶ νοὸς δεξιότης ἐκυβέρνα γλῶτταν κυμαινομένην καὶ τοῦ πάθους βαλλομένην τῷ κλύδωνι. ὦ χάριτος ψυχικῆς καὶ τῷ προσώπῳ διαλαμπούσης καὶ ἐπιφαινομένης τοῖς ῥήμασιν· ὦ ῥοδωνιᾶς προσώπου μηδ' ἐν χειμῶνι τοσούτῳ πειθομένης μαραίνεσθαι· ὦ κάλλος σώματος καὶ νόσον νικῶντος, ἀπιστῶ δ' εἰ καὶ θανάτῳ παραχωρήσαντος· ὦ λόγων ἐξιτηρίων, ὦ ῥημάτων συντακτηρίων, ὦ ψυχῆς καὶ ἃ δὴ καὶ τοῖς παρεστῶσι μεριζομένης· ἐξεχεῖτο γὰρ πρὸς πάντας καὶ πρὸς ἕκαστον ἐπεστρέφετο καὶ τὰ σωτήρια τοῖς ὅλοις ἐπηύχετο. ὦ μνήμης ὁμοζύγου καὶ πρὸ καιροῦ διδούσης τὸν θάνατον· εἶχε γὰρ αὐτὴν ἡ μεγάλη πόλις τὰ τῆς τότε τύχης ἀμφαγνοοῦσαν καὶ χαροπὰ φανταζομένην ἀκούεσθαι. ὦ ποσάκις ταῦτα ἀνεκαλέσατο, ποσάκις τὴν ὁμόψυχον ἀνεζήτησε καὶ περιμένων ταύτην ἰδεῖν ἀντεῖχε τάχα καὶ πρὸς τοῦ θανάτου τὴν βίαν καὶ τῆς ψυχῆς οὐ παρεχώρει ῥᾳδίως ἁρπάσαι σπεύδοντι. πλὴν ἀλλά, καί περ οὕτω τῇ τῆς συζύγου μνήμῃ βαλλόμενος, οὕτω τῷ πόθῳ τρυχόμενος, πλείονα τῆς ψυχῆς ἐμερίμνα καὶ τῶν ἄνω πλέον ἐμέμνητο· καὶ ὅλον πρὸς θεὸν στρέψας τὸν νοῦν, " Ἄγε δῆτα " εἶπε " καὶ βασιλεῖ τῷ ἀθανάτῳ στρατεύομαι, κἀπειδὴ τὰ κάτω διαρρέει καὶ οἴχεται, καὶ στρατία καὶ πανοπλία καὶ οἱ τὰ ὅπλα βαστάζοντες, φέρε δὴ τὴν κατὰ θεὸν ἐνδύσομαι πανοπλίαν καὶ στρατιώτης ἀληθεύων γενήσομαι. ἀποσκευαστέον μοι φαρέτραν καὶ τόξον, ἅ με τῆς νῦν ἐπιβουλῆς οὐκ ἐρρύσαντο· μισητέον δόρυ καὶ σπάθην, ἅ μοι τὸν νῦν πολέμιον οὐκ ἐφόβησαν. εἰ τὸ κράνος ἦν μοι στερρόν, οὐκ ἂν ἡ νόσος ἔπληττε κατὰ κεφαλῆς. ἐὰν ἐπλούτουν ἀσπίδα σῴζουσαν ἀπὸ τῶν βελῶν, ἦν ἄν μοι καὶ ἀνεπιβούλευτος ἡ πλευρά. τί μοι τὰ λαμπρὰ περιβλήματα καὶ ὁ ἐπικεχυμένος τούτοις χρυσός, εἰ τοῦ θανάτου παρὰ τούτων οὐ ῥύομαι ";

10. Ταῦτ' εἶπε, καὶ ἀποθέμενος τὴν μαλακὴν ἐσθῆτα καὶ περιρρέουσαν τὸ τραχὺ τῆς κατὰ θεὸν φιλοσοφίας καὶ ῥικνὸν τριβώνιον περιβάλλεται, ῥίπτει τὰ ὅπλα, τὰ σαθρὰ ταυτὶ καὶ ἀνόνητα, καὶ τὴν μακαριστὴν ἀναλαμβάνει πανοπλίαν τοῦ πνεύματος. περιζώννυται τὴν ὀσφὺν ἐν ἀληθείᾳ κατὰ τὸ τοῦ ἀποστόλου παράγγελμα· τὸν τῆς δικαιοσύνης ἐπενδύεται θώρακα· δέ-

33 ἀποστόλου] πρβλ Ἐφ. ς', 14.

7 κ ὦ δ. ῥοδονιᾶς. 8 τοσούτου. 10 ἃ δὴ] ἅδη. 23 φάρετραν.

χεται τὴν περικεφαλαίαν τοῦ σωτηρίου καὶ τὴν τοῦ πνεύματος μάχαιραν, καὶ γίνεται Χριστοῦ στρατιώτης καὶ ἀντιστρατεύει τῷ κοσμοκράτορι, καὶ ⟨τὰ⟩ κάτω περιφρονήσας ἀθρόον ἀναβαίνει μετὰ τῆς ἀγέλης τῶν κεκαρμένων καὶ μέχρι καὶ ἐς οὐρανὸν ἐλαφρίζεται· καὶ ὁ χθὲς μετὰ τοῦ Δαυὶδ πυρράκης μετὰ κάλλους τῶν ὀφθαλμῶν, μέλας μετὰ τῆς ἀσματιζούσης σήμερον καὶ καλός. ὦ φρονήματος βεβηκότος· ὦ λογισμοῦ καλῶς κρίνοντος· ὦ σώματος ἀνδρικοῦ καὶ γενναίου καὶ ψυχῆς ἀνδρικωτέρας καὶ σώφρονος. ἔκειτο καὶ ψυχῇ καὶ σώματι διαλάμπων καὶ τῆς στολῆς τῇ σεμνότητι, καὶ ἡ μὲν ἰσχὺς τοῦ σώματος ὑπετέμνετο καὶ θεοῦ μνήμη καὶ ψαλμικὰ παρὰ τοῖς χείλεσι ῥήματα, ὁ δὲ βασιλεὺς πενθῶν ἐπὶ τούτοις καὶ συνθρηνοῦντες οἱ ξύμπαντες καὶ ἄλλος ἄλλο τῶν τοῦ Κομνηνοῦ καλῶν καταλέγοντες, ὁ μὲν ὅτι πρᾶος ἦν καὶ μείλιχος καὶ ἡδύς, ὁ δ' ὅτι συμπαθὴς καὶ προτείνων χρῄζοντι χεῖρα καὶ πᾶσιν ἐπ' εὐεργεσίᾳ προκείμενος. ἐθαυμάζετο καὶ ἡ τῆς γνώμης εὐθύτης καὶ τὸ καλοθελὲς καὶ χρηστόηθες· ὕμνει δέ τις καὶ τὸ παραβλόζον μέλι τοῖς χείλεσι καὶ τὴν ἐγκαθημένην τούτοις πειθώ, καὶ τὸ μηδέποτε τὴν χάριν αὐτῷ τῶν λόγων ὑπὸ τοῦ ψεύδους μολύνεσθαι· κάλλος δὲ καὶ ἀνδρεία καὶ τὸ τῆς ἡλικίας εὐμέγεθες κοινή τις ἦν τῶν ἰδόντων καὶ ἀφήγησις καὶ ἐκθείασις.

11. Εἰ δὲ καὶ λόγων ἔτρεφες ἔρωτα, φιλόκαλε Κομνηνέ, εἰ δὲ καὶ παλαιῶν βίβλοις προσεῖχες καὶ μετὰ τοῦ θύμου τῶν τῆς καθ' ἡμᾶς προσκαθημένων αὐλῆς καὶ τ⟨αῖς τῆς⟩ ῥητορικῆς ἑτέρπου ῥοδωνιαῖς, ἐμέ τις ἐρωτάτω τὸν πρὸς ἀκρίβειαν ἐπιστάμενον, οὗ καὶ τοὺς λόγους ἐφίλεις, οὗ καὶ ἐνεκολπίζου τὰ γράμματα, ᾧ τὰ πολλὰ καὶ προσηδολέσχεις νῦν μὲν ζήτημα γραφικόν, νῦν δὲ θεώρημα φυσικὸν καὶ ἄλλην ἄλλοτε ὑπόθεσιν προβαλλόμενος. ἐγώ σου καὶ τὸ πρὸς τὸν πλοῦτον ὑπεροπτικὸν μαρτυρήσω καὶ τὸ τῆς ἀντιλήψεως ἀνόθευτον καὶ ἀκίβδηλον, ὅπως θερμότερον μὲν τῶν δεομένων τοῦ βασιλικοῦ ἐλέους προΐστασο, δῶρα δέ σοι καὶ κολακεία καὶ τὸ τῆς προστασίας κάλλος οὐ κατερρύπαινεν. ὤ, πολλάκις ἔγνων σε καὶ δῶρα μισοῦντα καὶ δωρουμένοις ἀποστρεφόμενον καὶ πρὸς κολακείαν βαρυθυμοῦντα καὶ πλέον τῶν ὑβριζομένων ἐρυθαινόμενον· προῖκα γὰρ ἤθελες εἶναι καλὸς καὶ ἀλαχόθεν τὴν ἀντιμισθίαν ἀνέμενες. ἀρχὰ γνωρίζει τὸν ἄνδρα σοφός τις λέγει καὶ πείθει με· καὶ σὲ τοίνυν ἐπὶ τῆς ἀρχῆς ἰδὼν ἔγωγε πλέον τῶν ἄλλων ἐγνώρισα, ὅτε τῶν παρ' Αἰτωλοῖς καὶ Καλυδωνίοις τῆς Ἑλλάδος ἄρξας μερῶν.

1 Περικεφαλαίαν — μάχαιραν] πρβλ. Ἐφεσ. ς', 17. 4 Δαυὶδ] πρβλ. Βασ. 1, ις', 12. 5 ἀσματιζούσης] πρβλ. Ἆσμ. α', 5. 31 σοφός τις] Δημοσθ. σ. 1455,15.

3 κ ῶ δ. αναβαίνη. 4 ⟨τὰ⟩] προσθήκη ἡμετέρα. 28 κ ῶ δ. κατερύπαινεν. 21 ταῖς τ⟨ῆς⟩] συμπλήρωσις ἡμετ. τόπου διατρήτου.

ὦ τῶν χρυσῶν ἡμερῶν ἐκείνων καὶ τῆς τότε τῶν ἀνθρώπων εὐδαιμονίας. αὐτοῦ τὸ τῆς ἀδικίας κατηγωνίσω θηρίον, ὡς πρὶν τὸν μονιὸν ὁ Μελέαγρος, οὐχ ὅπως τὸ τῶν φόρων φορτίον τοῖς ἐκεῖσε ὑποφόροις ἐπιβαρύνας καὶ τὰ στάθμια δισσὰ καὶ ζυγοὺς δολίους ἐπινοήσας καὶ τἆλλα, ὅσα τῶν δικαίως παρὰ τῇ Γραφῇ λοιδορουμένων πρακτόρων, ἀλλὰ οἴκοθεν αὐτοῖς ἐπιχορηγήσας καὶ ὁπόσα τέκνοις ἐπαρκέσας πατὴρ φιλόστοργος περιεζώσω καὶ τὴν τῶν κολάκων ἀρχὴν καὶ μετὰ Λυκούργου ἐκείνου τοῦ ὑμνουμένου σφῶν καὶ νομοθέτου καὶ ἀρχηγοῦ τὰ ζυγὰ τοῦ δικαίου τούτοις ἐβράβευσας· μᾶλλον δὲ οἰχομένην πάλαι τὴν δίκην ἐκεῖθεν καὶ παρὰ τῶν οὐ καλῶν ἀρχόντων ἐκ μακροῦ ξενηλατηθεῖσαν αὐτὸς αὖθις ἐπανεσώσω καὶ ἐπανήγαγες αὐτὴν εἰς τὰ πάτρια, καὶ ταχὺ γεγόνασιν ἐπίφθονοι καὶ πάλιν οἱ στρατιῶται καὶ διὰ σὲ τρισσευδαίμονες, ὡς τῇ λόγχῃ πάλαι καὶ τῇ ἀνδρείᾳ, οὕτω τότε τῇ τοῦ ἄρχοντος χρηστότητι γνωριζόμενοι.

12. Ἔτι καὶ νῦν ἐγκάθηται Λακεδαιμονίοις ἡ μνήμη τῆς σῆς χρηστότητος· ἔτι καὶ νῦν ὁ σὸς ζῆλος ταῖς Ἑλληνίσι πάσαις πόλεσιν ὑποφλέγεται, ὃν αὐταῖς ὑπανῆπτες ἢ παρὼν καὶ βλεπόμενος, ἢ τῇ φήμῃ μόνῃ παραπεμπόμενος. ποία γὰρ οὐκ ηὔξατο πόλις ἄρχοντά σε λαχεῖν; τίς οὐχ ὑπὸ σοὶ καὶ τάττεσθαι καὶ φορολογεῖσθαι μακαριώτατον ἔκρινεν; εἰ δὲ καὶ ταύτην νῦν αἱ πόλεις τὴν συμφορὰν ἐνωτίσονται, ὡς οἴχεται ὁ Κομνηνός, τὸ τῶν ἀνακτόρων ἄστρον, ἡ τῆς νεότητος ἀγλαΐα, τὸ προσηνὲς ὄμμα καὶ ἥμερον, ἧπου καλέσουσι τὰς θρηνούσας καὶ μέγαν κοπετὸν ἀναφλέξουσιν, ὁποῖον Αἴγυπτος πάλαι θρηνοῦσα τὸν καλὸν Ἰωσὴφ καὶ Ἀττικὴ Περικλέα καὶ Μακεδόνες Ἀλέξανδρον, καὶ ὁπόσαι γάρ σε τῶν πόλεων προστάτην ἐπὶ τῶν πραγμάτων οὐκ ἐκληρώσαντο, ἀλλὰ τῷ ζήλῳ γοῦν ἐκληρώσαντο καὶ ὡς οἰκεῖον ἀγαθὸν ἀποκλαίονται. θρηνήσει καὶ ἡ Νικαέων, εὖ οἶδα, τῆς σῆς μνησθεῖσα γλυκύτητος, ὅπως ὑπὸ μελιχρότητος λόγων καὶ τῇ τοῦ ἤθους ἡδύτητι θᾶττον ἢ λόγος τοὺς μεγάλους ταύτης περιβόλους ἀνήγειρας, οὐδὲν ἧττον ἤπερ οἱ τὰς ἑπταπύλους πάλαι τειχῆσαι Θήβας ὑπὸ λύρᾳ καὶ τοῖς κρούμασι μυθευόμενοι.

13. Εἰ δὲ τοῖς πόρρωθεν σὺ τοιοῦτος καὶ τοῖς ἄκρου γεγευμένοις τοῦ μέλιτος, ποταπὸς τοῖς ἐγγυτέρω καὶ τοῖς ἐκ μακροτέρας τῆς συνηθείας τὸν Ὑμηττὸν ὅλον τρυγήσασι; τοιγάρ τοι καὶ ὑπὲρ μὲν κιττὸν ἐξείχετό σου τὸ ὑποχείριον, ὑπὲρ δὲ πᾶσαν συμφυΐαν καὶ ἁρμονίαν συνήπτετό σοι τὸ συγγε-

5 Γραφῇ] πρβλ. Ἡσ. γ', 12. 22 Αἴγυπτος — Ἰωσὴφ] πρβλ. Γεν. ν', 26.

17 ηὔξατο] κ ῶ δ. ἤρξατο. 28 τοιχῆσαι.

νές τε καὶ φίλιον, ὡς ἀποκρύπτεσθαι μέν σοι τὰ παλαιὰ Διοσκούρων ἐπὶ φιλαδελφίᾳ σεμνολογήματα, ἐλέγχεσθαι δὲ κατὰ τὴν Ὀρέστου καὶ Πυλάδου φιλίαν καὶ εἴ τις ἕτερος φιλάδελφος καὶ φιλέταιρος. ἀλλὰ νῦν ἔρημοι πάντες τοῦ καλοῦ Κομνηνοῦ, καὶ ζητοῦσι μὲν οἱ ἀδελφοὶ τὸν φιλάδελφον, αἱ νύμφαι δὲ τὸν φιλόνυμφον καὶ ὁ γαμβρὸς τὸν φιλόγαμβρον, οὗ μετὰ τῆς ⟨εἰς⟩ τὸν Κομνηνὸν ὁμονοίας καὶ ἡ ὁμοψυχία τὸ γνώρισμα. ζητοῦσι καὶ οἱ περὶ τὸν βασιλέα στρεφόμενοι τὸν συνόμιλον, οἱ ἐγγυτέρω τοῦ βασιλέως τὸν συνιστάμενον καὶ ἐπιλάμποντα, τὸν στρατιώτην οἱ στρατιῶται, οἱ στρατηγοὶ τὸν συστράτηγον, οἱ νέοι καὶ καλοὶ τὸν συνέφηβον, οἱ γηραιοὶ τὸν ὁμόφρονα. ὅταν ὁ βασίλειος θρόνος φέρῃ τὸν αὐτοκράτορα καὶ περὶ τὸν θρόνον τὸ συγγενές, οὐκ ἔξω μνήμης ὁ Κομνηνός, ἀλλὰ ⟨ζη⟩τεῖ μὲν τοῦτον βλέπειν ὁ βασιλεύς, ἀνανοεῖται δὲ τὴν ἁρπαγὴν τὴν αἰφνίδιον καὶ τὴν ψυχὴν τῷ πάθει σπαρ⟨ά⟩σσεται. ζητεῖ τὸν Κομνηνὸν καὶ τὰ βασιλικὰ κυνηγέσια καὶ καιροὶ λόγων καὶ ὁμιλίας καὶ τὰ σεμνὰ βουλευτήρια· μικρὸν καὶ ὅσον καὶ ὁ πόλεμος ὁ βαρβαρικὸς καὶ ἐπὶ πλέον ὁ πολεμιστὴς ζητηθήσεται.

14. Τίς ἀναγγελεῖ σοι τὸ πάθος, ὦ μεγαλόφρον Ἀνδρόνικε; ποῖός σε κομιεῖται τὴν πικρὰν ἀγγελίαν, ὅτι τὸν ἀδελφὸν οὐκ ἔχεις Ἀλέξιον; ἦπου πλήξει σε κατὰ καρδίαν ὁ λόγος καὶ μακρὸν ἀνακωκύσεις ἐπὶ τῷ τραύματι· ἦπου μέγα στενάξεις καὶ τὸ προφητικὸν ἀναβοήσεις μελῴδημα· " Ἀκούσατε, ὅτι στενάζω ἐγώ· οὐκ ἔστιν ὁ παρακαλῶν με ". πλὴν ἀλλ' ὅρα, μὴ ἐξάκουστον Πέρσαις τὸ σὸν θρηνῴδημα γένηται, " μήποτε θυγατέρες εὐφρανθῶσιν ἀλλοφύλων ", ὃ πάλαι καὶ Δαυὶδ ἐπιπεσόντι τῷ Σαοὺλ ἐπεφόβητο. ἦπου τὴν διχοτομίαν περιαλγήσεις καὶ τὴν τῆς ἀδελφικῆς ἁρμονίας οὐ καρτερήσεις διάζευξιν· ναὶ μὲν δακρύσεις τὸν ἀδελφὸν ἀποπτάντα καὶ μηδὲ προσειπόντα τὰ λοίσθια, ναὶ δὲ καὶ τὴν φίλην νύμφην θρηνήσεις, τὴν εὐτυχῆ καὶ δυσδαίμονα, τὴν χθὲς μὲν καλὸν οἷον ἀνθοῦσαν, τῷ καλῷ συναναθάλλουσαν Κομνηνῷ, νῦν δὲ φεῦ μετ' ἐκεῖνον ἀπανθοῦσαν καὶ φθίνουσαν. τάχα καὶ τοῦτο συμφορὰν ἑτέραν νομίσεις, ὅτι σοι τῶν παρακλητόρων ἀπολελείψεται, ὅτι οὐ παραθήσεις ταύτῃ πενθούσῃ καὶ λόγον οἴσεις παρήγορον καὶ τὸ πολὺ καὶ λαῦρον τοῦ κλαυθμοῦ κατασβέσεις τοῖς τῆς γλώττης ἀποκρουνίσμασιν, οἷος σὺ καὶ συνετὸς ἐννοῆσαι καὶ εἰπεῖν δεξιὸς καὶ πεῖσαι ἱκανὸς καὶ καταθέλξαι δεινός, ὡς εἰ καὶ μέλιτι τοὺς λόγους παρέχρισας. ὡς νῦν γε οἴχεται αὐτῇ μετὰ τοῦ Κομνηνοῦ καὶ παράκλησις· καὶ κλαίουσα μὲν ἔκλαυσεν ἐν νυκτὶ καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς (ὅ φησιν ἡ Γραφή), ὁ δὲ παρακαλῶν αὐτὴν οὐχ ὑπῆρχεν ἀπὸ πάντων τῶν ἀγαπώντων αὐτήν.

19 προφητικὸν] πρβλ. Θρ. α', 21. 22 Δαυὶδ] πρβλ. Βασ. 2, α', 20.

5 ⟨εἰς⟩] προσθ. ἡμετ. 6 οἱ τὸν περὶ τὸν. 7 κ ῶ δ. συνόμιλλον. 22 σαουὴλ. 23 τὴν τῆς] τὰ τῆς.

15. Ἀτονεῖ δὲ καὶ Κομνηνῆς ἡ παραμυθία, ἣν ὁ κείμενος ἀδελφὸς ἀνέπνει καὶ ἣν ἡμεῖς αὐτῷ μικροῦ συναποπνεύσασαν εἴδομεν καὶ τῶν ὁμονύμφων λόγοι παρακλητήριοι. ἤδη ποτὲ καὶ ὄμβρος ἔστη καταφερόμενος ἄνωθεν καὶ οὐρανὸς ἔκαμεν ὑετίζων καὶ γῆς καταβρεχόμενον πρόσωπον, τῇ δὲ καὶ ὀφθαλμὸς ἀκάμας δακρύων καὶ παρειαὶ τοῖς δάκρυσι κατακρουνιζόμεναι καὶ τῷ σφοδρῷ τοῦ ῥεύματος ἀποχαραδρούμεναι· καὶ λίθος μὲν ἐνέδωκέ ποτε βαλλόμενος καὶ διέρρηκται, ταύτῃ δὲ τὸ στέρνον ἀνένδετον καὶ τοσοῦτον ταῖς χερσὶ σπαρασσόμενον. ὦ στεναγμάτων γέμοντος δείπνου τῆς φιλανθρώπου καὶ σώφρονος, ὦ πομάτων ἐκ τῆς τῶν ὀμμάτων κενουμένων πηγῆς, ὦ στρωμνῆς κατωδύνου καὶ οἷαν σχεδιάζει γυμνὰ τὰ δάπεδα· τάχα γὰρ ἔοικε τῇ γῇ παρακαθημένη καὶ θαλερὸν αὐτῇ τὸ δάκρυον ἐπιλείβουσα παρακαλεῖν ὑπανοῖξαί οἱ τὸ στόμα καὶ παραπέμψαι τῷ καλῷ Κομνηνῷ· καί που καὶ τὰ τῆς Ἀνδρομάχης εἰσποιουμένη, καλὸν ἀποκλαιομένης καὶ θαλερὸν τὸν ὁμόλεκτρον, τὸν τῆς κεφαλῆς ῥίπτει κόσμον καὶ κατὰ γῆς ὁ κεκρύφαλος καὶ " Ὦ μοι δύστηνος ἐγώ " φησι, " Κομνηνέ· μιᾷ δὲ ἄρα γεγόναμεν ἀμφότεροι μοίρᾳ. σὲ μὲν ὠκύμορον ἐθρέψατο μήτηρ, ὁ τῆς πορφύρας βλαστός, ἡ περιᾳδομένη βασίλισσα, ἐμὲ ⟨δὲ⟩ δύσμορον καὶ λυπρόβιον ὁ λογοθέτης πατήρ· καὶ σὺ μὲν ὑπὸ γῆν ἐκρύβης λάμψας ὀλίγον, ὁ τῆς ἐμῆς λαμπτὴρ βιοτῆς, ἐγὼ δέ σοι χήρα καὶ δυστυχὴς περιλέλειμμαι ". ἓν αὐτῇ λείπεται τῶν τῆς Ἀνδρομάχης, ὅτι μὴ καὶ περὶ παιδὸς ἔχει λέγειν, ὃν ὁ τεκὼν ἀφῆκεν ὀρφανὸν καὶ νηπίαχον. ὦ συμφορᾶς ἀπαραμυθήτου, ὦ τηλικούτου κακοῦ. οἴχεται ὁ τοσοῦτος μηδὲ τέκνον λιπὼν τῆς ἀρετῆς μὲν εἰκόνα τῷ βίῳ, τῇ δὲ μητρὶ παραμύθιον.

16. Ἀλλ' ἕως πότε σοι ταῦτα καὶ μέχρι τίνος τὰ δάκρυα; πέπαυται καὶ Ἀνδρομάχη θρηνοῦσα τὸν περιβόητον Ἕκτορα καὶ Μυρμιδόνες Ἀχιλλέα πενθοῦντές ποτε τὸν θρῆνον ἐπαύσαντο. δεῦρο " διαλιπέτω ἡ φωνή σου ἀπὸ κλαυθμῶν καὶ οἱ ὀφθαλμοί σου ἀπὸ δακρύων ". ὁ προφήτης κιρνᾷ σοι τὸ νηπενθὲς τουτὶ φάρμακον. οὐδὲν ἔχεις τῶν τοῦ Κομνηνοῦ καλῶν ἀποκλαύσασθαι (Ὅμ⟨ηρος π⟩ρολαβὼν ἐν ἄλλοις τεθρήνηται), τὸ εὐγενὲς ἐν τοῖς βασιλεῦσι, τὸ ἀνδρικὸν ἐν τοῖς ἥρωσι, τὸ κάλλος ἐν τοῖς περὶ Νηρέα κα⟨ὶ

1 Γραφή] πρβλ. Θρ. α', 2. 15 Ἀνδρομάχης] πρβλ. Εὐρ. Ἀνδρ. 71. 19 δὲ] ἡμετ. προσθ. 28 οιαλιπέτω — δακρύων] Ἱερεμ. λη', 16. 30 νηπενθὲς — φάρμακον] πρβλ. Ὀδ. δ, 221. 31 Ὅμ⟨ηρος π⟩ρολαβὼν] τόπος ἐφθ. πέντε στοιχείων.

27 κ ῶ δ. μιρμηδόνες. 32 νῆρέα.

τοῖς) περὶ θεὸν τὸ φιλόθεον, ἀλλ' ἡ νεότης σε τρύχει καὶ τῇ ἀκαιρίᾳ ἐπιμέμφῃ τῆς συμφορᾶς· πόσοι καὶ νέοι παρῆλθον, πόσοι πρὸ ὥρας ἡρπάγησαν. ἐκεῖνό σοι τῶν τοῦ Κομνηνοῦ κατὰ νοῦν βαλέσθω καὶ τὸν τοῦ πένθους δροσιζέτω φλογμόν, ὅτι τὰς μακρὰς τοῦ βίου κῆρας φυγὼν καὶ τὸν πολὺν τούτου βόρβορον ἀπῆλθε τῷ λουτρῷ τῆς μετανοίας κεκαθαρμένος καὶ εἴ τινά 5 που σπῖλον εἶχεν ἀποπλυνάμενος καὶ νῦν τῷ βασιλεῖ παραστατεῖ τῷ μεγάλῳ καὶ τῶν θείων ἐλλάμψεων καί σοι πρεσβεύει τὰ λῴονα.

17. Ταῦτά σοι, Κομνηνέ, παρ' ἡμῶν, τοῦτό σοι τελευταῖον τῆς ἡδίστης σοι γλώττης καὶ φιλουμένης προσφώνημα, λυπρὸν μὲν καὶ πικρίας γέμον καὶ οἷον οὔ ποτέ σοι προσειπεῖν προσεδόκησα, πλὴν ἀλλ' ὁποῖον τύμβος ἐθέλει 10 καὶ πονηρὰ τύχη δίδωσιν· ἐγὼ μὲν γὰρ πρὸς ἑτέρους λόγους σοι καὶ νῦν παρεσκευαζόμην καὶ τὸν ἐπινίκιον ἐμελέτων ᾆσαι μετὰ τροπαίων σοι λαμπρῶν ἐπανήκοντι, σὺ δὲ φθάνεις ἡμῖν τὰς τοιαύτας περικόψας ἐλπίδας καὶ νῦν εἰς μονῳδίαν ἐστράφημεν καὶ περιϊστάμεθά σου τὸν τύμβον καὶ θρήνους ἅμα καὶ λόγους σπένδομεν, εἴθε δὲ καὶ τοῦ πάθους ἀξίους καί σοι προσή- 15 κοντας καὶ τὸν ἡμέτερον πόθον καὶ τὸν πόνον ἐμφαίνοντας. νῦν δὲ ἀλλὰ καὶ νοῦς ἡμῖν τῷ πάθει πεπήρωται καὶ πρὸς γονὰς λόγων βραδεῖς γεγόναμεν καὶ οὐκ οἶδα, εἴ τις ἡμᾶς μετὰ σὲ λέγοντας ἐπαινέσεται. ὦ δυστυχὴς οὗτος λόγος, οἷαν μὲν ἔσχεν ὑπόθεσιν, οἷον δὲ καὶ ζηλωτὴν ἐζημίωται.

5.

Τοῦ αὐτοῦ λόγος ἐπιτάφιος εἰς τὸν Ἀθηνῶν τὸν ὑπέρτιμον.

1. Ἀποροῦσιν οἱ λόγοι τίνα θρηνήσουσιν, τὸν ὑπέρτιμον πεσόντα ἢ ἑαυτοὺς συγκατενεχθέντας καὶ κειμένους πτῶμα παγχάλεπον, τὸν πρόεδρον τῆς τῶν λόγων πόλεως ἢ τὴν πόλιν αὐτήν, τὸ μέχρι μὲν τοῦ παρόντος τῶν λόγων ἔδαφος, ἀλλὰ νῦν ἐξαίφνης ἀμουσίας χωρίον καὶ συμφορᾶς καταγώγιον. ὦ κοινοῦ πάθους, ὦ πανδήμου κακοῦ· κεῖται μὲν ὁ τῆς Ἀττικῆς φωστήρ, ὁ τῆς Ἐκκλησίας κόσμος, τὸ τῶν ἀρχιερέων ἀγλάϊσμα, τῆς συγκλήτου τὸ κλέος, ὁ τὰ πάντα καλὸς ὑπέρτιμος, συγκαταβέβληται δὲ αὐτῷ καὶ λόγων κράτος καὶ ἡ τῶν ἀρετῶν ἑστία καὶ τὸ μέγα τῶν Ἀθηνῶν ὄνομα, ἐπὶ δὲ τούτοις σκυθρωπότης κοινὴ καὶ κοσμικὸν ἰδοὺ δάκρυον καὶ συντρέχουσιν ἄλλος ἐπ' 30 ἄλλῳ σεβόμενοι τῷ πάθει καὶ τὸ τῆς ζημίας ἀποκλαιόμενοι μέγεθος. ὁ μὲν βαθὺ στένει καὶ ἀνακαλεῖται τὸν φίλον, ὁ δὲ δακρύει καὶ ἐπιβοᾶται τὸν εὐεργέτην, ὁ δὲ τὸν πρᾶον, ὁ δὲ τὸν λόγιον καὶ ἄλλος ἄλλο τι τῶν εἰς μνή-

1 κα(ὶ τοῖς)] συμπλ. τόπου εφθαρμ. 21 Κ ω δ. φ. 97α—100β.

7 κ ω δ. ἐλάμψεων.

μην ἡκόντων τοῦ πενθουμένου καλῶν· ὁ δὲ ἀδελφὸς λογοθέτης (ἀλλ' οἴμοι, συγχεῖταί μοι ὁ λόγος καὶ κινεῖ τὸ πάθος τὰ δάκρυα) κλύει μὲν καὶ τοῦ τῶν πολλῶν στεναγμοῦ καὶ τοῦ τῶν ἀρετῶν καταλόγου καὶ ὑπανάπτεταί οἱ τὸ δάκρυον. ἀναπεμπάζων δὲ καὶ αὐτὸς καὶ τῶν ἀδελφικῶν χαρίτων τὸ σμῆνος καὶ προστιθεὶς τοῖς λεγομένοις ἃ τοῖς ἄλλοις ἠγνόηται, ὑψοῖ τὸν κλαυθμόν, ἐπαίρει καὶ ποιεῖται τὰ πάντα μεγίστου πένθους ὑπόθεσιν, " Οἴχεταί μοι " λέγων " ὁ ἀδελφός, ἡ κρηπὶς τοῦ γένους, ἡ τῶν ἀδελφῶν εὐλογία, τῆς συγγενείας ὁ στέφανος· οἴχεται ὁ φιλαδελφίᾳ νικήσας τῶν Διοσκόρων τὰ σεμνὰ διηγήματα, ὁ δίχα συζυγίας γεννήτωρ καὶ δίχα γάμου πατήρ, ὅσα καὶ τοῖς συγγόνοις εἴς γε κηδεμονίαν τὰ πατρὸς ἤρκεσε καὶ πολλὰ κατὰ πνεῦμα τούτοις γεγένηται. οἴχεταί μοι ὁ ἁγιασμὸς τῆς οἰκίας, τῆς ψυχῆς ὁ οἰακοστρόφος, ἡ ὑγεία τοῦ σώματος, ἡ τῶν μεριμνῶν λύσις, ἡ παντὸς πάθους παραμυθία, τὸ ἐμὸν ἐντρύφημα καὶ καλλώπισμα. οἴχεταί μοι· ἀλλὰ πῶς καρτερῶ καὶ λέγειν; αὐτὸ φάος, αὐτὴ πνοή. ἀλλ' οἴμοι, τίνα ταύτην οἴχῃ τὴν πορείαν, ἀδελφὲ φίλτατε, τίνα στέλλῃ ταύτην ὁδόν; ἆρά μοι ἐπανήξεις καὶ πάλιν; ἆρα σε ὄψομαι τὸν ποθούμενον καὶ χρή με πέμπειν ἐς Ἀθήνας σὸν κομιστῆρα καὶ γράμματα ἢ ἀμετάτρεπτά σοι τὰ τῆς ἀποδημίας καὶ ἀληθὲς τὸ θρυλούμενον, ἐγὼ δ' ὡς ἐν ὀνείρῳ ὑπὸ τοῦ πάθους πεπλάνημαι; ἐλάνθανον ἄρα χθές σε προπέμπων εἰς Ἅδην, οὐκ εἰς Ἀθήνας τὰς σάς, ἠγνόουν ὡς οὐκ ἐπὶ τὰ σοὶ φιλούμενα χωρία τῆς Ἀττικῆς μεταβαίνεις, ἀλλ' εἰς τὰ Περσεφόνης καὶ Πλούτωνος· ἢ γὰρ ἂν ἀμφοτέραις εἰχόμην καὶ τὴν ὁδὸν ἀπεκώλυσα ἢ συνειπόμην τῷ ποθουμένῳ μέχρι καὶ τάφου καὶ μνήματος. ὦ θρυλουμένη πόλις Ἀθῆναι, (σὲ καὶ) μόνον ἀδελφὸς χρυσέαν ὄντως διὰ τοῦ λαμπροτάτου κόσμου τῶν ἀρετῶν καὶ εἶναι καὶ καλεῖσθαι πεποίηκεν, ὡς ὑπόχαλκόν (τι ν)ῦν τοῦτο τὸ δυσηχὲς ἡμῖν ἤχησας τοιαύτην ἀποστείλασα φήμην, ἣ δὴ γενέσθαι μὴ ὤφελε. ποῦ σὺ καὶ ὁ τεθρυλημένος τοῦ Ἐλέου βωμός, εἴπερ οὐκ ἔλαβες οἶκτον τῶν τοσούτων καλῶν, οἷς ὁ ἐμὸς ἀρχιερεὺς ἐσεμνύνετο, ἀλλὰ προὔδωκας οὕτω ῥᾳδίως τὸν παρὰ πᾶσι ζητούμενον ";

2. Τολμᾷ καὶ πρὸς τὴν τῶν Ἀθηνῶν εἰπεῖν πολιοῦχον, τὴν παρθένον, τὴν κοσμοσώτειραν· " Σὺ μέν, ὦ δοχεῖον τῆς καθαρότητος, τὸν ἁγνὸν τῆς Ἐκκλησίας νυμφίον πρὸς ἑαυτὴν ἐφειλκύσω καὶ λειτουργεῖν σοι μετὰ τῶν ἀγγέλων ἐκάλεσας· τοῦτ' ἦν κἀκείνῳ τὸ σπουδαζόμενον, διαβῆναι τὸν τῇδε βίον καὶ πρὸς τὰ ὑψηλότερα μετατάξασθαι· τὸ δὲ σὸν περίκλυτον τέμενος, ἡ

8 ὁ φιλαδελφίᾳ] κ ω δ. ἡ φιλαδελφία· πρβλ. Πλουτ. Ἠθ. 483 c. 23 σὲ καὶ] προσθήκη στηριζομένη ἐπὶ τῶν ἄνω ἰχνῶν γραμμάτων τόπου βραχέος διατρήτου. 25 (τι ν)ῦν] συμπλ. ἐφθ. τόπου 32 τοῦτ' ἦν] κ ω δ. τοῦτήν.

11 κ ω δ. οἰακόστροφος. 15 στέλη. 23 ἀθήνα.

σὴ περιθρύλητος πόλις καὶ τρίτος ἔγωγε οὐ φέρομεν τὴν ζημίαν καὶ τὴν ἀδικίαν ἐπιβοώμεθα. οἷος ἡμῖν ἐπιλέλοιπε τῷ ναῷ μὲν ὁ θύτης, Ἀθηναίοις δὲ ὁ προστάτης καὶ τοῖς ἀδελφοῖς ὁ παρήγορος". ταῦτα λέγει δακρύων ὁ λογοθέτης, ταῦτα θρηνῶν ἀναφθέγγεται· ἀδελφαὶ δὲ καὶ νύμφη, τὰ καλλιστεῖα τοῦ θήλεος, θρηνοῦσαι μὲν οὐ συγκαλοῦνται λιγυρώτερον κόψασθαι οὐδὲ τοῖς πολλοῖς ἐξάκουστα κλαυθμυρίζονται, αὐταί τε σεμνότητος οὖσαι τύπος καὶ πάσαις ἀρεταῖς διαλάμπουσαι καὶ τὸν μέγαν ἐν ἀρχιερεῦσι πενθοῦσαι, τὸν ὑπέρτιμον, τὸν ὑπέρσεμνον. εἰσελθοῦσαι δὲ εἰς τὸ ταμιεῖον καὶ σκότος ἑαυταῖς (κατὰ τὸ γεγραμμένον) συγκλείσασαι στενάζουσιν ἐκ βαθέων καὶ σῶφρον ἐπιστάζουσι δάκρυον, "Τίς ἡμῖν τὴν καλὴν ἁρμονίαν" λέγουσαι "διαλέλυκε; τίς τὴν χρυσέαν ὄντως σειρὰν διέρρηξε; τίς ἀδελφῶν χορὸν διεσπάραξε τὸν κορυφαῖον ἀποσπάσας καὶ προὔχοντα; μὴ καὶ πάλιν πρέσβυς παρὰ βασιλέως ἐστάλη καὶ λιπὼν ἡμᾶς ὀξὺν ποιεῖται τὸν δρόμον τὰ τῷ βασιλεῖ φίλον καταπραξόμενος; ὡς εἴθε ἦν πρεσβεία καὶ ταῦτα καὶ εἰς μακρὰν ὁδὸν ἀπεδήμησεν· ἦν γὰρ ἂν ἐλπιζομένη καὶ ἡ ἐπάνοδος· νῦν δὲ ἀλλὰ μακρὰ μὲν ὡς ἀληθῶς ἡ πορεία, μακροτάτη δὲ ἡ ἀποδημία καὶ ὥς φασιν ἀνυπόστροφος. ποῖος ἔχει σε χῶρος τὸν ἡμέτερον λύχνον; ποία σε πόλις κεκλήρωται; ἐὰν τὰς σὰς Ἀθήνας οἰκῇς, πρὸς ἃς δρομαίως ἠπείγου τοῖς ἐνθαδὶ συνταξάμενος, τάχα σε καθιούμεθα καὶ νῦν περιμένουσαι καὶ τὴν γλυκεῖαν ὄψιν οὐκ ἀπελπίσομεν· εἰ δ' ἀλλαχοῦ που μετέβης ἐκεῖθεν βασιλικοῖς κελεύσμασιν ὑπηρετησόμενος, μόνον ἤτω τῶν ἐπιγείων ὁ χῶρος καὶ πάλιν τὸν ποθούμενον ἕξομεν. πολλάκις σε τοῖς βασιλείοις ἐγκαρτεροῦντα καὶ τῷ κρατοῦντι προσδιαλεγόμενον ἀνεμείναμεν καὶ ἔθελγες ἡμᾶς ἐπανήκων τῷ προσηνεῖ καὶ βλέμματι καὶ φωνήματι· νῦν δ' ἀλλὰ πικρὸς ἡμῖν ἄγγελος ἦλθεν ἀπαγορεύων τὴν ἔλευσιν. οὐκέτι σου τὴν προσηνῆ θέαν ὀψόμεθα, οὐκέτι σου τῆς ἱλαρᾶς φωνῆς ἀκουσόμεθα, οὐκέτι λαμπροὺς ἡμῖν ποιήσεις τοὺς οἴκους μόνος ἐν τούτοις φαινόμενος καὶ τὸν σεπτὸν παρθενῶνα τοῦτον, ὃν ὑπὸ ταῖς σαῖς εὐχαῖς ἐθεμελιώσαμεν· οὐκέτι κοσμήσεις ἡμῖν τὴν τράπεζαν ἅλατι θείῳ παραρτύων αὐτὴν καὶ πνευματικὰ συμπαραμιγνύων καὶ ὑψηλότερα βρώματα· οὐκέτι βελτιώσεις καὶ σωφρονίσεις ἡμᾶς πασῶν ἀρετῶν ὑπόδειγμα τὴν σὴν διαγωγὴν προτιθέμενος".

3. Τοιοῦτός σοι καὶ ὁ τῶν ἀδελφῶν καὶ τῆς νύμφης θρῆνος, ὦ θεῖε δέσποτα, τὰ δὲ τῆς ἱερᾶς τῶν συμποιμένων λογάδος, τὰ δὲ τῶν ἐν τέλει καὶ

8 ταμιεῖον — συγκλείσασαι] πρβλ. Σειρ. κθ', 12. 11 χρυσέαν σειρὰν] πρβλ. Ἰλ. Θ, 19. 16 ἀποδ. ὥς φ. ἀνυπόστροφος] πρβλ. Ὀρφ. ὕμν. 56. 27 μόνος] κ ῶ δ. μόνον.

12 κ ῶ δ. πρεσβῖς. 14 καταπραξάμενος. 18 ὑπείγου.

τῶν ὑψηλοτέρων καὶ τοῦ τῆς πολιτείας πληρώματος ποίαν ψυχὴν οὐ συνθρύπτουσι; θρηνεῖ σε τῶν πατριαρχῶν ἡ τριάς, τὸν τέταρτον μετ' αὐτοὺς καὶ τῆς τριάδος ζηλωτὴν ὑπέρμαχον, ὁ οἰκουμενικὸς καὶ ἡμέτερος πατριάρχης τὸν οἰκουμενικὸν λαμπτῆρα, τὸν πανταχοῦ ταῖς ἀρεταῖς διαλάμψαντα, ὁ τῶν Ἱεροσολύμων καὶ τῆς Ἁγίας Γῆς ἀρχιποίμην τὸν ἱερὸν ποιμένα καὶ ἅγιον, ὁ τὴν Θεουπολιτῶν κατακοσμῶν ἐκκλησίαν τὸν τοῦ θεοῦ πολίτην καὶ κληρονόμον τῆς ἄνω πόλεως, "Οἴμοι" λέγοντες, "ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, ὅτι ἐξέλιπεν ὁ σοφὸς ἐν ἀρχιερεῦσιν, ὁ σοφίαν γνοὺς καὶ παιδείαν καὶ νοήσας λόγους φρονήσεως, δέξασθαί τε στροφὰς λόγων καὶ κρῖμα κατευθῦναι δυνάμενος καὶ (τοῦτο δὴ τὸ τοῦ ἀποστόλου) εἰς θεὸν αἰχμαλωτίζειν ἅπαν νόημα δεξιώτατα, ὁ σεμνὰ λέγων κατὰ τὸ γεγραμμένον καὶ ἀνοίγων ἀπὸ χειλέων ὀρθά, ⟨οἷς⟩ ὁ ⟨τῷ⟩ θεῷ φίλος χαρακτηρίζεται.

4. Ἡ δὲ καθ' ἡμᾶς ἀδελφότης ὀρφανίαν ἄντικρυς ἀποδύρεται καὶ ἵσταταί σοι ἄλλος ἄλλοις ἀγαθῶν ἀφηγούμενος, ὧν αὐτοῖς παρεῖχες ἑκάστοτε, τὰ μὲν ⟨διὰ⟩ τοῦ ἀδελφοῦ λογοθέτου, ὃν τῷ χαρίσματι θεὸς τῆς ἀντιλήψεως ἐχαρίτωσε, τὰ δὲ πολλὰ καὶ δι' ἑαυτοῦ τὰς οἰκείας χεῖρας τούτοις ἁπλῶν καὶ ὧν ἄν τις χρῄζει μεταδιδούς. οὐκ ἦν ἐπιὸν πάθος, ὃ μὴ διὰ σοῦ τὴν θεραπείαν ἐλάμβανεν· ἢ γὰρ τῆς ἐκ τῶν λόγων ἔχρῃζε παρακλήσεως καὶ ἤρκει σοι τὸ ῥεῦμα τῆς γλώττης ὑποσῦραι τοῦ κακοῦ τὴν ἐπήρειαν ἢ λαβεῖν ἐδεῖτό τε καὶ παραμυθήσασθαι ἔνδειαν καὶ ταχὺν εὗρισκέ σε δότην καὶ ἱλαρώτατον. ὦ πόσους ἔθρεψας τῶν ἀρχιερέων, οἷς οὐκ αὐτάρκη τὰ βρώματα, πόσοις ἐβάρυνας χρυσίῳ τὰς χεῖρας, πόσοις παρέσχες ἐνδύματα, "Ἐνδύσασθέ μοι" λέγων "οἱ ἱερεῖς, ἅπερ ἀπὸ δικαίων πόρων ἔχω κτησάμενος". ἀλλ' εἴχέ τις εἰπεῖν πρὸς τὸν βασιλέα καὶ τὸν βασιλικὸν ὑπὲρ τῆς Ἐκκλησίας ἔλεον ἐκκαλέσασθαι· ἤρκει τῷ ὑπερτίμῳ γνωρίσαι τοῦτο καὶ τοῦ λοιποῦ φροντίδων ἀπήλλακτο· εὐθὺς γὰρ ἐζήτεις τὸν λογοθέτην καὶ προσιὼν μετὰ τοῦ συνήθους ἐκείνου βλέμματός τε καὶ σχήματος καὶ τῆς ἐπικοσμούσης αἰδοῦς, ἧς τε εἶχεν ἐπικαθημένης πειθοῦς τοῖς χείλεσιν, ἀπήγγελλες αὐτῷ τὰ πρὸς χρείαν καὶ ἦν ὁ ἀδελφός σοι πειθήνιος. πῶς δὲ οὐκ ἔμελλεν ὁ ταχὺς αὐτόθεν εἰς οἶκτον καὶ πρὸς ἀντίληψιν ἑτοιμότατος ὑπ' ἀδελφοῦ τοιούτου παρακαλούμενος; καὶ ὅπερ εἶναι λέγεται τὸν ἀρχιερέα μεσίτην τῶν ἀνθρώπων καὶ τοῦ θεοῦ, τοῦτο κἀνταῦθα παρεδείκνυς ὁ ἀληθὴς ἀρχιερεὺς τοῦ θεοῦ· ἐλάλεις πρὸς τὸν ἀδελφὸν ὡς Ἀαρὼν πρὸς Μωϋσῆν τὸν ὑποφήτην θεοῦ, ὁ

7 ὅτι — γῆς] πρβλ. Μιχ. ζ', 2. 8/11 σοφίαν — κατευθῦναι] Παρ. α', 2—3 || εἰς θεὸν — νόημα] πρβλ. Ῥωμ. 2, ι', 5. 11 σεμνὰ — ὀρθὰ] πρβλ. Παρ. η', 6. 12 ⟨οἷς⟩ ὁ ⟨τῷ⟩] δύο τόποι διάτρητοι. 15 ⟨διὰ⟩] προσθετέον τοῦτο ὧδε, ἵνα συμφωνῇ τῷ κατόπιν δ ι' ἑ α υ τ ο ῦ.

22 κ ῶ δ. ἐνδύσασθαι. 28 ἀπήγγειλες.

δὲ ἀνῆγε πρὸς τὸν καθ' ἡμᾶς θεόν, τὸν αὐτοκράτορα, τὰ λεγόμενα καὶ αὖθις διὰ σοῦ τοῖς ἀνθρώποις τὰ τοῦ αὐτοκράτορος ἐχρημάτιζε.

5. Τί δὲ ἀλλὰ πρὸς ἀρχιερεῖς σοι ταῦτα μόνον, ἀλλ' οὐχὶ καὶ πρὸς μοναχοὺς καὶ μιγάδας καὶ πᾶσαν τύχην τοῦ πολιτεύματος; βαβαὶ πόσοις ὀργὴν βασιλικὴν διὰ τοῦ ἀδελφοῦ κατεστόρεσας, πόσοις ἤνοιξας τὰ σπλάγχνα τοῦ βασιλέως κατὰ καιρὸν κλειόμενά τε καὶ ἀνοιγόμενα. καὶ φόνου μὲν τίνας οὐκ ἐρρύσω κατὰ τὸν ὁμωνυμοῦντά σοι μέγαν θύτην ἐκεῖνον, τῆς Μυρέων τὸ καύχημα, ὅτι μὴ βασιλέα φονῶντα πλουτοῦμεν καὶ πρὸς ὀργὴν ἀπαραίτητον; κόρας δὲ πολλάς, δυστυχούντων τέκνα πατέρων, κατ' ἐκεῖνον ἐνυμφαγώγησας ἐκ τῶν θυρίδων τοῦ βασιλικοῦ ταμείου τὸν χρυσὸν ἐξακοντίσας τοῖς χρῄζουσι. κοινὸς ἄρα ἦσθα λιμὴν τοῖς τὸ πλατὺ τοῦ βίου πέλαγος διαπλέουσι, κοινὸς τοῖς ναυαγοῦσι φρυκτήρ, κοινὸν τοῖς ξύμπασι παραμύθιον. χηρῶν δὲ προστάτης καὶ ὀρφανῶν τίς οὕτω κατὰ τὸν μέγαν Ἀθηνῶν ἐχρημάτισεν, ὃν πάλαι καὶ τοῖς τοῦ θεοῦ βουλήμασιν ὑπηρετούμενος βασιλεὺς καλῶς ἄρα καὶ δικαίως τοῦ τῶν ὀρφανῶν προὐστήσατο τάγματος; ἐξ ἐκείνου γοῦν ἐννοήσας οἷον καλὸν ὀρφανῶν προστασία καὶ πενομένων προμήθεια μετεβίβασε τὴν κλῆσιν εἰς ἔργον καὶ τὴν ἐπωνυμίαν ἤγαγεν εἰς ἀλήθειαν, κάλλιον εἶναι φάμενος ὀρφανοτρόφον εἶναι ἢ λέγεσθαι, κρεῖττον ἔχων τὸ (ἐκ) πραγμάτων καὶ μὴ ἐκ τῆς ἀξίας παρωνυμίζεσθαι. πολλούς, εὖ οἶδα, τῶν παρεστώτων οἱ λόγοι μάρτυρας ἔχουσιν, οὓς καὶ εἶδον θρηνοῦντας καὶ θαλερὸν τὸ δάκρυον ἀκοντίζοντας καὶ μακρὸν ἤκουσα ποιουμένους τῶν εὐεργεσιῶν τὸν κατάλογον· συνελόντα γὰρ εἰπεῖν ἢ εὖ τις ἔπαθεν ὑπ' αὐτοῦ ἢ εὖ ἤκουσεν ἢ ὑπερλίαν ἐφιλήθη καὶ ταῖς διφθέραις τῆς ψυχῆς ἐγκατῴκισται.

6. Ὦ καρδίας πλάτος πάντας χωροῦν καὶ δεχόμενον· ὦ ψυχῆς γλυκύτης εἰς πάντα φθάνουσα καὶ μὴ τῷ συνεχεῖ τῆς μεταδόσεως ἐπιλείπουσα· ὦ μάννα θεῖον σήμερον κενούμενον καὶ αὔριον πληθυνόμενον· ὦ ποταμὸς ἀγάπης εἰς πολλὰ σχηματιζόμενός τε καὶ μεριζόμενος καὶ πλήθων πάλιν τοῖς ῥεύμασιν· ὦ ἄνθρωπος ἀποστολικός, ὦ τοῦ Εὐαγγελίου μαθητὴς καὶ διδάσκαλος· οὐ γὰρ τοὺς ἀγαπῶντας μόνον, ἀλλὰ καὶ τοὺς μισοῦντας ἠγάπησεν, εἰ καί που τέως ἦσαν οὗτοί τινες. οὕτως ἀπεῖχε τοῦ λυπῆσαί τινα, ὥστε καὶ τὸν δυσμεναίνοντα κατεμάλθασσε καὶ τῷ προσηνεῖ τοῦ ἤθους καὶ μειλιχίῳ καὶ τῇ τοῦ στόματος μελιχρότητι πλέον ἢ τοῖς κρούμασιν Ὀρφεὺς καταθέλγων εἰς ἀγάπην παρεβιάζετο· τῦφον δὲ καὶ ἀλαζονείαν οὐδ' εἴπερ

6 κλειόμενα] κ ῶ δ. λεγόμενα. 17 κάλλιον B, κ ῶ δ. καλλόν. 18 (ἐκ)] ἡμ. προσθήκη, B ἀπὸ· ἀλλ' ἴδε αὐτόθι: τὸ (ἐκ) . . . καὶ μὴ ἐκ τῆς ἀξίας. 29 μισ. ἠγάπησεν] πρβλ. Ματθ. ε', 44. 32 πλέον] κ ῶ δ. πλεῖν.

7 κ ῶ δ. ἐρύσω. 6 μέν τινας 8 φονοῦντα. 22 ὑπὲρ λίαν. 31 κατεμάλθασε.

ἣν ἐξηπίστατο· ὃν οὐδὲ προσειπεῖν τις ἔφθασε πρότερον, οὐδὲ κλῖναι πλέον τὴν κεφαλήν, ταῦτα δὴ τὰ τῆς καλῆς χαρακτηρίσματα ταπεινώ(σεως), καὶ ταῦτα τοσοῦτον περικείμενον ὄγκον ἀξιωμάτων καὶ τοσαύτῃ δόξῃ περιστρεφόμενον, τὰ πρῶτα φέροντα τῆς συγ(κ)λήτου καὶ τῆς συνόδου τὰ τιμιώτερα. τίς ἤκουσε τὸν ὑπέρτιμον καὶ οὐκ ἐσεβάσθη καὶ πρὸ τοῦ βλέμματος; τίς τὸν Ἀθηνῶν ἐθεάσατο καὶ οὐχ ὑπεξέστη θώκου καὶ πόρρωθεν; εἰ μὲν γὰρ τοῖς ἔξωθέν τις προσεῖχεν, ἀπὸ τῶν ἔξωθεν ἐξεπλήττετο· εἰ δὲ παρακύπτειν εἰς τὰ ἔνδον ἠπίστατο, τὰς ἀρετὰς κατενόει καὶ διὰ ταύτας ἐθαύμαζεν. ἡττᾶτο δὲ ἄρα τοῦ ἀνδρὸς ὥσπερ τῦφος οὕτω καὶ γαστρὸς ἡδονὴ καὶ φλεγμαίνουσα τοῖς βρώμασι τράπεζα· οὐ γὰρ ἠνείχετο τρυφᾶν ἄλλων πεινώντων τὴν ἐντολὴν εὐλαβούμενος καὶ τὸ "φαγεῖν οὐκ ἐδώκατέ μοι" καὶ τὴν ἐντεῦθεν ἀπόφασιν. οὐκ ἤθελε τὴν γαστέρα παχύνειν, ὡς ἂν ὁ νοῦς ἐκλεπτύνοιτο καὶ ἀναβαίνειν ἔχοι ῥᾳδίως καὶ πρὸς τὸν ἄνω δρόμον ὑπερελαφρίζοιτο. ἐντεῦθεν ἀσιτίαι καὶ ἀγρυπνίαι καὶ πρὸς θεὸν ὕμνοι παννύχιοι, ἡ κατὰ γῆς στρωμνὴ καὶ ὁ τάπης, ταῦτα δὴ τὰ νύκτερα καὶ λανθάνοντα· ἐντεῦθεν ἡ κατὰ θεὸν φιλοσοφία καὶ ἡ δι' ἐγκρατείας τῆς ψυχῆς κάθαρσις καὶ ἡ πρὸς θεὸν ἀνάτασις ἢ ἀνάβασις.

7. Ἡ δὲ τῶν λόγων χάρις ὁποία καὶ πόσα τὰ τῆς σοφίας γνωρίσματα; ῥητορικὴ κατορθουμένη πρὸς ἄκρον καὶ ἐπὶ τὸν σοφιστικὸν ἐντεῦθεν θρόνον ἀνάγουσα, φιλοσοφία καὶ Ἀριστοτέλεις καὶ Πλάτωνες καὶ φύσις πολυπραγμονουμένη καὶ οὐρανὸς ἐρευνώμενος καὶ ἐπὶ τούτοις τὰ ἡμέτερα καὶ θειότερα, δι' ὧν τὸ ἐκεῖθεν ἁλμυρὸν ἀποκλύζεται ῥεῦμα καὶ εἰς τὸ γλυκερὸν καὶ πότιμον μεταβάλλεται. ἐγώ σε καὶ μετὰ ῥητόρων ἤνεσα καὶ μετὰ φιλοσόφων ἐθαύμασα· καὶ μετὰ τούτων γὰρ ἐθεώρεις καὶ σὺν ἐκείνοις ἐπανηγύριζες· συνῆπτες τῇ τῶν συλλογισμῶν πειθανάγκῃ τὴν ἐκ ῥητορικῆς πιθανότητα καὶ ὑπῆρχες τὰ ἐς λόγους ἀήττητος. ὦ πῶς τοὺς βασιλικοὺς ἐξύμνεις ἄθλους ὁ ῥήτωρ καὶ τὰ ἀνάκτορα περιήχεις καὶ κατεμελίτους τὸν σύλλογον. ἔτι μοι τὰ τοῦ μέλους ἔναυλα τάχα καὶ περικνῶμαι τὰ ὦτα καὶ πρὸς τὴν μνήμην οἷον ἀναπτερύσσομαι· οὐδὲ τῶν κρότων ἐλαθόμην, οὓς σοι τὸ γερούσιον ἐχαρίζετο. εἶδόν σε καὶ τοῖς ἐκ τῶν ἐθνῶν ἐπιστρέφουσι τὰ σωτηριώδη πάλαι δόγματα προτιθέμενον· ἐβάστασας γὰρ καὶ σὺ τὸ τοῦ κυρίου ὄνομα μετὰ Παύλου καὶ τῶν ἐθνῶν διδάσκαλος ἐχρημάτισας. ὦ λαμυρᾶς γλώττης ἐκείνης, ἣ καὶ βάρβαρα κατέθελγεν· ὦ πειθοῦς καὶ λόγων ἰσχύ-

1 ἐξηπίστατο] κ ῶ δ. ἐξεπίστατο. 2 ταπεινώ(σεως)] τόπος ἐφθαρμένος. 5 τὸν] κ ῶ δ. τῶν. ἀθ. 8 ἠπίστατο] κ ῶ δ. ὑπίστατο. 11 Ματθ. κε', 42. 13 ὑπερελαφρίζοιτο] κ ῶ δ. ὑπερλαφρίζοιτο. 27 κατεμελίτους] κ ῶ δ. κατεμελίττας. 32 Παύλου] πρβλ. Πράξ. θ', 15.

ος, ὑφ' ὧν καὶ ὄρη κατὰ τὸν τοῦ κυρίου λόγον μετεκινοῦντο καὶ μετετίθεντο, τὰ ἐπηρμένα ἔθνη δηλαδὴ καὶ ὑψηλοκάρδια, πρὸς τὴν τῆς ἀληθοῦς ἐπίγνωσιν πίστεως. ἐντεῦθεν ἄθλόν σοι τῆς σοφίας Ἀθῆναι, τὸ τῆς σοφίας ἀνάκτορον, καὶ διαδέχεταί σου τὸν σοφιστικὸν θῶκον ὁ τῆς ἀρχιερωσύνης θρόνος ὁ ὑψηλότατος.

8. Τὰ δὲ ἑξῆς αὐτοὶ λεγέτωσαν Ἀθηναῖοι, πόσον μὲν αὐτοῖς καὶ ποσάκις φόρου φόρον ἠλάφρυνας, πόσον ῥεῦμα πρακτορικῆς ἀπληστίας αὐτοῖς ἀνέστειλας, πόσας κῆρας ἑτέρας ὁ ἀλεξίκακος ἀπεσόβησας, αὐτὸς ἔμψυχος γεγονὼς Ἐλέου βωμὸς Ἀθήνῃσι· καὶ εἰς γόνυ λυθεῖσαν τὴν πάλαι μακαρίαν πόλιν ἀνέστησας, ἐλευθεροῦν τὰς Ἀθήνας καὶ νῦν ὥσπερ ἀκούσας πάλαι τῆς Πυθίας χρησμῴδημα. τὴν δὲ πάλαι μὲν ἀκρόπολιν, νῦν δὲ τῶν Ἀθηναίων μητρόπολιν ὧ μετὰ πόσους τοὺς ἐκεῖσε προεδρεύσαντας ἐμεγάλυνας, ἄλλους τε ἀνήγειρας οἴκους κάλλος καὶ μέγεθος ἔχοντας καὶ δὴ καὶ τὸν παρθενικὸν θεῖον δόμον, τὸ περιφανὲς τῆς βασιλείας ἀνάκτορον, ὅσον εἶχες ἐξασκήσας εἰς κάλλος καὶ πολλῷ χρυσίῳ δείξας μαρμαίροντα, ὡς ἂν εἴησαν τῇ καθαρωτάτῃ παρθένῳ καὶ ναὸς καὶ θύτης ὑπέρλαμπροι. ὦ θεία ὄντως ἐκείνη ψῆφος ἡ σοὶ τὰς Ἀθήνας ἐπικληρώσασα· σὲ γὰρ ἐχρῆν, οἶμαι, ταύτης καὶ οὐκ ἄλλον τότε λαχεῖν, ἵνα μετὰ Δημοσθένην τὸν ῥήτορα ῥήτωρ πάλιν περιλαλῇ καὶ περικροτῇ τὰς Ἀθήνας οὐδὲν τοῦ Δημοσθένους λειπόμενος, ἵνα μετὰ Παῦλον τὸν ἐθνῶν καὶ κήρυκα καὶ διδάσκαλον ἐθνῶν ὁ διδάσκαλος αὖθις ἐπὶ τὸν τοῦ Ἀρείου πάγον καθίσῃ καὶ τὰ σοφὰ λαλήσειε καὶ ξενίζοντα· τὸ δὲ δὴ μεῖζον καὶ λόγου πλείονος ἄξιον, ἵνα τὸν ἁγνὸν νυμφίον καὶ θύτην ἡ ὑπέραγνος νύμφη καὶ θεοῦ μήτηρ κληρώσηται, ἔχ⟨ῃ⟩ τε τοῦτον καὶ καθαραῖς χερσὶν αὐτῇ προσάγοντα τὸ θυμίαμα καὶ χείλεσιν ἀρρυπάροις τὸν παννύχιον ὕμνον, ὃν ἐντεῦθεν ἤσκησε, προσεπᾴδοντα.

9. Ἀλλὰ γάρ, οἶμοι, καὶ πάλιν θρηνεῖν οἱ λόγοι βιάζονται καὶ εἰς μνήμην ἐλθόντες τῶν τοῦ κειμένου τηλικούτων καλῶν ἀδακρυτὶ παραδραμεῖν οὐκ ἐθέλουσιν. ὦ οἷον ἀγαθὸν ἀπερρύη, πηλίκον χρῆμα παροίχεται, οἷον μέμυκε στόμα, ποία γλῶσσα σεσίγηκεν, οἷος αἰθέριος ἠπράκτησε νοῦς, οἷαι χεῖρες ἐνάρκησαν, αἱ κατὰ ποταμὸν τὸν ἔλεον ῥέουσαι. οἰκτρὸν καὶ πόδες ἀκινητίζοντες, οἷς χθὲς ὁ δρόμος τοῦ εὐαγγελίου τῆς εἰρήνης συντονώτερον ἀπετείνετο, ὡς ἄρα πάντα τὰ κάλλιστα δι' ἑνὸς ἀνήρπασται σώματος. καὶ κωφεύσει μὲν πάντως τὰ τῆς συνόδου, σκυθρωπάσει δὲ μετὰ τοῦ βασι-

1 κυρίου λόγον] πρβλ. Ματθ. ιζ', 20, κα', 21. Μάρκ. ια', 23. 7 ἠλάφρυνας] κ ῶ δ. ἐλάφρυνας. 8 λυθεῖσαν] κ ῶ δ. λιθεῖσαν. 9 πόλιν] κ ῶ δ. πάλιν. 10 ἐλευθεροῦν τὰς] κ ῶ δ. ἐλευθεροῦντας. 10/11 πάλαι] κ ῶ δ. πάλα. 11 πάλαι] κ ῶ δ. πάλιν. 13 ἀνήγειρας] κ ῶ δ. ἀνέγειρας.

8 κ ῶ δ. κεῖρας. 24 ἀρυπάροις.

λέως καὶ τὰ βασίλεια καὶ τὸ βῆμα στενάξει διὰ τὸν ἀληθῶς τοῦ βήματος ἄξιον. Ἀθῆναι, μηκέτι χρυσαῖ καλεῖσθε· τὸν γὰρ ὄλβον τὸν πολύτιμον ἀπωλέσατε καὶ νῦν ὁ θησαυρὸς ὑμῶν ἄνθρακες, ἐξ ὧν καὶ τὸ τοῦ πένθους πῦρ ὑπανάπτεται· μηκέτι ἐπὶ τῷ μελισταγεῖ τοῦ Ὑμηττοῦ μεγαλαυχεῖτε κρουνῷ· ἰδοὺ πικρίαν κοσμικὴν ἀποβλύζετε. ὡς δυστυχῆ τὴν ἡμέραν ἐκείνην εἶδεν ὁ ἥλιος, ἐν ᾗ τὸν πρὸς Ἀθήνας ἤψατο δρόμον ἡμῖν τὰ ἔσχατα συνταξάμενος· οὐχ ἥλιος δὲ ἄρα μόνον, ἀλλὰ καὶ ὁ σοφὸς ἡμῶν αὐτοκράτωρ τὸ τῆς ἀποδημίας δυστυχὲς κατενόησε καὶ τάχα μὲν ἐπέσχεν αὐτῷ τὸν δρόμον, ἀλλὰ τὸ τῆς γνώμης οὐκ ἐκώλυσε πρόθυμον (ἦσαν γὰρ τὰ τῶν Μοιρῶν ἰσχυρότερα καὶ μὴ πεσεῖν ἀμήχανον πάντως τὸν ὁρισθέντα πεσεῖν), ὅθεν καὶ νικήσας ἡττήθη καὶ περιγενόμενος πέπτωκεν. ἥψατο μὲν καὶ πάλιν τὸν δρόμον, ἀλλ' ἠγνόει τὸν θάνατον· ἅμα γὰρ Ἀθηνῶν ἐπέβη καὶ ἅμα ᾤχετο, καὶ θάνατος ἦν αὐτῷ τοῦ δρόμου τὸ τέλος καὶ θρηνώδη μέλη καὶ δάκρυα.

10. Ἀλλ' ἕως πότε θρῆνοι καὶ δάκρυα; μέχρι τίνος κλαύσομεν καὶ κοψόμεθα τὸν ἔξω θρήνων γενόμενον; οὐ προσήκει θρῆνος τοῖς ἄνω τόποις, οὐ δακρύων ἄξιος ὁ παράδεισος· ἢ οὐ σκηναὶ θεῖαι φέρουσι τοῦτον, οὐχ ὁ θεῖος ἔχει παράδεισος; ἐδάκρυσεν ἐκεῖνος πολλάκις, ἀλλ' ἀπονίπτων ἑαυτὸν τοῦ μολύσματος, ὅπερ ἡμῖν προὐξένησεν ἡ παράβασις· πολλάκις ἐστέναξεν, ἀλλὰ μετὰ πλάνου βίου καὶ τῆς φθορᾶς καὶ τῶν ὅσοι τούτοις ἐνίσχονται. ἂν οὕτω καὶ σὺ δακρύῃς, ὦ κλεινὲ λογοθέτα, τάχα καὶ ἀποδέξεταί σου τὸ δάκρυον· εἰ δ' ὡς ἐπὶ νεκρῷ κλαυθμυρίζῃ τῷ ἀδελφῷ, ἀλλ' οὔτε νεκρὸς ἐκεῖνος, οὔτε σοῦ τὸν κλαυθμὸν ἀποδέξεται. ἐν δεινῷ τίθης τὴν ἐκδημίαν καί σοι δίχα τοῦ ὑπερτίμου τὸ βιοῦν οὐ βιώσιμον. τί δέ, εἰπέ μοι, ζῆν ἀεὶ τοῦτον δικαιοῖς ὡς ἀθάνατον; οὐκ ἔστι μὴ παρέρχεσθαι τὸ γενόμενον μηδὲ τὸ θᾶλλον μαραίνεσθαι. ἦν σοι καὶ ἄλλος ἀδελφὸς ἠδύ τι χρῆμα καὶ κάλλιστον, θρέμμα ἄνθος, νεότητος, φρονήσεως ἄγαλμα, λόγων μέλημα, ἀλλὰ παρῴχετό σοι κἀκεῖνος τοῖς θεσμοῖς δουλεύσας τῆς φύσεως. γλυκύ τι θέαμα καὶ ἥλιος ἐξανίσχων, ἀλλὰ δύνει καὶ οἴχεται· ἠδὺ μετ' ἐκεῖνον σελήνη, ἀλλὰ μικρὸν ὁρᾶται καὶ δύεται. τίς Σολομῶντος σοφώτερος; ἀλλ' οὐδὲν ἡ σοφία πρὸς τὸ μὴ παρελθεῖν αὐτῷ συνετέλεσεν· παρῆλθε καὶ Δαυὶδ ὁ μέγας μετὰ τοῦ ἐπὶ τῇ πραότητι θαύματος. Ἱερεμίας ὁ ἐκ μήτρας ἡγιασμένος μόνον ἐκ βίβλου γνωρίζεται. τί ἂν τοὺς ἐπ' ἀνδρείᾳ λάμψαντας καταλέγοιμι; οἴχεται καὶ ῥώμη μετὰ τοῦ ταύτην φέροντος σώματος, ὁ κάλλει σεμνὸς ὑπορρέει καὶ ὁ λαμπρὸς τὴν τύχην παρέρχεται. μὴ δῆτα γοῦν σοι πενθητέον διὰ

2 καλεῖσθε] κ ῶ δ. καλεῖσθαι. 4 Ὑμηττοῦ μεγαλαυχεῖτε] κ ῶ δ. ὑμμηττοῦ μεγαλαυχεῖται. 6 τοῖς πρὸς] κ ῶ δ. τῶν πρὸς. 11 τὸν δρόμον] κ ῶ δ. τῶν δρόμων. 12 ἐπέβη] κ ῶ δ. ὑπέβη. 15 θρήνων] κ ῶ δ. θρῆνον. 29 δύεται] κ ῶ δ. λύεται.

τὰς ἀρετὰς τὸν ὑπέρτιμον· ἄφες παρενοχλεῖν αὐτῷ διὰ τοῦ πένθους καὶ τὴν ἀσχολίαν ἐπιταράττειν· θεῷ γὰρ προσανέχει καὶ ἐντυγχάνει πάντως ὑπὲρ σοῦ τὰ λῴονα ἐξαιτούμενος.

6.

Τοῦ αὐτοῦ λόγος εἰς τὸν αὐτοκράτορα κύριον Μανουὴλ τὸν Κομνηνόν, ἐκφωνηθεὶς ὅτε εἰσῆλθεν εἰς Κωνσταντινούπολιν ὁ σουλτᾶνος προσελθὼν αὐτῷ.

1. Εὖγε, ὦ βασιλεῦ, ἀνέπαυσάς μου τοὺς λόγους ἐπὶ μακρόν σε διώκοντας· εὖγε ὅτι ποτὲ τῶν μακρῶν πόνων ἔστης καὶ τῶν ἐπὶ τοὺς Βαρβάρους ἐκδρομῶν ἐπὶ μικρὸν ἔληξας, ἵνα σε καὶ ἡμεῖς οἱ ἐπήλυδες ἐπὶ βραχὺ προσβλέψωμέν τε καὶ προσφθεγξώμεθα· ἐκ πολλοῦ γάρ σου τῆς τῶν τροπαίων δόξης ἐρῶντες, ὦ τῶν πώποτε βασιλέων στρατηγικώτατε, καὶ τούτοις κοσμῆσαι τοὺς ἐμοὺς λόγους ἐθέλων οὐχ ἧττον ἢ ὁρμίσκοις τε καὶ ⟨πε⟩ριδεραίοις καὶ τῇ λοιπῇ τοῦ χρυσοῦ φιλοτιμίᾳ, ⟨ᾗ⟩ τὰ σώματα κοσμοῦσιν οἱ φιλοσώματοι, ἐκ πολλοῦ σε μάχης ἐκτὸς καὶ πολέμων εὑρέσθαι ζητῶν καὶ μικρὸν ἠρεμοῦντα τῶν πόνων καὶ τῆς κατ' ἐχθρῶν ῥύμης ἱστάμενον, ἵνα σε κἂν ὡς ἀριστέα προσείπω καὶ τὰς ἀριστουργοὺς χεῖρας καταφιλήσω σου, οὐδέπω μέχρι καὶ δεῦρο τοὺς ἐμοὺς ἐδυνήθην τούτους ἔρωτας ἀναπλῆσαι, οὐδὲ ἀνέμεινάς μέ ποτε τὴν γλῶτταν ἤδη κινοῦντα καὶ τὰ χείλη διαίροντα καὶ φωνὴν ἆραι καὶ λόγον ἐξενεγκεῖν σοι ῥητορικὸν συστήσαθαι θέατρον. ἀλλ' ἐγὼ μὲν ἐκινούμην πρὸς λόγους, σὺ δὲ πρὸς μάχας ἀπέτρεχες, ἐγὼ τῇ χειρὶ τὸν γραφέα κατεῖχον δόνακα, σὺ δὲ τὸ δόρυ πάλλων ἐκράδαινες, ἐγὼ τὴν γλῶτταν τοῖς σοῖς ἐπαίνοις ἠκόνουν καὶ σὺ τὴν σπάθην τοῖς ἐχθροῖς ἔθηγες, ἐγώ σοι τὸν ἐπεισόδιον ἐμελέτων, σὺ δὲ τὸν συντακτήριον προὔφθανες. ἐθάρρησά ποτε τῷ τάχει τοῦ λόγου καί σε φεύγοντα λοιπὸν ἐδίωκον, ἀλλ' εἶχες ἄρα καὶ τοὺς λόγους ἐλέγχειν καλουμένους μάτην πτερόεντας. καὶ σὲ μὲν εἶχεν ἄλλοτε ἄλλος χῶρος τῶν ἀντιπάλων πυκνὰ καὶ θαμινὰ μεταπίπτοντα καὶ ἀγῶνες διεδέχοντο μετὰ τοὺς ἀγῶνας καὶ πόλεμοι μετὰ τοὺς πολέμους μηδ' ἀποψῆσαι τοὺς ἱδρῶτας γοῦν περιμένοντα· ἔμενον δὲ παρ' ἡμῖν ὥσπερ ἀκτῖνες πάλιν οἱ λόγοι τοῦ σοῦ τάχους ἀπολειπόμενοι.

2. Νῦν δὲ ἀλλ' ἐπειδή σε τῆς αὐλῆς ἔνδον ἔχω τῶν βασιλείων, τὸν ἀεὶ τὴν οἰκουμένην περιόντα καὶ πλέον ἢ ὁ τοῦ Διὸς Ἡρακλῆς τῶν ληστηρίων ταύτην ἀνακαθαίροντα, ἐπεί σε ὑπὸ στέγην ὁρῶ τὸν ὕπαιθρον ἀεὶ καὶ καύ-

4 Κώδ. φ. 100ᵃ—106ᵇ καὶ 108. 11 προσβλέψωμεν] κ ῶ δ. προβλέψωμέν. 13 ⟨πε⟩ριδεραίοις] συμπλ. διατρ. τόπου. 14 ⟨ᾗ⟩] ἡμετ. ποσθήκη. 17 ἀριστουργοὺς] κ ῶ δ. ἀριστρουργούς. 26 λόγους — πτερόεντας] πρβλ. Ἰλ. Χ, 377. Ψ, 535. Ὀδ. δ, 189. 349. 27 μεταπίπτοντα] κ ῶ δ. μεταπίπτοντας

σωνι καὶ ψύχει διαμιλλώμενον καὶ ἠλλάξω τῆς μικρᾶς καλύβης τὸν μέγαν τῆς ἀρχῆς ὄγκον καὶ τῆς κατὰ γῆς στιβάδος τὴν βασιλικὴν κλίνην καὶ γνωρίζει σου τὸ κράτος οὐ τὸ πέδιλον μόνον, ἀλλὰ καὶ ὁ θρόνος καὶ ἡ τιάρα καὶ τὸ περιμάργαρον ἔσθημα καὶ ὁ σεμνὸς κύκλος οὗτος καὶ ἡ σὴ πόλις αὕτη ξύμπασα πᾶρισκαίρουσα· ἐπεὶ μετὰ τοὺς ἁπανταχοῦ τῆς οἰκουμένης σου δρόμους ἄρτι καὶ τὸν δυτικὸν ὁρίζοντα παραμείψας ὁ ἡμεδαπὸς ἥλιος φαιδροτέρας ὅτι μᾶλλον καὶ θερμοτέρας τὰς ἀκτῖνας ὑπανίσχεις ἡμῖν καὶ φθόνος οὐδεὶς ὑπανεῖναί σου τῇ θέρμῃ τὸ τοῦ λόγου πτερόν, ὡς ἐντεῦθεν ἱκανῶς ἀναζωπυρηθέντες γεγωνότερόν τι κατὰ τοὺς θερινοὺς τέττιγας μουσικεύσασθαι, φέρε περιλαλήσωμέν σε τὸν βασιλέα καὶ τῶν σῶν τροπαίων κατατρυφήσωμεν. ἀλλ' ἐκεῖνό σοι, βασιλεῦ, πρὸ τῶν σῶν ἀνδραγαθημάτων, ἐκεῖνο μή μοι μεταξὺ τῶν λόγων ἀναπηδήσῃς ὀνόματος ἀκούσας Βαρβάρων, μηδὲ μνήμη σε πολέμου διαναστήσῃ τοῦ θρόνου καὶ κενωθῇ μοι τὸ θέατρον. ἀλλ' ἐπειδή σου νῦν ἐλαβόμην τῷ τέως καὶ παρέστηκέ σοι ῥήτωρ, ὃν ἀκοή σοι μόνον ἐγνώρισε, φέρε δῶμεν ἑαυτοὺς ἀλλήλοις καὶ σὺ μέν μου τὴν φωνήν, εἰ βούλει, περιεργάζου, εἰ μὴ τὸν Ἰακὼβ ὑποκρίνεται· πολυπραγμόνει τὰ τῶν λόγων ἱμάτια, μὴ τὸν λαμπρὸν νυμφῶνά σου καταισχύνωσι, καὶ εἰ τολμηρὸς ὁ λόγος, ἂν ὁ πηλὸς τῷ κεραμεῖ δικάζομαι. λαλῶ δὲ τὸ πλάσμα τῷ πλάσαντι· "Διατί με οὕτως ἐποίησας μὴ τῷ σοφῷ προφήτῃ πειθόμενος; γνῶθι νῦν, εἰ δικαίως μέχρι μοι καὶ ἐς δεῦρο τὸ σὸν ἐκέκλειστο παστοφόριον καὶ ἔμεινά σου τοῦ καλοῦ νυμφῶνος ἐκτός, καὶ ταῦτα μηδὲ τὴν ἐπὶ τὸ δεῖπνον κλῆσιν παραιτησάμενος". σὺ μὲν ταῦτα περὶ ἐμὲ καὶ δέχοιό μου τοὺς ἁπαλοὺς τούτους ἐρίφους, οὓς οὐ λαβὼν ἐκ τῆς μάνδρας ἀλλὰ θηρεύσας πόνῳ κομίζω σοι καὶ βρῶμα τούτους ποιήσαις μέχρι καὶ ἐς καρδίαν σοι καταβαίνοντας καὶ μετὰ ταῦτα εὐλογήσαις δὴ καὶ ἡμᾶς, εἴ πού σοι εὐλογία τις περιλέλειπται. ἐγὼ δὲ τὸ εἰς ἐμέ σοι λεῖψαν ἀναπληρώσω καὶ περιεργάσομαί σου τὰς χεῖρας, ἂν ἔτι στάζωσιν αἵματος, ἐξετάσω σου καὶ τοὺς πόδας καί σου φιλοκρινήσω τὸ πέδιλον· εἰ μὴ ἄρα βαρβαρικοῖς αἵμασι στίλβει πεφοινιγμένον, ἀλλὰ τοῦ κράτους ἐστὶ παράσημον. πρὸ δὲ δὴ τούτων λαβόμενός σου τῶν ὤτων ὀχλοκοπήσω ταῦτα τοῖς λόγοις, ἵν' εἰδῶ πῶς ἄρα καὶ ὁ ῥητορικὸς κώδων ἀναπτεροῖ σε· καὶ μὴ μόνον ταῦτα, πρ(οσ)ιόντων δοῦπον ἀνορθιάζεις καὶ πρὸς ἠχὴν ἐγείρεις τὴν ἐνυάλιον, μηδὲ περὶ μάχας μόνον ἔχεις καὶ τοὺς πολέμους, ἀλλ' Ἑρμῇ θύεις, ὡς ⟨ἂν οὕτω⟩ φάναι, καὶ Ἄρεϊ· λόγους μὲν γὰρ ἐγὼ καὶ ἄλλους ἐγεννησάμην καί σοί γε χάριν τούτους προήνεγκα, ἀλλὰ τεκὼν μόνον

6 τὸν] κ ῶ δ. τὸ. 11 ἐκεινό σοι] κ ῶ δ. ἐκεῖνος σοι. 18 ἂν ὁ πηλὸς τῷ κεραμεῖ] πρβλ. Σειρ. κζ', 5. Ἡσ. μα', 25. με', 9. Ἱερ. ιη', 6. ‖ τὸ πλάσμα τῷ πλάσαντι] πρβλ. Ἡσ. κθ', 16. 32 πρ(οσ)ιόντων] συμπλ. τόπου ἐφθαρμ. 33 ⟨ἂν οὕτω⟩] συμπλ. τόπου ἠμιεφθαρμένων στοιχείων.

9 κ ῶ δ. γεγονότερον. 14 τωτέως.

ἔπειτα ἐξεθέμην καὶ ἄλλοις τὴν ἐκείνων ἐπιμέλειαν ἐνεπιστευσάμην μέχρι καὶ ἐπὶ τὴν ἐνώπιόν σου παράστασιν, οὐχ ὅτι ἐπ' ἐκείνοις τοῖς λόγοις πορνείαν ἐμαυτῷ κατηγόρησα κατὰ τοὺς ὅσοι λάθρα τεκνογονοῦντες καὶ τὸν γάμον κλέπτοντες λάθρα καὶ τὸ τικτόμενον ἐκτιθέασιν, ἀλλ' ὅτι σε πενθοῦντα τότε τὴν βασιλίδα.

3. Ἀλλ', ὦ λόγε, ποῖ με κατήνεγκας, πῶς δὲ καὶ τοῦ κατασχόντος πάθους τὴν οἰκουμένην εἰς μνήμην ἤγαγες καὶ οὐ φοβῇ τοὺς τῶν βασιλικῶν καταρράκτας δακρύων, μή σε τοῖς ῥεύμασιν ὑποσύρωσιν, ὅτι σε τότε, ὦ αὐτοκράτορ, τὰ τῶν ἀνακτόρων εἶχε μυχαίτατα καὶ μόνος ἀπολαύειν θέλων τῶν θρήνων οὐ παρακύπτειν τοῖς πολλοῖς ἐδίδους εἰς τὰ βασίλεια, νῦν δὲ ἀλλὰ τούτων τὸν λόγον πάλαι σοι ὠδίνων, ὦ βασιλεῦ, εἶτα δὴ καὶ γεννήσας καὶ αὐτὸς βρεφοκομήσας τὸ γέννημα καὶ κομώσας καὶ βοστρυχίσας καὶ ὡς ἐνῆν ἐπισκευασάμενος παρέστηκά σου μετὰ τοῦ βρέφους καὶ θεατρίζω τὸ ἔκγονον καὶ βούλομαι καταμανθάνειν αὐτὸς καὶ τῷ ὕψει πιστοῦσθαι τὴν τοῦ σοῦ ποταμοῦ τῆς σοφίας περὶ τοὺς ἐμοὺς τόκους βάσανον, εἰ ἄρα τούτους ὑπανέχει καὶ περιέπει καὶ τὸ ὅλον ζωογονεῖ, ἀλλὰ μὴ παρωθεῖται καὶ καταχρίνει καὶ τῷ τῆς λήθης παραπέμπει βυθῷ· εἶεν. ἀλλὰ τότε μὲν περὶ μονῳδίας εἶχεν ὁ λόγος, εἶτα μικρὸν διαλείπων ἐπενοεῖτο παράκλησιν. ὦ πῶς εἰς τούτους ἐμπίπτω τοὺς λόγους καὶ τὸ πάθος αὖθις ἀνακαινίζω καὶ τὴν ἐμὴν συγχέω ταύτην πανήγυριν· νῦν δὲ ἀλλὰ δὸς ἡμῖν, ὦ βασιλεῦ, τοῖς σοῖς ἐπαίνοις ἐγχορεῦσαι μικρόν, δὸς ἐπὶ τὸ χαροπώτερον ὑπαλλάξασθαι ἢ χρῆναι φήσεις κατηφειᾶν ἀεὶ καὶ τοὺς λόγους καὶ μέχρι νῦν τούτους ἀποδεχόμενος μεμνημένους τῆς βασιλίδος καὶ στρεφομένους περὶ τὰ δάκρυα, τὸ δ' ἑξῆς ἀποστρέψῃ διὰ τῶν σῶν τροπαίων τὰ κρόταλα. ἀλλ' οἱ λόγοι χρῆμα ποικίλον καὶ μένειν ἐπὶ τῶν αὐτῶν οὐ θέλουσι καὶ τὴν μεταβολὴν αὐτοὶ καλέσαντες ἥδιστον πρῶτοι φιλονεικοῦσι τοῖς ἑαυτῶν ἀποχρήσασθαι. διὰ τοῦτο ἄρα καὶ τὸν Ἑρμῆν πολλαῖς ταῖς διακονίαις οἱ παλαιοὶ σοφοὶ κατεμέρισαν καὶ μυρίοις ἐντεῦθεν περιεστέψαντο τοῖς ὀνόμασι· καὶ ἵνα μὴ τὰ λοιπὰ τῶν ὀνομάτων καταριθμῶμεν, Πομπαῖος ὠνομάσθη καὶ Χθόνιος, ἀλλ' οὐκ ἐναπομένων τοῖς κάτω λέγεται καὶ Οὐράνιος καὶ πέδιλα φορεῖ πτερωτά, ἵνα ῥᾳδίως ἄρα πρὸς τὰ κατὰ σκοπὸν μεταφέροιτο. τότε τοίνυν ὁ καθ' ἡμᾶς Ἑρμῆς ἦν πομπαῖος καὶ εἶχεν αὐτὸν τὰ σκοτεινὰ χωρία τοῦ Πλούτωνος ἐπιταφίοις θρήνοις διακονούμενον, ἀλλὰ νῦν ὁ οὐράνιος θέλει κληθῆναι πρὸς τὸ τῶν βασιλικῶν τροπαίων ὕψος ἐλαφριζόμενος καὶ ζητεῖ τὰ πέδιλα τὰ πτερόεντα. μή τις φθονείτω τῶν καλῶν ὀνομάτων τῷ λόγῳ· ἔστω μοι νῦν καὶ διάκτορος καὶ τὰς βασιλικὰς ἀριστείας ἀπαγγειλάτω διατορώτερον.

4. Ἀλλ' ὦ τλήμων ῥήτωρ ἐγὼ τοσούτων· ἐν ἀκαρεῖ μνημονεῦσαι κατορθωμάτων ἀναγκαζόμενος, ἃ κἂν χρόνιος ἀσχολία, κἂν ὁ κατὰ κεφαλῆς τοῦ Δημοσθένους ξυρός, κἂν ὁ ἄσβεστος ἐκείνου λύχνος ἀπαριθμήσαιντο· μᾶλλον δὲ τί γάρ με δεῖ τῆς ἐμῆς εὐδαιμονίας κατειρωνεύσασθαι; τί δὲ χρὴ μὴ δημοσιεύειν τὸ τῶν ἐμῶν λόγων εὐτύχημα; ὄλβιος ἐν λογογράφοις ἐγώ, μόνος εἴπερ τις τῶν πώποτε βασιλικὰς ἀνδραγαθίας συγγραψαμένων, οὐκ ἀμάρτυρον παρέχων τὸν λόγον, ἵνα καὶ τὰ κολάκων ὑποπτευθήσωμαι· ἰδοὺ γὰρ ἐγγὺς ἡμῖν, ὦ παρόντες, ὁ μάρτυς καὶ πάρεστιν ὁ τοὺς λόγους ἐπὶ τῶν ἔργων ἰδὼν καὶ παθών, ἃ μέλλω νῦν ἐγὼ διηγήσασθαι. τίς ποτε εἶδεν εὐφημούμενον βασιλέα ῥήτορα μετὰ τοῦ πυξίου παρεστηκότα καὶ τῆς εὐφημίας συμπαρόντα τὸν μάρτυρα; εἰ δὲ δεῖ καὶ ἀξιοπιστίας μαρτύρων, ἀρχηγὸς οὗτός ἐστι Περσίδος, μᾶλλον δὲ τῶν ἀρχηγούντων ἐν αὐτῇ τὸ κεφάλαιον καὶ πιστώσεταί μου τοὺς λόγους ὁμολογῶν τὰ παθήματα. ἀλλ' ἀρχηγὸς ἀληθῶς οὑτοσὶ Περσίδος, οὗτος ἐκεῖνος ὁ κρατῶν τῶν Περσῶν, ἄνθρωπος ἀρχὴν ἐζωσμένος τοσαύτην καὶ ἐπὶ μέγα δόξης ὀγκούμενος καὶ οὕτω μὲν ἐπ' εὐγενείᾳ κομπάζων, οὕτω δ' ἐπὶ μυριάσι στρατευμάτων κυδρούμενος· οὗ(τος) ἐκεῖνος ὁ Δαρείου καὶ Ξέρξου τῶν τῆς Περσίδος αὐχημάτων ἀπόγονος καὶ ταπεινὸς ἐφ' ἡμᾶς ἥκει νῦν καὶ κάτω κλίνει (τ)ὴν μεγάλαυχον κεφαλὴν τῷ ἡμετέρῳ προσκυνῶν βασιλεῖ. ἐπαίρει μου καὶ τοῦτο τὸν λόγον, ἂν εὐθὺς καὶ ἐκ προοιμίων ὑπέρσεμνά τινα διηγεῖτο καὶ ὧν οὐχ εὕρηταί που τὰ παραδείγματα· βασιλεῖς μὲν γὰρ πολλοὺς ἠκηκόειν καὶ ἀπὸ τῶν βιβλίων ἀνελεξάμην, οἳ φοβεροὶ μετὰ τῶν ὅπλων ἐδόκουν καὶ ἄνευ ὅπλων ἀπρόσμαχοι, ἥκειν δὲ ἐπ' αὐτοὺς αὐτομόλους οὕτω τοὺς ἀλλαχοῦ που κρατοῦντας καὶ οὕτω μὲν ἱκετεύειν οὕτω δὲ δουλείαν ὁμολογεῖν καὶ τοῖς οἰκέταις ἑκόντας τοὺς βασιλέας συντάττεσθαι οὐδεὶς οὐδέπω με λόγος ἔχει διδάξας οὐδ' ἔχω δοῦναι τούτου παράδειγμα. ὦ βασιλέως ἡμετέρου, βασιλέως πάντων ἀνθρώπων· ὦ βασιλέως, ᾧ τὸ μὲν ὑπὸ χεῖρα τὰ εὐχαριστήρια προσκυνεῖ καὶ θύει τάχα τὰ λυτρωτήρια, βασιλεῖς δὲ προσκυνοῦσι τὰ ἱκετήρια, μὴ καὶ ζυγὸν δουλείας ἐπαυχενίσαιντο.

29 Πομπαῖος] Αἰσχύλος ἐν Εὐμ. 91. Σοφοκλ. ἐν Αἴαντι 832. Εὐριπ. ἐν Μηδ. 759.
32 σκοτεινὰ χωρία τοῦ Πλούτωνος] πρβλ. Σουΐδαν λέγοντα «Πλούτων ὁ Ἅδης». πρβλ. καὶ Πλάτωνα ἐν Κρατύλῳ, σ. 403 Α. „τὸ δὲ Πλούτωνος τοῦτο μὲν κατὰ τὴν τοῦ πλούτου δόσιν, ὅτι ἐκ τῆς γῆς κάτωθεν ἀνίεται ὁ πλοῦτος, ἐπωνομάσθη· ὁ δὲ Ἅδης, οἱ πολλοὶ μέν μοι δοκοῦσιν ὑπολαμβάνειν τὸ ἀειδὲς προσειρῆσθαι τῷ ὀνόματι τούτῳ καὶ φοβούμενοι τὸ ὄνομα Πλούτωνα καλοῦσιν αὐτόν». 2 πέδιλα τὰ πτερόεντα] πρβλ. Ἡσιόδου Ἀσπὶς Ἡρακλ. 220. 20 οὗ(τος)] τόπος τριῶν στοιχ. διάτρητος.

6 κῶδ. κατάσχοντος. 11 καταράκτας.

5. Πάλαι μὲν οὖν κατὰ τῆς Ἀσίας στρατεύων ὁ Μακεδὼν ἐκεῖνος Ἀλέξανδρος (ἐδόκει δὲ φοβερὸς καὶ χειρὶ καὶ τῷ πλήθει καὶ τῶν τροπαίων τοῖς θαύμασι) προὐκαλεῖτο τὸν Περσῶν βασιλέα Δαρεῖον μόνον ἐλθόντα οἷ κλῖναι τὴν κεφαλὴν καὶ ὁ Πέρσης ἠλαζονεύσατο καί οἱ ἐξὸν τὴν ἀρχὴν ἀκινδύνως ἔχειν, ἀλλὰ πίπτειν ἤθελε μετὰ τοῦ φρονήματος· ἀλλὰ νῦν, ὦ Δαρεῖε, σοῦ μὲν ὁ σὸς ἀπόγονος συνετώτερος, Ἀλεξάνδρου δὲ ἐκείνου ὁ ἐμὸς βασιλεὺς φοβερώτερός τε καὶ γενναιότερος καὶ οὔτε προσκαλεῖται τὸν Περσῶν ἄρχοντα μικροψύχου βασιλέως ἔργον ποιῶν καὶ τοῖς σχήμασι ζητοῦντος μόνοις κυδαίνεσθαι καὶ βλέπει τοῦτον ἐξ αἰφνιδίου δουλοπρεπῶς ἐπιστάντα καὶ τοῖς αὐτοῦ ποσὶ προσκυζόμενον. μέχρι τούτου μέγας Ἀλέξανδρος ἐπιθυμῶν μὴ ἐπιτυγχάνων ἅπερ ἐξ αὐτομάτου τῷ βασιλεῖ μου προσγίνεται. μέγας ἐν βασιλεῦσιν ὁ Σολομών, ὅσῳ μετὰ τῆς λοιπῆς μεγαλοπρεπείας καὶ ἐπὶ τῇ σοφίᾳ ξυμπάντων ἦν περισσότερος καὶ ἧκεν ἡ βασίλισσα Νότου, φησὶ τὸ γράμμα τὸ ἱερόν, τοῦ βασιλέως τὴν σοφίαν θαυμάζουσα· ἀλλ' ἰδοὺ πλέον Σολομῶντος ὧδε (τὰ γὰρ ἑξῆς ἁρπάζω τοῦ γράμματος) ὅσῳ καὶ γυναικὸς ἀνὴρ πλέον τῆς Σολομῶντα ζητούσης ὁ τὸν ἐμὸν ζητῶν αὐτοκράτωρ· τὰ γὰρ τῆς ἀρχῆς ἀμφοτέροις ἴσα διδόσθωσαν καὶ οὐ σοφίαν μόνον ἀλλὰ καὶ ἀνδρείαν καὶ τὴν δικαιοσύνην καὶ τὰς λοιπὰς τῶν ἀρετῶν προσιστορῆσαι πάντως ἐλήλυθε. τί μὴ λέγω τὸ μεῖζον; τῷ Σολομῶντι μὲν ἡ βασίλισσα πλέον οὐδὲν ἀφῆκε τοῦ θαύματος καὶ ἀκοῦσαι τὴν σοφίαν ἐλθοῦσα μόνον ἀπῆλθε θαυμάζουσα, ὁ δὲ Περσῶν οὗτος φύλαρχος καὶ θαυμάσαι μὲν ἧκεν, ἀλλὰ καὶ τὴν δουλείαν τῷ βασιλεῖ μου πιστώσασθαι καὶ μέγας ἐνταῦθα παραγενόμενος ἔθναρχος εἶτα δοῦλος ἀναχωρεῖ καὶ δουλείας ὁμολογίαν ἀφῆκεν ὧδε μετὰ τοῦ θαύματος. ὦ βασιλέως τοσούτου, βασιλέως καὶ χειρὶ τοὺς ἐχθροὺς καὶ φήμῃ τοὺς βασιλέας καὶ δωρεῶν μεγαλοπρεπείᾳ πάντας ἀνθρώπους ὑπάγοντος· ὦ βασιλέως, ᾧ προσκυνοῦσιν οἱ βασιλεῖς τῆς γῆς ἅπαντες, οἱ μὲν πόρρωθεν διὰ τὸν φόβον, οἱ δὲ καὶ προσιόντες διὰ τὸ μείλιχον καὶ γαλήνιον· ὦ βασιλέως μέχρι μὲν νῦν Αὐσόνων, νῦν δὲ καὶ βασιλέων καὶ τῶν ἑκασταχῇ κρατούντων τῆς γῆς· ὦ βασιλέως καὶ ὑποκλίνειν εἰδότος τοὺς δυνατοὺς τῆς γῆς ἅπαντας καὶ βασιλικῶς δεξιοῦσθαι καὶ ταῖς ὑπὲρ αὐτοὺς κυδαίνειν τιμαῖς.

6. Ἀλέξανδρος μὲν γὰρ πρῶτον ἀναμένει πυθέσθαι τοῦ εἰς χεῖρας ἐλθόντος, πῶς ἂν αὐτῷ ποτε χρήσαιτο· ὅθεν καὶ φάναι λέγεται πρὸς τὸν Πῶ-

14 γράμμα τὸ ἱερόν] Ματθ. ιβ', 41—42. Λουκ. ια', 31. 17 σοφίαν] κ ῶ δ. σοφία. 18 ἀνδρείαν] κ ῶ δ. ἀνδρείας.

21 κ ῶ δ. φίλαρχος.

ρον (μέγας δὲ οὗτος ἦν Ἰνδῶν βασιλεὺς καὶ τέως γέγονεν ὑπὸ τὸν Ἀλέξανδρον)· "Λέγε, ὦ Πῶρε, ὅ τί σοι θέλει γενέσθαι". τοῦ δὲ εἰπόντος "Βασιλικῶς μοι χρῆσαι, ὦ βασιλεῦ", τότε ὁ Μακεδὼν ἀναμνησθεὶς ἐξ ὧν ὁ Πῶρος εἶπεν, ὡς ἔοικεν, ὡς ἄρα εἴη γε βασιλεύς, βασιλικῆς θεραπείας τὸν βασιλέα ἠξίωσεν. ὁ δ' ἐμὸς βασιλεύς, τὸ τῆς σοφίας ταμεῖον, τὸ τῆς φρονήσεως ἄγαλμα, φθάνει τοῖς ἔργοις τὰς ἀποκρίσεις, μᾶλλον δὲ οὔτε πυνθάνεται τοῦ Περσάρχου, πῶς ἂν αὐτῷ χαριεῖται· οἶδε γὰρ ὅ τι δεῖ τοὺς βασιλέας ποιεῖν καὶ πολλῷ μείζονας ἢ κατὰ τὰς αὐτοῦ ἐλπίδας καὶ τὴν ἀξίαν τὰς εὐεργεσίας ἀπονέμει καὶ τὰς τιμάς· ὁ μὲν γὰρ δοῦλον ἑαυτὸν καλεῖ καὶ τὰ τῶν δούλων θέλει ποιεῖν καὶ προσκυνήσας εἶτα παρίσταται, ὁ δὲ καὶ παῖδα ποιεῖται καὶ τοῖς οἰκείοις ἐγγράφει καὶ ἀξιοῖ καὶ τῆς παρ' αὐτῷ καθέδρας, ἧς καὶ μεγάλοι βασιλεῖς ἐπεθύμησαν. πάλαι μὲν οὖν Δημάρατος ὁ Κορίνθιος, Ἀλεξάνδρου τὸ πρῶτον ὑπὸ τὸν χρυσοῦν οὐρανίσκον ἐν τῷ Δαρείου θρόνῳ καθίσαντος, μεγάλης εἶπεν ἡδονῆς στερηθῆναι τῶν Ἑλλήνων τοὺς τεθνηκότας πρὶν ἢ θεάσασθαι τὸν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον· ἐγὼ δ' ἂν καὶ αὐτὸς οἰκειωσαίμην ἄρτι τοῦτο τὸ Δημαράτειον καὶ πολλῆς ἂν φαίην ἐστερῆσθαι τῆς ἡδονῆς τῶν ὑπό τινας Ῥωμαίων ἐκείνους, ὅσοι θανόντες οὐ πάρεισί γε νῦν ἰδεῖν τὸν ἑαυτῶν βασιλέα λαμπρὸν λαμπρῶς ἐνθάδε προθρονιζόμενον καὶ τὸν μέγαν τὸν Περσῶν ἀρχηγέτην αὐτῷ καλῶς ὑποποδιζόμενον. θέαμα τερπνὸν οὕτω καὶ ξένον καὶ οἷον οὐδέπω τοὺς ὀφθαλμοὺς Ῥωμαίων εἱστίασεν· ἄρχοντας μὲν γὰρ ἐθνῶν καὶ δυνάστας (πάλαι τε ἦν ἡ καθ' ἡμᾶς ἀρχὴ μεγάλη καὶ πολυδύναμος) καὶ πολλούς τε πολλάκις προσερχομένους ἐδέξατο, καθαρὰν δὲ τὴν τῆς δουλείας ὁμολογίαν καὶ τὸν ζῆλον τῶν παρ' ἡμῖν σεμνοτήτων, ὅθεν καὶ οἱ τῆς θέας ἔρωτες ἐξανήφθησαν, μόνος ὁ Περσάναξ οὗτος ἐμφαίνει δίχα πολέμων ἐνεστηκότων ἀνάγκης (ἢν μή τις λέγῃ τοὺς προλαβόντας τε καὶ τοὺς μέλλοντας, οὓς ἀπὸ τῶν γενναιοτέρων οἱ ἀσθενεῖς ὑποπτεύουσι) καὶ δίχα τῆς ὑποκαθημένης ἐν τοῖς κουφογνώμοσι δολιότητος αὐτομολήσας εἰς τὸν αὐτάνακτα. ὅθεν καὶ τοὺς βασιλικοὺς μὲν θησαυροὺς οὐκ εἶδεν, ὡς τοὺς παρ' Ἐζεκίᾳ πάλαι τῷ βασιλεῖ Βαβυλῶνος, ἀλλ' ἐξ αὐτῶν ἀφθόνως ἐρρύσατο καὶ ἦν ἐν πολέμοις ἔγνω πάλαι χεῖρα τοῦ βασιλέως πλήκτριαν, ταύτην νῦν γνωρίζει πλουτίστριαν.

2/5 Λέγε, ὦ Πῶρε —ἠξίωσεν] πρβλ. Ἀρριαν. ε', ιε', 2. 3 ὦ] κ ῶ δ. ὁ. 12/16 Δημάρατος — καθήμενον] πρβλ. Πλουτάρχου Ἀλεξ. § 56. Σημειωτέα ὧδε ἡ τοῦ Τορνίκη σχεδὸν ταὐτόλεκτος χρῆσις τῆς πλουταρχείου φράσεως· „εἶπε μεγάλης ἡδονῆς ἐστερῆσθαι τοὺς Ἕλληνας, ὅσοι τεθνήκασι πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον". 29 Ἐζεκίᾳ] πρβλ. Παραλ. 2, λβ', 28.

11 κ ῶ δ. ἐγγράφοι.

7. Αἰσθάνομαί σου, βασιλεῦ φιλοπάτορ καὶ μετριόφρον, αἰσθάνομαί σου προβαλλομένου τὰ πάτρια καί μοι ἀντίθης τὸν πατέρα τούτου, τὸν πάλαι τῶν Περσῶν ἄρχοντα, πρὸς τὸν σὸν πατέρα καὶ βασιλέα δουλοπρεπῶς ἐνθάδε παραγενόμενον· καὶ τιμῶν τὸν πατέρα λέγεις τὰ ἔργα παρόμοια; πολλοῦ γε καὶ δεῖ δουρὸς ἀκωκῇ καὶ λογισμῷ κρίσιν ἐς ταὐτὸν ἔρχεσθαι. ὁ μὲν γὰρ κρίνει τὸ τῆς σῆς ἀρχῆς ὕψος, ὅτι ξυμπάσας ἀληθῶς βασιλείας κατὰ τὰ τῶν μεγεθῶν ἢ ἀριθμῶν Ἀσία μέτρα ὑπερπέπαικεν, ὅθεν καὶ τὴν ὑπεροχὴν αἰδεῖται καὶ τὸ κράτος φοβεῖται καὶ προσελθεῖν προαιρεῖται καὶ τὴν δουλείαν ὁμολογῆσαί σοι· ἐκεῖνον δὲ ἄρα ἐχθρὸς ἐλαύνων ἐδίωκε καὶ πέτραν ὁ λαγῳὸς ἐζήτει καταφυγὴν καὶ τὴν τοῦ ὄρους λόχμην τὸ κνώδαλον. δεῖγμα μὲν γάρ σοι καὶ τοῦτο τῆς πατρικῆς γενναιότητος, ὅτι τῶν καταπονουμένων προΐσταται καὶ τοὺς τῶν οἰκείων ἐλαυνομένους φέρων αὐτοῖς ἐγκαθίστησι. σοῦ δὲ ἦν ὄντως πολλῷ μεῖζον τὸ κράτος, ὅτι σοὶ ἄρα καὶ ἐν καλῷ καθεστῶτες οἱ τῆς γῆς δυνάσται προσπίπτουσιν. ἥκέ σοι πάλαι καὶ ὁ τὴν Ἀντιόχου διέπων μετὰ τοῦ ἴσου τούτου φρονήματος, ἀλλ' ὥσπερ οἶδα μίαν τὴν Ἀντιόχου πόλιν, οὕτω πολλὰς τὰς τῆς περιόδου πόλεις ἐπίσταμαι καὶ συγκρίνειν ἐνταῦθα πόσην διάστασιν ἄλογον. εἶδεν ἡ καθ' ἡμᾶς αὕτη πόλις καὶ βασιλέας μεγάλους ἐκ τῆς Ἑσπέρας κάτωθεν ἥκοντας καὶ φοβεροὶ μὲν ἦσαν, ὅσῳ κατὰ τὰς ἄμμους ἔμβριθον τοῖς στρατεύμασι, καὶ προσεκύνησάν σοι βασιλεῖς ἐκεῖνοι καὶ τὸ σὸν ἀνύψωσαν κλέος περιφανῶς ὑποθρονιζόμενοι, ἀλλ' ἐγὼ ξυννοοῦμαι τὰ πρῶτα καὶ τῆς ὁδοῦ τὸν σκοπὸν ἐκείνοις ἀναμοχλεύω καὶ γνωρίζω τὴν ἀνάγκην αὐτοὺς ὀψὲ ταπεινώσασαν.

8. Εὖγέ σοι, ὦ Πέρσα, τῆς εὐβουλίας, ὅτι παλαιῶν Περσῶν ἔθος πέμπειν τοὺς παῖδας ἐς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα τῷ πολλῷ χρόνῳ κατημελημένον ἀνακαινίζεις αὐτὸς προστρέχων εἰς τὸν μόνον δικαιότατον βασιλέα, ἀλλὰ καὶ πάσης ἀρετῆς κατακώχιμον. εὖγε, ὅτι τὸν ἀληθινὸν τῆς γῆς βασιλέα κατὰ τοὺς πρότριτα Πέρσας ἀναζητεῖς καὶ προπέμψας ἐκείνους, ὡς ἔοικεν, ἀνερευνῆσαι τὴν φάτνην αὐτὸς ἐπέστης ἄρτι παριορδάνιος, ἵν' ἴδῃς, ὁποίους οἶδε καὶ σχεδιάζειν ὁ βασιλεύς μου τοὺς ποταμούς. μή τίς σοι καὶ λουτροῦ χρεία; δεῦρο τοῦ ποταμοῦ τοῖς νάμασιν ἐμβαπτίσθητι καί σου τῶν ὀφθαλμῶν ἐκπλυνθέντων ὄψει καὶ τὸν ἐν οὐρανῷ βασιλεύοντα. ἀλλ' οὔ σοι δοκεῖ τοῦτο τῷ τέως καὶ πυρὶ λατρεύειν ἐθέλεις καὶ τῷ Ἡλίῳ τὸν ποιητὴν παρωθούμενος· οὐκοῦν σεβάζου τὸν βασιλέα, τῆς οἰκουμένης τὸν ἥλιον. ἔστι σοι καὶ πῦρ οὗτος ξύμπαν ἀποτεφρῶν τὸν πολέμιον· τούτῳ χαρί-

5 δουρὸς ἀκωκῇ] πρβλ. Ἰλ. Κ, 373. Λ, 253. Π, 323. Ρ, 295. Υ, 260. 11 προσπίπτουσιν] κ ω δ. προπίπτουσιν. 23/24 ἔθος—δικαιοσύνης διδασκαλεῖα] πρβλ. Ξενοφῶντος Κύρου παιδ. α', 2,2. 28 Πέρσας — παριορδάνιος] πρβλ. Ματθ. β', 1—12. Λουκ. β', 7 κέ. 28 ἴδῃς] κ ω δ. εἰδῆς.

ζου καὶ τὴν προσκύνησιν. ἀλλ' ἀποτρέχεις οὕτω ταχέως· ἀπάγγειλόν μοι τοὺς λόγους, οὓς σοι καθ' ἑαυτὸν ἐπῆλθε λέγειν τὴν καθ' ἡμᾶς ἀρχὴν διοδεύοντι. ἆρα τὰς πόλεις ἠρίθμεις; ἆρα κατέλεγες τὰ στρατεύματα; ἆρα γῆν ἀροσίμην ἐσκόπεις; ἆρα παρώδευες τὴν ἀοίκητον; ἀγωνιῶ μὴ παρέδραμόν σε τοῦ βασιλέως αἱ πόλεις, ἃς ἀνακόπτων τῶν σῶν βαρβάρων τὰς ὁρμὰς ἀνεστήσατο. ἀλλ' εἶδες πόλεις ἐπὶ τῶν πεδιάδων; εἶδες ἀκρονεφῆ παρὰ τοῖς ὄρεσι φρούρια; εἶδες ἐπὶ τούτοις βασιλικὰς εἰκόνας προβεβλημένας; ἐκεῖναι πᾶσαι τὸν ἐμὸν γνωρίζουσι βασιλέα αὐθήμερον ἐγείραντα τὰ πολίσματα. ἀπάγγειλόν μοι τοίνυν πρὸς τοὺς γειτονοῦντας βαρβάρους, ὅτι πλείους τῶν βαρβαρικῶν στρατευμάτων ἔχει τὰς πόλεις ὁ βασιλεύς. τὰ δέ σοι κατὰ τὸν Ἑλλήσποντον ποῖα; ἔχαιρες τὸν πορθμὸν διαβαίνων καὶ τὰς καινοτομίας Ξέρξου συνεννοούμενος ἢ ἐσκυθρώπαζες μᾶλλον τὴν τότε χλεύην ἀνανεούμενος καὶ ἐδειλίας μή σοι ἀποτίσῃ τὴν ὕβριν τὴν τῶν προγόνων ἡ θάλαττα; ὅταν εἶδες τὴν πόλιν, πῶς ἐμερίσθης τῷ θαύματι; πότερον τὸ κάλλος ἠγάσθης ἢ ἐξεπλάγης τὸ μέγεθος; μᾶλλον δὲ πόλιν βλέπειν ἐδόκεις ἢ κόσμον ὅλον ἀναμετρεῖν; μή τίς σοι πόλις τοιαύτη; μή σοι τοιαῦτα βασίλεια καὶ λαμπρὸν ἐν τούτοις τὸ βῆμα καὶ ῥήτορες ἐν μέσῳ τὰς ἀριστείας ἀνακηρύττοντες; σοὶ μὲν οὖν ἐπὶ τούτοις ἐκεῖνο λέγειν πάντως ἐπέρχεται, ὃ καὶ Δαρεῖος εἶπεν ὁ Περσῶν βασιλεὺς τὴν Ἀλεξάνδρου βασιλείαν ἀποδεχόμενος· ἐκεῖνός τε γὰρ ἀνασχὼν τὰς χεῖρας εἰς οὐρανόν, μάλιστα μὲν αὐτῷ φυλαχθῆναι τὴν ἀρχὴν ηὔξατο· εἰ δ' ἄλλον χρὴ βασιλέα τῆς Ἀσίας γενέσθαι, μὴ ἄλλον εἶναι τοῦτον ἢ τὸν Ἀλέξανδρον. καὶ σὺ ἂν ἡδέως κατεύχοιό σου τῆς ἐξουσίας, μή ποτ' ἂν αὐτῆς ἄλλον ἢ Μανουὴλ ἐπιβῆναι, τῶν πάντων βασιλέων τὸν μεγαλοπρεπέστατον.

9. Σὺ μὲν οὖν οὕτω ταῦτα καὶ πολλοὺς ἐντεῦθεν ἀπὸ τοῦ καθ' ἡμᾶς ἀρχετύπου τῶν ἀρετῶν τοὺς τύπους ἀναλεξάμενος σπεύδεις τοῖς ὑπὸ σὲ παραδοῦναι καί σου διακοσμήσασθαι τὴν ἀρχήν· ἐγὼ δέ σου λαβοίμην ἔτι καὶ ἀξιώσω περιμεῖναι τῷ λόγῳ τὰ βασιλέως ἔργα κηρύττοντι, ἵν' εἰδῆς, ὡς οὐ παράγει χρόνος τούτου τὰς ἀριστείας οὐδὲ καλύπτει λήθη τὰ τρόπαια, καὶ μάθῃς οἷόν ἐστι δεινὸν βασιλεῖ τοιούτῳ συμβάλλειν ἀθανατοῦντι τῶν ἐχθρῶν τὰ πτώματα. εἶδες βασιλέα τηλίκον; εἱστίασάς σου τὴν ὄψιν τοῖς ὑπερσέμνοις θεάμασι; μεῖνόν σου καὶ τὴν ἀκοὴν ἑστιᾶσαι τοῖς παραδόξοις ἀκούσμασι. μή

8 ἀπάγγειλόν] κ ω δ. ἀπάγγειλέ. 18/22 Δαρεῖος εἶπεν — ἡ τὸν Ἀλέξανδρον] πρβλ. Ψευδο-Καλλισθένην, β', 20, ἔκδ. C. Müller (Paris, Didot, 1846) σ. 77.

10 κ ω δ. ἑλήσποντον. 13 ἀποτίσῃ] ὁ κῶδιξ τὸ ῃ ἔχει ἐκ διορθώσεως τοῦ οι.

μοι τὰ σὰ μόνον φαντάζου, μὴ τὰ τῶν ἐκ γειτόνων βαρβάρων, ἐφ' οἷς ὁ βασιλεύς μου πολλάκις τρισαριστεὺς ἀνηγόρευται. ἀλλὰ γάρ εἰσιν ἄλλαι πόλεις, εἰσὶν ἐθνῶν ἄλλα γένη τῆς Ἑῴας καὶ τῆς Ἑσπέρας μέχρι περάτων γῆς παρατείνοντα καὶ μυρίον ἐκεῖθεν τὸν ἀριθμὸν τῶν τροπαίων ἐπισωρεύσαντες ἔχομεν· ἀλλὰ γάρ ἐπὶ τούτοις ἔδει καί σοι ῥητόρων, ἔδει γλώττης ἐστομωμένης, ἵνα ταῦτα τοῖς Πέρσαις ἀνακηρύξῃ τρανότερον. ὡς ἐγὼ ξυνεννοοῦμαι, πῶς ἡ Περσίς σε ξύμπασα περιστήσεται τὰ σεμνὰ τοῦ βασιλέως ἀναμαθεῖν ἱκετεύοντες, καὶ οὐ φέρω τὸν τηλικοῦτον ὄγκον βραχείᾳ γλώττῃ κατασμικρύνεσθαι. τουτὶ μὲν ἴσως ἐρεῖς οὕτω ῥᾳδίως, ὡς " ὃν ἐζήτουν εὕρηκα βασιλέα καὶ προσελθὼν αὐτῷ προσεκύνησα ", ὅπερ ἦν ποτε λέγειν ἐπανελθοῦσι καὶ τοῖς Πέρσαις ἐκείνοις, οἳ τὸν Χριστὸν προσεκύνησαν· τὰ δ' ἄλλα ὥσπερ ἐκείνοις τῶν κατὰ Χριστὸν μυστηρίων ἀπόρρητα, οὕτω δῆτα καὶ σοὶ τὰ λαμπρὰ τοῦ βασιλέως ἀριστεῖα λέγειν ἀνέφικτα. ἀλλὰ σοὶ μὲν οὔτε λαμπρῶν, ὡς ἔοικε, πάρεστι τῶν τροπαίων, οὔθ' οἱ κηρύσσοντες πάρεισι καὶ πυκνὰς οὐκ ἀνεγείρων τὰς νίκας οὐδὲ τοὺς ἐπαινέτας κεκλήρωσαι· ἐγὼ δὲ ἀλλὰ νικητὴν οὕτω καὶ τροπαιοῦχον ἔχων τὸν βασιλέα ῥήτωρ αὐτῷ παρὰ τῆς τέχνης προβέβλημαι καὶ θαρρῶ σου τὰς ἀκοὰς κατακλύσαι τῷ πλήθει καὶ καταπλῆξαι τοῖς θαύμασι.

10. Βασιλέα γὰρ ἐνταῦθα περιϊστάμεθα οὐ χθὲς καὶ πρώην ἐπὶ τῆς ⟨οὕ⟩τω τέχνης ἱστάμενον οὐδὲν αὐτῷ πρὸς βασιλείαν μετὸν οὐδ' ἐκ προγόνων τοῦ σκήπτρου καὶ ἐπ' αὐτὸν καταβαίνοντος, εἶτα τὸ κράτος ἁρπάσαντα καὶ μηδὲν ἀρχαιότερον ἑαυτῷ διήγημα παρεχόμενον, οὐδ' ἀρετῆς ἄνδρα καὶ παιδείας ἀνεπιστήμονα, πόνων τε καὶ καμάτων καὶ τῶν ἐν ταῖς μάχαις ἀπείρητον, ἵν' ἢ λοιπὸν βραχυλογῶμεν διὰ τὴν ἔνδειαν ἢ καὶ μακρηγοροῦντες ψευδώμεθα· οὐ τοιαύτην δυστυχοῦμεν δυστυχίαν ἀγεννοῦς ῥήτορος, ἀλλὰ μακρὰν μὲν ἡμῖν τὸ τῆς βασιλείας ἕλκει σχοινίον καὶ (ὅ φησι Σολομὼν) ὡς ἀληθῶς τρίπλοκον, ὅθεν ἄν τις καὶ ἀδιάρρηκτον ἐσεῖσθαι τάχα τοῦτο κατεμαντεύσατο· χρυσῆν δὲ τὴν σειρὰν ὅλην στρέφει καὶ βασιλικοῖς ἐμπρέπουσαν ἄνθεσι, δεσπότης μὲν εἰρηνικὸς κατὰ Σολομῶντα καὶ πολιοῦχος, ἐν πολέμοις κατὰ τὸν Δαυὶδ ἀντίμαχος ἄμαχος, πραῦς καὶ χαρίεις πρὸς τὸ ὑπήκοον, βαρὺς καὶ σύννους πρὸς τὸ πολέμιον, ἐν ἀλκῇ καὶ τόνῳ νεανικώτατος, ἐν σκέμμασι καὶ βουλευτηρίοις γεραίτατος, νοῦς ὅλος ὢν καὶ ταλαντεύων λογισμοῦ τὰ πρακτέα καὶ κατὰ νοῦν ἐρευνῶν εὐεπηβολώτατα καὶ ἀπρόσκοπα ὅσα θυμὸς ὑποβάλλει καὶ παράλογος ὄρεξις (ταῦτα δὲ οὐδὲ βασιλέως,

6 τοῖς] κῶδ. ταῖς. 20 ⟨οὕ⟩τω] συμπλ. διατρ. τόπου. 29 εἰρηνικὸς κατὰ Σολομῶντα] πρβλ. Βασ. γ', 15. η', 63, 64. θ', 25 (A).

ἀλλὰ τυράννου) καὶ πρὸς ἐκεῖνον ἀποπεμπόμενος. ἔνθεν τοι καὶ ὡς θεὸς ἡμῶν ἄρχει κατὰ τὸν Σταγειρόθεν σοφόν, καὶ οὐκ ἄνθρωπος· παρ' οἷς γάρ φησι νοῦς κυβερνήτης καὶ πολιοῦχος, οὗτοι θεὸν ἔχουσι καὶ νόμους τοὺς ἄγοντας· οὐδὲν γὰρ ἢ νοῦς ἢ λόγος ἄνευ ὀρέξεως· νοῦς δὲ ὁ θεὸς ἢ θεῖον τοῖς θεηγόροις ἠγόρευται· ἀνθρώπου δὲ κρατεῖν ταὐτόν ἐστι καὶ θηρίου· θηριῶδες γὰρ ἡ ἐπιθυμία καὶ ὁ θυμός, οἷσπερ ὁ ἄνθρωπος συγκατέζευκται· καὶ τοὺς ἀρίστους δ' ἔστιν οὗ ταῦτα διέφθειρε. περιζώννυται καὶ ῥομφαίαν ὁ βασιλεὺς ἐπὶ τῷ μηρῷ καὶ πῦρ ἀνάπτει θυμοῦ, ἀλλὰ νοῦς καὶ τὸ ξίφος ἀκονᾷ καὶ τὸ πῦρ ἀναφλέγει καὶ πολλάκις αὐτὸ κατὰ τῆς ἀσεβείας καὶ τῶν αὐτῆς υἱῶν ἀνερρίπισεν, οἷς καὶ τὰ βέλη αὐτοῦ ὡς καιομένοις (κατὰ τὸν ψαλμῳδὸν) ἐξειργάσατο. τοιαῦτα ὁ ἐμὸς βασιλεύς, ὃν ὀλκῇ μικρᾷ λόγου καὶ βραχεῖ μεγέθει τῶν ἐγκωμίων σήμερον ταλαντεύομεν.

11. Σὺ δέ μοι λέγε τὸν Ξέρξην ὁ Πέρσης καὶ τῇ χρυσῇ διαγλαΐζου πλατάνῳ καὶ τοῖς σοβαροῖς ἐκείνοις ὑπενθρονίσμασιν, ἃ βασιλείαν μὲν ἴσως ἐμφαίνει, βασιλέα δὲ οὐ πάντως χαρακτηρίζουσιν, ἵνα μὴ τὰ κατὰ τὸν Ἑλλήσποντον λέγω καὶ τὰς τῶν στοιχείων καινοτομίας καὶ τὰ λοιπὰ τῆς ἀπονοίας χαρίσματα· καὶ σύ μοι λέγε Μακεδὼν τὸν Ἀλέξανδρον εὐσθενῆ νεανίσκον ἀγαθῇ τύχῃ φερόμενον. καίτοι πίνακα μόνον ἐνεστησάμην τῷ βασιλεῖ μου καὶ τὰ πρῶτα διεχάραξα χρώματα καὶ σκιὰν βασιλικήν σοι μόνον ὑπέδειξα· εἰ δέ μοι μείνῃς ἀνθολογῆσαι καὶ τὴν λοιπὴν χρωματουργίαν ἐπισκευάσασθαι, τάχ' ἂν ὁλοτελές σοι δείξω τὸ τοῦ βασιλέως ἀνδρείκελον καὶ θαρρῶ σου τῷ κάλλει τὴν ψυχὴν ὅλην θηράσασθαι. πλὴν ἀλλ' ἐν Ὀλυμπίᾳ μὲν εἰκόνες πάλαι τοῖς νικῶσιν ἀνεστηλοῦντο καὶ τοῖς ἀναστηλοῦσιν ἤρτητο φόβος τὰ σοφῶν ἔργα καθαιρεῖσθαι καὶ ἀνατρέπεσθαι τὰς εἰκόνας, ἣν ἐν τῷ μέτρῳ ψεύδοιντο τὴν ἀλήθειαν καὶ ὁ ἀνδριὰς ὑπερβάλλοι τὸν ἀθλητὴν ἐν τῷ μεγέθει τοῦ σώματος· ἐγὼ δὲ νῦν εἰκόνα ταύτην ἀναστηλῶν ἀθλητῇ γενναίῳ μάλα καὶ σοφῷ βασιλεῖ οὐκ Ὀλύμπιον ἀγῶνα κρατήσαντι πάλαι ἢ δρόμον ἤ τι τῶν ὅσα παίζουσι τὰ μειράκια, οὐδ' ἐνθάδε μόνον ἢ ἐνθάδε στεφανωσαμένῳ τὰ νικητήρια, ἀλλ' ἀπανταχῇ τῆς οἰκουμένης ἀνδρικὰ στησαμένῳ καὶ ἀληθῶς βασιλικὰ τρόπαια, οὐκ ἐπὶ τοῖς αὐτοῖς μὲν ἔχω τὸν φόβον οὐδὲ δεδίττει με τὸ τῆς εἰκόνος ὑπέρμετρον (οὐ γὰρ χαλκὸς ἐμοὶ τὰ τῆς ὕλης, ἵνα εἴέν πως οὐ δυσπόριστα, οὐδὲ μικρὰ τὰ τοῦ πρωτοτύ-

2 Σταγειρόθεν — ὀρέξεως] πρβλ. Ἀριστοτ. Ἠθ. Εὐδ. σ. 1249b, 14 «οὐ γὰρ ἐπιτακτικῶς ἄρχων ὁ θεός, ἀλλ' οὗ ἕνεκα ἡ φρόνησις ἐπιτάττει». Περὶ ψυχῆς, σ. 433a «ὁ μὲν νοῦς οὐ φαίνεται κανῶν ἄνευ ὀρέξεως». Πολιτ. α', σ. 1256b, 5 «ὁ νοῦς (ἄρχει) τῆς ὀρέξεως πολιτικὴν καὶ βασιλικὴν (ἀρχήν). 11 ψαλμῳδὸν] πρβλ. Ψαλμ. ζ', 14.

16 κῶδ. ἑλήσποντον. 24 ἦν] ἣν. 31 δεδοίττει.

που, ἵν' ὑπερβάλῃ ταῦτα τὸ μίμημα), δέδοικα δέ μοι καθαιρεθῆναι τὸν ἀνδριάντα πολλῷ τοῦ πρωτοτύπου πάντως λειπόμενον. οὕτω μέγα τὸ τοῦ ἐμοῦ νικητοῦ σῶμα καὶ ἀληθῶς ὑπέρτατον, οὕτω καὶ τὰ τῆς ὕλης τίμια καὶ πόνῳ περιττῷ κομιζόμενα· εἰ δ' ἄρα ἦν καὶ μεῖζον ἀποξέσαι ὧδε τὸ ἄγαλμα, πολλοῦ ἂν ἔδει τοῦτο καθαιρεθῆναι, καὶ τοῦ νόμου τῶν Ὀλυμπίων ὑπερφρονῶν ὑψοῦ τὸ ἄγαλμα τοὐμὸν ἀνεστήλωσα· ὁ γάρ τοι νόμος τῶν ἐγκωμίων χαίρει μάλιστα ταῖς ὑπερβολαῖς καὶ ἀγαπητόν, ἤν τις τὸν αἰνετήριον ῥητορεύων μεγαλύνει τὸν λόγον καὶ μείζονα τῶν πραγμάτων ὄγκον αὐτῷ περιτίθησι.

12. Ταῦτ' ἄρα καὶ Στησικράτην τὸν λαξευτὴν ἐγὼ πολλάκις ἐπῄνεσα προθυμούμενον Ἀλεξάνδρῳ λαξεῦσαι τὸν Ἄθων ὄρος τὸ Θρᾴκιον καὶ ἀνδριάντα ἐπιξέσαντα Μακεδόνων μέγαν οἷον καὶ ἀτεχνῶς τὸν Ἄθων ἐμφαίνοντα· καὶ ἐπηγγέλλετό γε ποιήσειν ὁ Στησικράτης οὗτος τὸ ξόανον τῇ λαιᾷ μὲν Εὐρώπην πᾶσαν περιλαμβάνοντα τὸν Ἀλέξανδρον καὶ ὅσα τῶν Εὐρωπαίων ἐθνῶν ἁπάντων κατηυμεγέθησε, θατέρᾳ δὲ τῶν χειρῶν τὴν Ἕω καὶ πάντα τὰ ἐν Ἀσίᾳ φέροντα τρόπαια. ἀλλὰ Στησικράτης εἰκόνων ἦν λαξευτὴς καὶ λίθον εἶχε τὴν ὕλην καὶ ἐζήτει τὴν φιλοτεχνίαν τάχα κομψεύεσθαι· εἰ δὲ καὶ εἰς ἔργον ἤγαγε τὴν ὑπόσχεσιν, αὐτὸ κατερεῖ τὸ ὄρος εἰς ὄψιν πᾶσιν ἐγκείμενον. ἐμοὶ δὲ νῦν ὁ λόγος, ὦ βασιλεῦ, ὁ καλὸς τῶν ἀριστέων ἔργων χαλκοτύπος ἢ καὶ γλυφεύς, ὁ καὶ μόνοις τοῖς ἀνδραγαθοῦσιν εἰδὼς ἀποτορνεύειν τὰ ξόανα, μηδὲ μέχρις ἐπαγγελίας μόνης ἱστάμενος, εἰκόνα σοι ἀναστηλῶσαι μεγάλην καὶ θαυμασίαν οἵαν ἐπαγγειλάμενος λίθῳ μὲν καὶ χαλκῷ χαίρειν εἶπεν, οὐδὲ παρενοχλεῖν ἐθέλει τοῖς ὄρεσιν· αὐτὰ δέ σοι τὰ ἔργα τῆς οἰκείας τέχνης ὕλην ποιούμενος αὐτείκελον ὄντως καὶ πολυχρόνιον ἀνεγερεῖ σοι πάντως τὸ μόρφωμα. ἀλλ' ἐλαθόμην ἐνταῦθα καὶ μίαν εἶπον εἰκόνα τοῦ πανταχοῦ τῆς γῆς ἀνεστηλωμένου καὶ πᾶσαν οἰκουμένην μερισαμένου ταῖς διὰ τῶν ἔργων στήλαις καὶ τοῖς μορφώμασι· τοῖς μὲν γὰρ Ἕλλησιν ὡς ἐδόκει πάλαι καὶ τοὺς σφῶν θεοὺς καὶ τὰς ἑορτὰς ταῖς πόλεσιν ἐμερίσαντο, Νέμεα τελοῦντες Ὀλύμπιά τε καὶ Πύθια καὶ τὰ λοιπὰ τῶν κακοδαιμόνων ὡς ἀληθῶς παίγνια καὶ θεὸν ἄλλον ἄλλῃ τοῖς τελουμένοις ἐπωνύμως ἐπιφημήσαντες. ἐντεῦθεν ὁ Ζεὺς ὁ Πύθιος ὁ ⟨Ὀ⟩λύμπιος καὶ τὴν Δῆλον εἶχεν Ἀπόλλων καὶ τὸν Ἀλφειὸν ποταμὸν καὶ ἄλλος ἀλλαχοῦ τῆς γῆς ἀνεστήλωται. αἱ δὲ καθ' ἡμᾶς ἄρτι πόλεις, μᾶλλον δὲ τῆς οἰκουμένης ξύμπαντα τὰ πληρώματα; ἀλλὰ μία μὲν ἐν ἁπάσῃ πόλει περικροτεῖται πανήγυρις, τὰ λαμπρὰ τοῦ βασιλέως ἀνδραγαθήματα, μιαν δὲ εἰκόνα φέρουσι ξύμπασαι, τῆς βασιλικῆς τροπαιουχίας τὸν πίνακα χρώμασι διαφόροις ἐγκεχρωσμένον καὶ ἄλλως ἀλλαχοῦ ποικιλλόμενον.

6 ὑψοῦ] κ ω δ. ὑψοῖ. 9 Στησικράτην] κ ω δ. στησικράτω. 12 ἐπηγγέλλ. — λαιᾷ] κ ω δ. ἐπηγγέλετό - - λεᾶ. 14 κατηυμεγέθησε - - χειρῶν] κ ω δ. κατευμεγέθησε - -χερῶν. 17 κατερεῖ] κ ω δ. κατερρεῖ. 30 ὁ ⟨Ὀ⟩λύμπιος] κ ω δ. ὁλύμπιος.

1 ὑπερβάλλῃ.

13. Μᾶλλον δέ, ἵνα τῶν ψευδωνύμων θεῶν ἀφέμενος ἀπὸ τοῦ ἀληθινοῦ καὶ ἀγαθοῦ θεοῦ παραδειγματίσω τὸν ἀγαθὸν αὐτοκράτορα οἰκεῖον μάλα καὶ προσφυὲς ἀποδιδοὺς τὸ παράδειγμα, ὥσπερ ὁ κοσμοσώστης Χριστὸς εἷς ὢν αὐτὸς τῆς οἰκουμένης πάσης ὁ λυτρωτὴς ἑκασταχοῦ τῶν πόλεων εἰκονίζεται καὶ λαμπραῖς ὅτι μάλα θεοπρεπῶς κυδαί⟨νε⟩τ⟨αι⟩ πανηγύρεσιν, ἄλλης τῶν εἰκόνων ἄλλο τι παρεμφαινούσης τῶν τεραστίων οἷσπερ σεσώσμεθα, τῆς μὲν τὸν καινὸν τόκον, τῆς δὲ τὸ φρικτὸν πάθος, τῆς δὲ τὴν ὑπὲρ λόγον ἀνάστασιν καὶ τὰ λοιπὰ τῆς ἡμετέρας σωτηρίας μυστήρια, οὕτω δὴ καὶ ὁ ἐμὸς βασιλεύς, τὸ τοῦ ἐμοῦ Χριστοῦ μίμημα, εἷς τέ ἐστι καὶ πανταχοῦ τῆς γῆς μεμέρισται· καὶ φέρουσι τούτου τὰς εἰκόνας αἱ πόλεις τῶν ἀρετῶν διδασκάλους, αἷς διεσώσατο τὸ περίγειον, καὶ ἴδοι τις ἂν αὐτὸν πολιοῦχον μὲν ἐνταῦθα, ἐκεῖσε δὲ πολιορκητὴν ἀνεστηλωμένον καὶ τελευτῶντα πρὸς λαμπρὰ τρόπαια, πῇ μὲν τοὺς ἀλλοφύλους αἰχμαλωτίζοντα, πῇ δὲ τοὺς ὑπὸ χεῖρα λυτρούμενον, ᾗ μὲν τῶν πόλεων τὰ πρῶτα βάθρα πηγνύντα καὶ τοὔνομα τῶν πόλεων χαριζόμενον, ᾗ δὲ στεφάνοις τειχέων περιτιθέντα καὶ πεσόντων πυργωμάτων ὕψος ἐγείροντα καὶ τὴν κλῆσιν τῇ πόλει παροιχομένην ἀνακομίζοντα καὶ πανηγύρεις ἐπὶ τούτοις καὶ σκιρτῶσιν αἱ πόλεις καὶ τῷ βασιλεῖ τὰ γέρα παγκόσμια. τί μοι πρὸς ταῦτα Ἡρακλέους αἱ στῆλαι καὶ τὸ κενὸν ἐπὶ ταῖς στήλαις φύσημα, ἃς ἐφ' ἑνὸς τόπου πηξάμενος λέγει μὲν τὴν οἰκουμένην περιϊὼν αὐτοῦ τῶν πόνων καὶ τῶν ἄθλων παύεσθαι; ἐγὼ δ' οὐκ ἔχω πάνυ πιστεύειν κενὰς ὁρῶν τὰς πόλεις εἰκόνων, αἵ μοι τηλικοῦτον τὸν ἀθλητὴν γνωρίσουσι. τί δ' οἱ πύργοι τοῦ Μακεδόνος, οὓς εἰς μνήμην ἐκεῖνος τῶν ἑαυτοῦ τροπαίων ἀνέστησεν εἰς ὕψος ἀείρας αὐτοὺς ὑπέρτατον καὶ τῇ πλίνθῳ πιστεύσας τῶν ἑαυτοῦ κατορθωμάτων τὴν φυλακήν; πολλῶν σοι τοίνυν, ὦ βασιλεῦ, ἀνεστηλωμένων ἁπανταχοῦ τῆς γῆς εἰκόνων καὶ πόλεως οὔσης οὐδὲ μιᾶς, ἥτις οὐχὶ τοῖς σοῖς τροπαίοις ἐνωραΐζεται, ποῖ δὴ τρεπτέον ἡμᾶς τὸν λόγον, πρὸς ποίαν δὲ τῶν πόλεων βαδιούμεθα; τάχα γὰρ νῦν ἀνθρώποις φιλιστοροῦσιν ἐοίκαμεν καὶ παρακεκίνηκε μὲν ἡμᾶς τὰ τερπνὰ τῶν πόλεων ἀγλαίσματα, εἶτα τῇ προθυμίᾳ ταλαντευόμεθα καὶ πάσας ἀμηχανοῦντες ἀναμετρεῖν ἐν ἀπόρῳ τῆς ἐκλογῆς καθεστήκαμεν.

14. Τὰς μὲν δὴ τῶν Παιόνων πόλεις παρελατέον καὶ τὰ Δακῶν, εἰ

8 κυδαί⟨νε⟩τ⟨αι⟩] συμπλήρ. διατρ. τόπων. 34 παρελατέον] κ ω δ. παρελαττεῖ.

22 κ ω δ. φύσσημα.

δοκεῖ, καὶ τῶν Γετῶν πεδία παροδευτέον, ἅ τε Τριβαλλοὶ καὶ Δαλμάται τῶν βασιλικῶν τροπαίων φέρουσιν εἰκονίσματα καὶ ξύμπαν ἔθνος Παρίστριον· ἀλλὰ μηδ' αὐτοῖς τὰς ὄψεις ἐπιβλητέον οὐχ ὅτι χάριεν οὐδὲν οὐδὲ τερπνὸν ἔχουσι καὶ φιλοκάλων ὀφθαλμῶν ἄξιον, ἀλλ' ἐννοοῦμαι τὸν περὶ Γοργόνος λόγον ἐντεῦθεν, μὴ τἆλλα μῦθος ὢν τουτί γε μὴν εἰκόνιζε πρὸς ἀλήθειαν, ὡς ἄρ' οἱ τοῖς καινοῖς ἐνατενίζοντες θεάμασι καὶ φρικώδεσιν αὐτοῦ πεπηγότες ὑπὸ τοῦ θάμβους ἐναπομένουσι καινὰ καὶ ὑποπτεύω διὰ ταῦτα καινὰ καὶ ξένα θεάματα, μὴ τῷ κάλλει τούτων ἐναπομείνας τῶν ἑξῆς οὕτω λελείψομαι. ἢ τί σοι τῶν κατορθωμάτων ἐκείνων, ὦ βασιλεῦ, μεγαλοπρεπέστερον, ἃ Δακῶν μὲν καὶ Τριβαλλῶν αἱ λεῖαι βοῶσι παρ' ἡμῖν ἔτι μένουσαι καὶ μηδὲ τόσῳ χρόνῳ δαπανηθεῖσαι καὶ ὅσα τῆς κατ' ἐκείνων νίκης ἔχομεν σύμβολα; μαρτυρεῖ δὲ Δαλμάτης τῇ καθ' ἡμᾶς δουλεύων ἀρχῇ καὶ πρὸ τῶν σῶν ποδῶν κυλινδούμενος· ἔτι καὶ δοῦλον ἔχω τῆς τῶν Παιόνων μάρτυρα συμφορᾶς καὶ ἀνακαινίζω τὴν μνήμην τῆς μυριοπληθοῦς ἐκείνης αἰχμαλωσίας, ἀφ' ἧς μικροῦ τὴν καθ' ἡμᾶς μεγάλην πόλιν ἐστενοχώρησας, καὶ μέχρι τούτων ἱστῶ τὸ θαῦμα τῶν τοῦ Δαρείου μυριάδων, αἳ Μακεδόσιν ἐδούλευσαν.

15. Βάλλει μοι τὰς ἀκοὰς ἔτι καὶ τὸ ῥεῖθρον Ἴστρου τοῦ ποταμοῦ, οὐκ ὀξὺ ῥέον οὐδὲ προρρέον οὐδὲ μορμῦρον γενικῷ τῷ ῥεύματι· ἀλλ' εἴ μοί τις ἐπὶ μικρὸν ποιητικὴν αὐτονομίαν χαρίσεται, γείτονα ποταμὸν ὁ Ἴστρος καλεῖ καὶ ζητεῖ συμμαχίαν αὐτὸς ἀμηχανῶν σου τὴν ὁρμὴν ἐπισχεῖν, καθὰ καὶ παρ' Ὁμήρῳ Ξάνθος ὁ προρρέων τῆς Πριάμου πόλεως ποταμὸς πρὸς τὰς Ἀχιλλέως οὐκ ἀντέχων φορὰς ποταμὸν καλεῖ τὸν Σιμόεντα καὶ "δεῦρο" λέγει, "φίλε κασίγνητε, σθένος ἀνέρος σχῶμεν ἀμφότεροι". ἀλλὰ Ξάνθος μὲν ἐκεῖ πλημμύρει τὸ ῥεῦμα καὶ ὑποσύρει τὸν ἀριστέα, "Πηλείδης δ' ᾤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν", τὸ ἔπος φησί. σὲ δὲ μόνον βλέπων ὁ Ἴστρος ἀναστέλλει τὸ ῥεῦμα καί σοι τὰ νῶτα παρέχει βάσιμα καὶ διαπλωΐζει τῷ ἵππῳ καὶ και⟨ν⟩ὸν ⟨ἐ⟩μπίπτεις ἐξαιφνηδὸν τοῖς ἐχθροῖς θέαμα καὶ καταφρύγεις τὸν ποταμόρρουν οὐχ ὑπὸ ταῖς Ἡφαίστου φλοξίν, ἃς ἐπαφῆκεν Ἥρα τῷ Ξάνθῳ τὸν ποταμὸν κατακαίουσα (οὐ γὰρ ἐθέλεις ἀλλοτρίῳ καὶ ἀσθενεῖ πυρὶ πρὸς τὸ τῆς μάχης ἔργον ὑπερθερμαίνεσθαι, ὅπερ ἐν Ἡφαίστῳ παραδηλοῦται τῷ χωλῷ κατὰ τὴν ποίησιν καὶ κυλλοποδίονι), ἀλλ' οἴκοθεν ὑπανῆψας τὴν φλόγα καὶ τῷ πυρὶ τῆς προθυμίας τὸν

18 προρρέων] κ ῶ δ. προρέσον. 21/23 πρβλ. Ἰλ. Φ, 302—309. 25 Ἰλ. Γ, 363. 28/29 ταῖς Ἡφαίστου — κατακαίουσα] πρβλ. Ἰλ. Φ, 328—355. 31 κυλλοποδίονι] Ἰλ. Σ, 371. Φ, 331.

1 τριβαλλοὶ. 25 ἐουρανὸν. 27 ἐξαιφνιδὸν. 28 ποταμόρουν.

ποταμὸν ἀπηνθράκωσας· καὶ σπένδεταί σοι λοιπὸν καὶ τὴν ἐπὶ τοὺς ἐχθροὺς παρέχει διαπεραίωσιν. ἔφριξέ σου καὶ τὴν καινὴν ναυστολίαν οὗτος ὁ ποταμὸς καὶ μετὰ μίαν λέμβον ἢ καὶ δευτέραν ὡς τὰ πολλὰ παρεπλέετο· πλῆθός τε νεῶν αὐτομάτων καὶ ὡς ἂν ἐρεῖ τις ἀκαριαίων ἐπὶ τῶν νώτων δεξάμενος τάχα μὲν τῷ παραδόξῳ καταπλαγεὶς ὑπεπόδισε, τάχα δὲ καὶ ταῖς ὁλκάσιν ἀπογεφυρωθεὶς τὸ ποταμὸς δοκεῖν ἐντεῦθεν ἀπώλεσεν, ἵνα μὴ μόνον Ξέρξης μεγαλαυχοίη πορθμὸν ἀπογαιῶν Ἑλλησπόντιον.

16. Ἀλλὰ νεῶν ἐπεμνήσθην καὶ Σικελίαν φαντάζομαι, Ἑλλήσποντον εἶπον καὶ τὰ πελάγη κατὰ νοῦν βάλλομαι καὶ τὸν πορθμὸν Ἰταλίας ἀναμετρῶ τῷ τοῦ νοὸς ἀκατίῳ τὴν ἐς αὐτὸν στελλόμενος κέλευθον. βαβαὶ πηλίκων καὶ πόσων τῶν ναυαγίων, βασιλεῦ, ἐπλήρωσας τὸν Ἰόνιον, ὅσας τριήρεις Σικελικὰς τὰς μὲν αὐτάνδρους αὐτοῦ κατέδυσας, τὰς δὲ ἁρπάσας ἡμῖν ἀπέδωκας καὶ νεῶν μὲν τὰ τῆς παρ' ἡμῖν θαλάττης ἐπίνεια, δεσμωτῶν δὲ τὰ καθ' ἡμᾶς ἐπλήρωσας δεσμωτήρια· ἐδόκει γάρ σοι καὶ τὴν γῆν πληρώσας τροπαίων ἐπὶ τὴν θάλατταν μεταβέβηκας, ἵνα Δαρείου μὲν τὰς συμφορὰς ἀπαγγέλλῃ γῆ τε καὶ θάλαττα, ναυαγοῦντος ἐν Μαραθῶνι καὶ ἐν Ἀσίᾳ φεύγοντος τὸν Ἀλέξανδρον, σοῦ δὲ τὰς ἀνδραγαθίας τῇ γῇ συμμαρτυροίη καὶ θάλαττα καί σου "τὰς ἀρετὰς καὶ ἐν ταῖς νήσοις ἀναγγελοῦσι", καθώς φησιν ἡ προφητεία περὶ θεοῦ. καὶ ἐπὶ τὸν δράκοντα τὸν ἐν τῇ θαλάττῃ, ὃν ὁ Ἡσαΐας λέγειν δοκεῖ, ἐπισεί⟨σαντά τε⟩ τὸ οὐραῖον καὶ τὰς σκολιότητας ὑποδείξαντα, μόνον ἠπείλεις ἐπάξαι τὴν μάχαιράν σου τὴν μεγάλην, τὴν ἰσχυράν, καὶ θανατοῖς τῷ φόβῳ καὶ τῷ φωλεῷ πείθεις ἐν ὕλῃ θνήσκειν τῆς ἀπειλῆς χειμαινόμενον· ὡς γὰρ αἰσθόμενος ἀδικίας κατάρξαντά σοι τὸν νησιώτην τύραννον, ἐκεῖνα εἶπας τῶν τοῦ προφήτου· "ἀποδώσω νήσοις ἀπόδομα καὶ ἰδοὺ ἀρῶ ἐπὶ τὰ ἔθνη τὴν χεῖρά μου καὶ εἰς νήσους ἀρῶ σύσσημόν μου". τὰς μὲν ἐν τῷ μέσῳ ναυμαχίας Θουκυδίδης καταλεγέτω τάχα Λακώνων ἀριστέων οὐδὲ παρ' ἡμῖν ἀμοιρῶν, οἳ τὰ λαμπρὰ περὶ Σικελίαν ἤγειραν τρόπαια, ὅτε καὶ τὰ τοῦ Ἰεζεκιὴλ καιρὸν εἶχε λέγεσθαι πρὸς τὸν τύραννον· "ἐν καρδίᾳ θαλάττης ἦσαν δυνάμεις σου καὶ οἱ κωπηλάται σου καὶ οἱ κυβερνῆταί σου καὶ πάντες οἱ ἄρχοντες οἱ πολεμισταί σου καὶ πᾶσα ἡ συναγωγή σου ἐν μέσῳ σου πεσοῦνται ἐν καρδίᾳ θαλάττης". ἐγὼ δὲ ἀριθμοῦμαι τὰς πόλεις, ἃς περὶ τὸν πορθμὸν Ἰταλίας αὐτοβοεὶ παρεστήσω μοι· ἐν αἷς δὴ πόλεσι ταύταις καὶ τῇ προκαθημένῃ τούτων νήσῳ θεωρουμένης τῆς

4 ἀκαριαίων] κ ῶ δ. ἀκαρίων. 19 προφητεία] Ἡσαΐου μβ', 12 || Ἡσαΐας] πρβλ. Ἡσ. κζ', 1. 20 ἐπισεί⟨σαντά τε⟩] συμπλ. τόπων διατρήτων. 24 προφήτου] πρβλ. Ἡσ. μθ', 22. 27 Ἰεζεκιὴλ] Ἰεζ. κζ', 26—27.

7 κ ῶ δ. ἀπὸγαιῶν ἑλησπόντειον. 8 ἑλήσποντο. 21 ἡπήλεις.

ἀρχῆς τῷ τυράννῳ, ὡς ἥσθετο τούτων ἤδη λαμβανομένων, τὴν κεφαλὴν λοιπὸν ἔσπευσε περισώσασθαι, ὥσπερ ἀμέλει ποιεῖ καὶ τὸ θηρίον ὁ δράκων, οὗ τὴν εἰκόνα τούτῳ δεδώκαμεν, τὸν λοιπὸν ὀλκὸν τοῦ σώματος προδιδοὺς ἐξ ἀνάγκης, ἵν' ἑαυτῷ τὴν κεφαλὴν περισώσηται· καὶ ὡς ἑώρα ξύμπαν αὐτῷ τῆς ἀρχῆς τὸ σῶμα ταῖς σαῖς χερσὶν ἐνσφιγγόμενον, τὴν κεφαλὴν Σικελίαν μυχῷ θαλάττης ὑποκρυψάμενος ἠγάπα μόνην ἑαυτῷ περισῴζεσθαι. ἀλλ' εἰ μὴ ταῖς τοῦ χηραμοῦ στενότησιν ἐντριβόμενος θερμαῖς δυσωπείαις ἐξεκαλέσατό σου τὸν ἔλεον, τάχ' ἂν καὶ περὶ τὴν κεφαλὴν ἐδυστύχει καὶ Σικελίαν εἶχες μικρὸν ὅσον καὶ τοῖς Αἰτναίοις κρατῆρσιν αὐτοῦ κατενεπίμπρας τὸν δράκοντα.

17. Ἀλλὰ τί μοι θάλαττα ἔτι, τί δὲ μὴ παρανήχομαι τὰ πελάγη καὶ ταῖς ἠπείροις ἐναγλαΐζομαι; τί δὲ χρὴ παραπλέειν τὸν ἀπὸ γῆς εὐθηνούμενον; πάλαι γὰρ ἡμᾶς αἱ τῶν Κιλίκων πόλεις παρακαλοῦσι, πάλαι βοῶσιν ἐπάνω τῶν ἀκρονεφῶν ὀρέων ἱστάμεναι κατὰ τὸν τοῦ Εὐαγγελίου λόγον, μὴ συγχωρούμεναι πόλεις ὡς μὲν πόλεις ὡς δὲ μεγάλαι καὶ ζηλωταὶ καὶ οἷα μέρος εἶναι τῆς ὑπὸ σὲ μεγάλης ἀρχῆς· ἃς τέως μὲν ὑποφυγούσας καὶ χρόνῳ πολλῷ καὶ καμάτῳ γενομένας ὑπὸ τὸν ἐκεῖ τύραννον φθάνεις ἑλὼν καὶ μιᾷ πεντάδι μόνῃ τῶν ἡμερῶν ἀναιμωτὶ ξυμπάσας παραστησάμενος ὥσπερ μητρὶ θυγατέρας αἰχμαλωτισθείσας τῇ τῶν Ῥωμαίων φέρων ἀποδί(δ)ως ἀρχῇ· βάθρα δὲ ταύταις οὐκ ἀνασπᾷς οὐδ' ἀποκείρεις τὸν βό(στρυ)χον, ὁποῖα δὴ τοὺς δραπέτας ἄνθρωποι τιμωρούμεθα, ἀλλὰ καὶ δεξιὰν ἐπιβάλλεις λαμπρότερον, ἅττα πολλοὶ ποιοῦσι τοῖς ἐκ πλάνης ἐπιστρέφουσιν. οὕτω ῥᾳδίως, οὕτως ἀπόνως, οὕτως ἐν ἀκαρεῖ οὐδὲ ποιμὴν ἀρνίον ἀποπλανηθὲν ἐπανήγαγεν, ὅτι μὴ καὶ τὴν ῥάβδον ἔστιν οὗ περιέκλασε καὶ θηρίῳ δήπου περιτυχὼν πήραν αὐτὴν καὶ καλαύροπα καὶ σκεῦος ἅπαν ἄλλο ποιμαντικὸν αὐτοῦ που ῥίψας ᾤχετο φεύγων τῆς μάνδρας ὅλης ἐπιλαθόμενος. οὐδ' ἐν χορῷ παιδαρίων, ἃ παιδιαῖς προσησχόληται, χωρὶς πληγῶν ὑπεξῆλθον δίχα δακρύων οἱ ξύμπαντες, ἀλλ' ἔστιν οἷς τὸ βρασματῶδες καὶ παφλάζον τοῦ γέλωτος εἰς ἀγενεῖς κλαυθμυρισμοὺς ἐτελεύτησε. μὴ γὰρ ἔχει τις εἰπεῖν ἕνα σοι γοῦν στρατιώτην ἐκ τῶν τοσούτων μυριάδων πεσόντα μηδὲ πληγέντα μηδὲ δακρύσαντα; σὺ ἄρα μόνος ἐν ἀνθρώποις ὥσπερ τἆλλα ἔχεις ὑπὲρ ἀνθρώπους οὕτω δὴ καὶ τὸ νικᾶν ἀκμητὶ καὶ τρόπαιον ὡς μὲν λαμπρὸν ἀνεγείρειν ὡς δὲ καὶ λύθρων, ἵνα μὴ λέγω δακρύων, παντελῶς ἀνεπίδεκτον. καὶ σὲ μὲν σῴζει θεὸς

14 Εὐαγγελίου] πρβλ. Ματθ. ε', 14. 20 βό(στρυ)χον] συμπλ. τόπου διατρ., τὸ δὲ ἄρθρον τὸν ὁ κῶδιξ ἔχει ἄνευ τοῦ ν. 22 τοῖς] κ ῶ δ. τῆς. 26 ἐπιλαθόμενος] κ ῶ δ. ἐπιλανθόμενος. 28 παφλάζον] κ ῶ δ. παμφλάζον.

22 κ ῶ δ. καλάβροπα.

ἔξω βελῶν καὶ τραυμάτων πρὸ τοῦ πολέμου τῶν ἐχθρῶν κλινομένων σοι, σὺ δὲ τοὺς ὑποπτήσσοντας τραυματίζεις ἢ ἐν μαχαίρᾳ καὶ φόνῳ περιγράφῃ τὸ τρόπαιον; οὔμενουν ἀλλ' ἀνθρωπίνων αἱμάτων ἄγευστός σοι καθάπαξ ἡ τῶν Κιλίκων γῆ διετέλεσε. τῇ θείᾳ γοῦν προνοίᾳ τὴν συμμαχίαν ἀριστείαν ταύτην ἐπιγραφόμενος κἀντεῦθεν ᾄδων εὐχαρίστως μετὰ τοῦ προφήτου πρὸς τὸν θεόν, "σὺ εἶ ὁ ἀποκαθιστῶν ἐμοὶ τὴν κληρονομίαν μου", ἔτι κἀκεῖνο λέγειν ἤθελες τὸ προφητικόν· "οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων", καὶ μὴν οὐδ' ἐν ἀνδροκτασίᾳ ταύτας συνήγαγες· ὥστε μοι ἄντικρυς ἐκεῖνο δίδως διανοεῖσθαι, ὡς εἴ τις (μονον)οὐκ (τῶν) πόλεων ἄγρα ὥσπερ δὴ καὶ τῶν ἰχθύων ἐστίν, καὶ δίκτυά τινα καὶ πόλεσι περιπλέκονται, δι' ὧν ἁλώσιμοι γίνονται, τοιοῦτόν τι καὶ σὺ ταῖς ἀμφὶ Κιλικίαν πόλεσι περιβαλὼν οὕτως ἠρέμα ταύτας καὶ δίχα πόνου ξυνήγαγες.

18. Τὰ δὲ περὶ τὸν ἀνδραποδιστὴν τῶν πόλεων οἷα· ὡς πρῶτα μὲν τὰς λόχμας εἰσέδυ καὶ τὰς νάπας περιεβάλετο καὶ τοῖς βουνοῖς εἶπε "καλύψατέ με" καὶ τοῖς ὄρεσι "πέσετε ἐπ' ἐμέ", τάχα μὲν ἐφ' οἷς κακῶς ἐφρόνησεν αἰσχυνόμενος, τάχα δὲ ἐφ' οἷς ἠνόμησε δειλαινόμενος. εἶτα τὸ σὸν φιλάνθρωπον, ὦ βασιλεῦ, ταχὺ βαλλόμενος κατὰ νοῦν, ἐνθῦθα πρῶτον (τῶν) ἀγαθῶν ἑαυτοῦ βουλευμάτων ἀπάρχεται καὶ ὁ καρπὸς ἀγαθὸς τεραστίως ἐκ τῶν πετρῶν ἀναδίδοται μεταμαθεῖν τὸ συμφέρον καὶ λιταῖς καὶ δάκρυσι τὴν σωτηρίαν ἑαυτοῦ πραγματεύσασθαι. οὕτω φρονήσας, οὕτω καὶ σῴζεται· οὐ γὰρ οἰκτείρεις μόνον τὸν ἀποστάτην ἱκέτην ἄρτι γενόμενον καὶ ἣν ἀπέγνω χαρίζῃ τούτῳ ζωήν, ἀλλὰ καὶ προσευεργετεῖς τὸν ἀγνώμονα καὶ ᾧ πρὶν τὴν ῥομφαίαν ἐστίλβους μὴ ἐπιστρέφοντι καὶ ἐν κημῷ τὰς σιαγόνας ἄγξειν ἠπείλεις ἅτε πρός σε μὴ ἐγγίζοντι, τούτῳ μειλίχιον οἷον προσβλέπεις νῦν καὶ φιλάνθρωπον καὶ ἡ χθὲς ἐστιλβωμένη ῥομφαία κατὰ τὴν στρεφομένην ἐκείνην τὰ νῶτα δίδωσι καὶ ὁ μισούμενος ἐλεεῖται καὶ ὁ διωκόμενος προσλαμβάνεται καὶ οὐδὲ ἡ φλὸξ τῆς ῥομφαίας φλὸξ ἔτι ἔμεινε καίουσα, ἀλλὰ τὸ πῦρ αὐτῇ τὸ πρηστήριον εἰς λαμπαδοῦχον πῦρ μετεσκεύασται καὶ ὁ χθὲς κατὰ σκότον ἠλάσκων καὶ ταῖς ὀπαῖς τῆς γῆς ἐντριβόμενος νῦν ταῖς τῆς σῆς δόξης ἀκτῖσι περιφανῶς ἐναστράπτεται. τί μὴ λέγω τὸ πᾶν; ὁ πένης χθὲς καὶ ἀνέστιος πλούτῳ πολλῷ περιρρεῖται καὶ ἀτεχνῶς εὐδαιμονίζεται σήμερον καὶ σεβαστὸς ὁ πλανήτης ἀντὶ τοῦ ἀποστάτου σεμνολογεῖταί σοι. οὕτω κολάζειν οἶδας τοὺς ἁμαρτάνοντας· μόνον ἐκτείνεις τὸ τόξον, μόνον κραδαίνεις

5 προφήτου] Ψαλμ. ιε', 5. 7 προφητικὸν] Ψαλμ. ιε', 4. 9 (μονον)οὐκ (τῶν)] τόποι διάτρητοι. 14/15 καλύψατε — ἐμέ] πρβλ. Λουκ. κγ', 30. 16 ἠνόμησε] κ ῶ δ. ἐνόμησε. 22/24 τὴν ῥομφαίαν — ἐγγίζοντι] πρβλ. Ψαλμ. ζ', 13. λα', 9 || ἐγγίζοντι] κ ῶ δ. ἐγγίζοντα.

τὸ δόρυ καὶ ἀποξύνεις δῆθεν εἰς μορμολύκειον καὶ τελευτᾷ σοι τὰ τῶν ἀπειλῶν εἰς εὐποιίας ὑπόθεσιν.

19. Τί μοι πρὸς ταῦτα Κωνσταντίνου τοῦ μεγάλου τὰ ἐπὶ τῇ φιλανθρωπίᾳ σεμνολογήματα, ὃς ὑβριστοῦ τινος δήμου ταῖς ἑαυτοῦ εἰκόσιν ἐμπαροινήσαντος ἐνεγκεῖν λέγεται πράως καὶ τὸν ἀτάσθαλον ὄχλον ἐκεῖνον διατηρῆσαι τιμωρίας ἀνώτερον; καλὸν μὲν γὰρ τὸ συγχωρεῖν τοῖς προσκεκρουκόσι, τὸ δὲ προσευεργετεῖν τὸν ἁμαρτόντα κάλλιον· καὶ πῦρ θυμοῦ διανάπτειν ἑτοίμως βασιλικὸν ὄντως, ἀλλὰ τὸ φλόγα τοιαύτην ἐκ πολλοῦ δικαίως ἀναπτομένην καὶ μυρίαις τρεφομένην ταῖς ὕλαις, ὡς ἀναβῆναι γοῦν καὶ πρὸς κάμινον, οὕτως ἀκαρεὶ ⟨κ⟩ατασβέσαι καὶ εἰς εὐεργεσίαν διαμεῖψαι ῥύακας, ἀλλὰ τοῦτο ἤ — — — — — — — βασιλέας καί μοι φαντασίαν ἀγγέλων παρέχει καὶ τὸ θαῦμα διανοοῦμαι τῆς Βαβυλωνίας ὧδε καμίνου, ἧς ὁ φλογμὸς εἰς δροσισμὸν ἐτελεύτησε. καὶ Κωνσταντίνου μὲν φιλανθρωπίας δεῖγμα καὶ ἡμερότητος ἓν ᾄδεται τοῦτο· καίπερ γὰρ ἄλλων μυρίων προσόντων τῷ πανευφήμῳ τῶν χαρακτήρων, ὥσπερ ἄλλης ἀρετῆς ἁπάσης, οὕτω δῆτα καὶ τῆς πραότητος, ἀλλὰ τοῦτό γε οἶμαι τὸ πάντων εἶναι μεγακλεέστερον, τοῦ δ' ἐμοῦ βασιλέως ἐγὼ προσηγορήσω ὁμόχρονόν τε ὂν τῷ προτέρῳ καὶ ἀληθῶς ὁμοιότροπον.

20. Τίς οὐκ οἶδε τὰ τῶν Ἀντιοχέων κατὰ Κυπρίων ἐμπαροινήματα, ἃ κακότης μὲν ἡγεμόνος καὶ στρατιωτῶν ἀφροσύνη καὶ χρημάτων ἔρως εἰργάσαντο, βασιλέως δὲ γενναιότης καὶ στρατηγῶν εὐτολμία καὶ ὁ τοῦ δικαίου λόγος ἐζήτουν τίσασθαι; ἀλλὰ νικᾷ κἀνταῦθα χρηστότης καὶ ὁ τολμητὴς ἱκετεύει καὶ ὁ βασιλικὸς τῆς συμπαθείας ῥέει κρουνὸς καὶ τῷ ἁμαρτωλῷ πρὸς εὐεργεσίαν ἡ δίκη στρέφεται. ὦ κρουνὸς οὗτος χαρίτων ὄμβρον μιμούμενος τὸν οὐράνιον, ὃς τοῖς ἁμαρτωλοῖς θεόθεν καὶ τοῖς δικαίοις ἐξίσου πᾶσιν ὀμβρίζεται. θέλεις ἰδεῖν ἐπὶ τοῦ ἱκετείας σχήματος τὸν ἀλαζόνα πρὸ μικροῦ τὸν ἅρπαγα; τοῦτό οἱ μόνον εὐμήχανον, κἂν εἰ μὴ περιττῶς δόξω λέγων, καὶ τῆς Ὁμηρικῆς τάχα σοφίας ἦν ἄρα περὶ τὰς λιτὰς περισσότερος, ἀποτίλλει τὴν κόμην. εὖγε, ὦ οὗτος· δικαίως ἀκοσμίαν κατεψηφίσω τῆς ἀσυνέτου σου κεφαλῆς, ἣ περὶ τὴν κοινὴν ἠσέβησε κεφαλήν. γυμνοῖ τὰς χεῖρας (ταῦτα τῆς ἁρπαγῆς αὐταῖς ἐπιτίμιον), γυμνοῖ καὶ τοὺς πόδας· τί γὰρ τὴν ἀλλοτρίαν ἐπάτησαν; κάλων ἐξαρτᾷ τοῦ τραχήλου καὶ ζητεῖ τὴν ἀγχόνην ἀγχόνης ἔργα διαπραξάμενος. " Ἰδού, φησιν, ὦ βασιλεῦ, καὶ τῶν δεινῶν ἐγὼ τολμητής· κἂν

6 προσκεκρουκόσι] κ ῶ δ. προκεκρουκόσι. 10 οὕτως ἀκαρεὶ] κωδικος φύλλον 108 μετατεθειμένον μετὰ τὸ 107-ον. 11 τόπος ἐφθαρμένος εἴκοσί που στοιχείων. 12/13 Βαβυλωνίας — ἐτελεύτησε] Δανιὴλ γ', 1—33. 24/25 ὄμβρον — ὀμβρίζεται] πρβλ. Ματθ. ε', 45. 26 ἱκετείας] κ ῶ δ. ἱκετείαν.

ἐθέλῃς αἰχμάλωτον ἄγειν, ἵνα με τοῖς ἀδικηθεῖσι ⟨π⟩αρα(δῷς) παίγνιον, ὃ δὴ μέ τις ἀγέτω τῆς καλῳδίας λαβόμενος· φέρω καὶ σπάθην ἐχθροῖς καὶ ἐμαυτῷ τὸ ξίφος ἠκόνησα. δεῦρό μέ τις εὐεργέτει νεκρὸν ποιήσας ἐλεύθερον· ἡ δ' Ἀντιόχου μεγάλη πόλις μέγαν ζητεῖ βασιλέα καί σοι τὸ χρῆμα, βασιλεῦ, οἰκειότερον. ἔχεις ταύτην· ἰδού σοι παρ' ἡμῶν ὑπανέῳγε. καὶ τῇ νήσῳ Κυπρίων μεγάλαι κείπονται χάριτες, παρ' ἐμοῦ μὲν ὅτι ξυνῆκε μὴ λακτίζειν πρὸς κέντρα μηδ' ἐντρανὲς ὁρᾶν πρὸς τὸν ἥλιον, παρὰ δὲ τῆς ἐμῆς μέχρι καὶ ἔτι δεῦρο μεγάλης πό⟨λε⟩ως, ὅτι βασιλέα μέγιστον ἐκληρώσατο καὶ τὴν πάλαι κληρουχίαν ἀπολαβοῦσα τῇ μεγάλῃ Ῥωμαίων ἀρχῇ καὶ πάλιν ἐντέτακται ".

21. Ταῦτα τοῦ χθὲς ἀδικοῦντος καὶ νῦν παρακαλοῦντος τὰ ῥήματα. τούτοις χθὲς λῃστὴς καὶ σήμερον δραπέτης ἐκκαλεῖται τὸν ἔλεον, μᾶλλον δ' ὁ μὲν λέγει μὲν ἅττα δεῖ λέγειν τὸν χρησάμενον συμφοραῖς, ἀναμένει δέ οἱ τὴν ἐσχάτην ψῆφον ἐπενεχθῆναι καὶ τὴν ἀκμὴν τοῦ ξίφους φαντάζεται. τί δ' ὁ συμπαθὴς βασιλεὺς καὶ πλήττειν μὲν εἰδὼς τὸν μαχόμενον, ἐλεεῖν δὲ τὸν ἱκετεύοντα καὶ ἀπὸ τῆς πολεμικῆς αὐθαδείας ἐπὶ τὸ ταπεινὸν τῶν παρακλήσεων καταντήσαντα; τοῦ θυμοῦ τὸ βέλος ἀμβλύνει καὶ τῆς ὀργῆς σβεννύει τὰς φλόγας, αἷς τὸ πολεμικὸν ξίφος ἐχάλκευσε, καὶ ἀλλοιοῖ τὸν τῶν πραγμάτων χειμῶνα καὶ διαλύει τὰ νέφη καὶ ὑπομειδιᾷ τὸ φιλάνθρωπον καὶ σχεδιάζει θυμηδίας ἔαρ αὐτίκα, διττὰς πλουτοῦν καὶ πραείας τὰς αὔρας, τὸ συμπαθὲς καὶ τὸ μεγαλόδωρον· καὶ ἀναζῇ μὲν ὁ παρ' ἑαυτῷ νεκρὸς τῷ δόγματι τῆς ἀφέσεως, ἐνδύεται δὲ ὁ γυμνὸς τὸ λαμπρὸν καὶ παμφαῖνον τῆς εὐφροσύνης ἱμάτιον καὶ ἐπανήκει πρὸς πόλιν ταῖς βασιλικαῖς χάρισι καὶ τὰς χθὲς ἐναλλομένας χεῖρας καὶ εὐσταλεῖς χρυσίῳ καταβαρεῖται καὶ κροτεῖ τοὺς πόδας, οὓς πρὶν ὑπέτρεμε, καὶ μηνύει χαρμονὴν τοῖς πολίταις τῶν χθὲς δακρύων ἰσόρροπον. τὰ δὲ ἑξῆς σοι, βασιλεῦ, οἷα; ἔχεις τὴν Ἀντιόχου πόλιν οὕτω καλὴν καὶ μεγάλην μηδὲ τῶν ὅπλων ἁψάμενος, ἔχεις ἔθνος τοσοῦτον εὔιππον εὔοπλον μηδὲ πεζὸν ζημιωθεὶς μαχητήν. οὕτω μάχην ὠδίνεις καὶ γεννᾷς τρόπαιον, οὕτω πόλεμον διώκεις καὶ νίκη σοι συναντᾷ· μόνῳ γὰρ τῷ δούπῳ τῶν ὅπλων τοὺς πολεμίους καταβροντῶν πρὸ τῶν ποδῶν ἔχεις προκυλινδουμένους καί σοι παραχωροῦντας τῶν πόλεων.

22. Ὦ τρόπαιον τοῦτο θεῖον, ὅταν οὐ λύθρῳ μο⟨λύ⟩νεται· ὦ φιλάνθρωπος νίκη συντηροῦσα τοὺς στρατιώτας μηδὲ τὰς πόλεις ἐκτρίβουσα· ὦ νίκη

1 ἐθέλῃς] κ ῶ δ. ἐθέλεις || ⟨π⟩αρα(δῷς)] συμπλ. τόπου τεσσάρων στοιχ. διατρήτου. 6 κείσονται] Kurtz· κ ῶ δ. κείττονται || λακτίζειν πρὸς κέντρα] πρβλ. Corpus paroem. graec., τ. 1, σ. 148, 301. τ. 2, σ. 100.379, 628. 8 πό⟨λε⟩ως] συμπλ. λέξεως ἐφθαρμένης.

τῆς ποιητικῆς ὑπερτέρα δόξης καὶ τὸ ἑτεραλκὲς οὐκ ἔχουσα. εἰ δὲ καὶ ὁ μέχρι σοῦ γενναῖος καὶ περιώνυμος Μακεδὼν νικᾶν οὕτως ἠπίστατο, οὐκ ἂν τὰ λαμπρὰ Θηβαίων τείχη κατέπιπτε καὶ μεγάλη πόλις οὕτω κατέσκαπτο· νῦν δὲ καὶ Ξέρξης τὰς λαμπρὰς Ἀθήνας ἐπίμπρα, τὰς τῶν τριακοσίων ἀριστείας μὴ φέρων καὶ τοὺς πεσόντας αὐτῷ στρατιώτας ἐκ τῆς πυρκαϊᾶς τάχα παραμυθούμενος. καὶ Ἀλέξανδρος ἐμίσει Θηβαίους, ὅτι μαχόμενον ἔβαλλον, ἵνα μὴ Τροίαν λέγω πόλιν ἐκείνην, τῆς Ὁμηρικῆς δέλτου τὸ περιλάλημα, ᾗ κατάρχει μὲν πολέμου τὸ Πανελλήνιον Ἑλένην οὐκ ἀποδιδούσῃ μηδὲ παραιτουμένῃ τὸν πόλεμον, εἶτα ἐπὶ τοῖς πεσοῦσιν ἀριστεῦσιν ἀγανακτεῖ καὶ μετὰ τὴν νίκην κατασκάπτει τὴν πόλιν καὶ κατασφάττει τοὺς ὄχλους τῶν ἀριστέων ἀντίποινα· εἰ δὲ φοβεροὶ τοῖς πολέμοις καὶ πρὸ τῶν ἔργων ἐδόκουν, ἦν ἂν ἔτι Τροία καὶ τῇ ἐμῇ πατρίδι τὰ θαυμαστὰ τείχη παρέμεινε καὶ χρυσὸς τοῖς Ἀθηναίοις περιεμάρμαιρε τὴν ἀκρόπολιν.

23. Τοῦτο μὲν οὖν σοι τοιοῦτον, ὦ βασιλεῦ, ὁ δὲ λόγος εἰ μὴ τὸν κόρον ὑπώπτευε (μᾶλλον δὲ κόρος μὲν τῶν σῶν τροπαίων ὥσπερ οὐκ αὐτὸν ἔχει τὸν λόγον, οὕτως οὐδ' αὖ τοὺς ἀκούοντας· δέος δὲ μὴ τῆς ἡμέρας ἐπιλιπούσης τὰ νεώτερα τῶν ἀριστευμάτων ἢ καὶ καινότερα ἔξω μείνῃ τοῦ καταλόγου), εἶχεν ἂν ἔτι περὶ τὴν Ἀντιόχου καὶ τῷ λαμπρῷ θεάτρῳ σου συνεπόμπευεν, ὃ ἐτέλεις εἰσελαύνων ἐπὶ τὴν πόλιν παντὸς τοῦ πλήθους πρὸ τῶν τειχέων καὶ τῶν πυλῶν ἐκχυθέντων σοι, ὁπότε πᾶσαν ὑπερβάλλων λαμπρότητα ἑνὸς ἐξείχου τοῦ παραδείγματος. τὰ σεμνά σου συνάπτων τοῖς τοῦ Χριστοῦ, ὥσπερ ἐκεῖνος νικητής τε εἰσῄει τὴν Παλαιστίνην ἐπὶ τῆς ὄνου μηδὲ πολέμου γευσάμενος καὶ οἱ χιτῶνας ὑποστρωννύντες τὰ πλήθη καὶ κλάδους τῶν φυτῶν ἐπισείοντες τὸ "Ὡσαννὰ τῷ σωτῆρι" θεοπρεπῶς ἀνεκραύγαζον, οὕτως ἄρα δὴ καί σε ἔφερέ τε μόνος ὁ ἵππος τὸ τῶν τροπαίων ὕψος ὑποτυπουμένης τῆς ἀναβάσεως, καὶ κατὰ γένος καὶ φρήτρας Ἀντιοχεῖς προπομπεύοντες ἐν χερσὶ τοὺς κλάδους καὶ τοὺς ὕμνους εἶχον ἐν στόμασι καὶ ὁ θαυμαστὸς ἐπὶ τούτοις ὕμνος τῶν παίδων ὁ πάλαι τῷ Χριστῷ προσᾳδόμενος. οἷον δὲ ἄρα ἦν σοι τῆς ὁδοῦ καὶ τὸ πάρεργον; δέχεταί σου τὴν φήμην ἐκεῖθεν ἡ Δαμασκός, φρίττει σε μακρόθεν τὸ Χάλεπ, ὥσπερ ἀμέλει πάλαι καὶ τὸν Ἰσραὴλ στρατηγὸν ἠρέμα τῶν τῆς Παλαιστίνης ὅρων δρασσόμενον καὶ διὰ λαμπρῶν ἐρχόμενον τῶν τροπαίων. πόρρωθεν αἱ τῶν Χαναναίων πόλεις ὑπέφριττον. δῶρά σοι τοίνυν ἐκεῖθεν συμπεφυρμένα τοῖς δάκρυσι καὶ μακραὶ παρακλήσεις καὶ τὰ ἐθελοδουλείας χειρόγραφα καὶ ἵνα σοι μέχρι καὶ ἐπὶ τούτους ἡ τοῦ Χριστοῦ εἰκὼν παραμείνῃ, ἣν σοι δεδώκαμεν ἄνωθεν, τέως μέν σοι δῶρα τῷ ἡμετέρῳ βασιλεῖ καὶ βασιλεῖς Ἀράβων προσάγουσι, τέως δὲ καὶ τοὺς πάλαι παρ' αὐτοῖς κατόχους πεπεδημένους χριστιανούς, οὓς ἐκ μακροῦ τοῖς τάφοις ζῶντας ὑπέχωσαν, τῶν δεσμῶν ὑπεκλύεις καὶ ὑπεξάγεις τῶν τάφων καὶ ὑποζωγραφεῖς τὴν ἀνάστασιν.

15 ὃ] κ ῶ δ. ὃν. 18/21 συνάπτων—ἀνεκραύγαζον] πρβλ. Ματθ. κα', 1—11. Μάρκ. ια', 1—11. Ἰωάν. ιβ, 1—15. 22 φρήτρας] Kurtz, κ ῶ δ. φήτρας 28 ὕμνος τῶν παίδων] πρβλ. Ματθ. κα', 15—16. 31/32 τὸν Ἰσραὴλ — τροπαίων] πρβλ. Κριτ. ζ', 15 κέ.

8 κ ῶ δ. ἑλλένην. 31 στρατηγών. 31 δρασόμενον.

24. Ὦ πηλίκοις τεραστίοις οὐκ ἐγχορεύειν δύναμαι πομπικώτερον, οὐδ' ἐπικοσμεῖν μου τοὺς λόγους ἐς ὅσον ἄρα καὶ βούλομαι· ἀλλ' ὁ καιρὸς τυραννεῖ μου τὸν πόθον ἐπιτροχάζειν ὥσπερ ἐγκελευόμενος. ὡς γοῦν καλῶς εἶχέ σοι ταῦτα καὶ ἐπανήκειν ἔδει τὸν ἀθλητήν, τὰς μὲν πομπὰς καὶ τὰς τελετὰς καὶ τοὺς κρότους, οὓς ἡ ἐνεγκαμένη πόλις καὶ ἐπὶ τοὺς ἄθλους τούτους προηκαμένη νικητὴν ὑποδεχομένη φιλοτίμως ἐστεφανώσατο. ἀλλὰ τί δεῖ περὶ ταῦτα τρίβειν τὸν λόγον ἑτέροις ὅσοις ἀνθυφελκόμενον; τέως δ' αὖ ἀλλ' ἐπανήκων τῇ σῇ πόλει τὴν ἐπιτιμωτέραν ἐζήτεις ποθῶν ὁμοῦ καὶ ποθούμενος καὶ ταχὺς ἐπιστῆναι θέλων τοῖς ἐρασταῖς· καὶ ὡς ἐδόκει σοι χωρεῖν διὰ τῆς Περσίδος, Πέρσαις μὲν οὐκ ἦν τὸ πρᾶγμα πρὸς τρόπου καί σοι συχνὰ τῷ τότε διεπρεσβεύοντο τὴν γῆν αὐτῶν μὴ πατεῖν, μὴ παρασύρῃ καὶ τὸν χοῦν τὰ στρατεύματα, ὥσπερ ἀμέλει καὶ οἱ παρὰ τῷ Εὐαγγελίῳ Γεργεσηνοὶ πέμψαντές φησι τὸν Ἰησοῦν παρεκάλουν πόρρω τῆς γῆς γενέσθαι τῆς κατ' αὐτούς, τὰ τῶν θαυμάτων πλήθη μὴ στέγοντες. βάρβαροι μὲν οὖν σου καὶ τὰ πλήθη μὴ χωροῦντες καὶ δ(εδ)ιττόμενοι τὰ τεράστια παρῃτοῦντο τὴν ὄψιν καὶ ἀποφράττειν τ(ὰς) ὁ(δ)οὺς ἤθελον, σὺ δὲ (το)ύτοις προσχωρεῖς καὶ μὴ βουλομένοις καὶ διὰ μέσων βαίνεις αὐτῶν, ἀστραπαῖος ἐπιπίπτων καὶ καταπλήττων ἐκ μόνης ὄψεως, μᾶλλον δὲ τὸ μὲν τῆς ἀστραπῆς ἀναβεβλήσθω τέως παράδειγμα καὶ ὅσα φοβερὰ τὸν τοῦ πολέμου χρόνον ἀνεμενέτωσαν.

25. Σοὶ δὲ τότε τὰ πρὸς τοὺς Πέρσας ἦσαν εἰρηνικὰ καί γ' ἐμιμήθης τὸν ποταμὸν Ἀλφειὸν γαληνῷ τῷ ῥοθίῳ καὶ διειδεῖ καὶ γλυκάζοντι διὰ τῶν ἁλμυρῶν ἐξ ἀπιστίας ἐθνῶν ἐπὶ τὴν φίλην ῥέων πηγήν, τὴν καθ' ἡμᾶς λέγω πόλιν, ἣν καὶ πηγὴν τῶν ἀγαθῶν θαρρούντως καλῶ. εἰ γὰρ καὶ τοῖς βαρβάροις τὰ πρῶτα πρὸς συμφορὰν ἐτελεύτησεν, ὅτι τὰς σφῶν ἀμπέλους

19 Εὐαγγελίῳ] πρβλ. Ματθ. η', 28—29. Μάρκ. ε', 1—10. || δ(εδ)ιττόμενοι] τόπος διάτρητος δύο στοιχείων. 22 τὰ πλήθη μὴ] ὧδε λήγει τὸ 108-ον φύλλον, τὸ δὲ λοιπὸν κείμενον ἐπαναλαμβάνεται ἀπὸ φ. 105α. 23 (τὰς) ὁ(δ)οὺς, (το)ύτοις] συμπλ. τόπων διατρήτων. 28 γ' ἐμιμήθης?] ἐν τῷ κώδικι κ α ί γ ε μ ι σ θ ῆ! 30 πηγὴν] κ ῶ δ. πογὴν.

4 βασιλεῖ καὶ βασιλεῖ, βασιλεῖς ἀρράβων.

κομώσας καὶ κυπριζούσας ἤδη τοῖς βότρυσι καὶ τὰς χώρας λευκανθιζούσας καὶ τοὺς καρποὺς διδούσας ταῖς ἅλωσιν ἡ πολλή σου τῶν στρατευμάτων ἵππος συνεπάτησε καὶ κατενεμήσατο, ⟨ὡς⟩ λιμὸν τοῖς ταλαιπώροις σχεδιασθῆναι δίχα χαλάζης καὶ βρούχου καὶ τῶν λοιπῶν φοβερωτέρων θεοῦ. ἀλλὰ τὸ μὲν τῆς ἀνάγκης ἦν· οὐ γὰρ Βελερεφόντας εἶχες τοὺς στρατιώτας, ἵνα ὑπὲρ γῆν πτερωτοῖς τοῖς ἵπποις ἐλαφριζόμενοι φέρωνται, καὶ δέον γῆν πατεῖν τὰ λοιπὰ τῷ ἱππέων δοτέον πλήθει, ὃ καὶ αὐτὸ μεγάλῳ κατὰ σὲ βασιλεῖ πάντως ἀκόλουθον· καὶ γὰρ οὐδ' ὑπὲρ τὴν χρείαν ἦσαν τῶν ἵππων. καίπερ πολλὰ τῶν Περσῶν ὄντα γεώργια ἵν' ἐς τὴν τῆς τρυφῆς ὕβριν ταῦτα κατακενώσωμεν, ἀλλὰ τοσαύταις μυριάσι τῶν ἵππων μόλις πρὸς χρείαν ἐξήρκεσαν. σοὶ δ' ἐξὸν καὶ ποίμνας καταθοινῆσθαι καὶ ἀγέλας ἐλαύνειν καὶ τὰ λοιπὰ προστιθέναι, ἃ καὶ γῆν παριόντες οἰκείαν οἱ στρατιῶται νεανιεύονται, ἀλλὰ μικροῦ καὶ πεινῶντας ἐξάγεις τοὺς στρατιώτας καί σοι διαγογγύζοντας, οὐχ ὅτι κατὰ τοὺς Ἰσραηλίτας τῶν ἀναγκαίων ἐλείποντο, ἀλλ' ὅτι γε πολλῶν καὶ ὑπὲρ τὰ ἀναγκαῖα παρόντων αὐτοὶ κατατρυφᾶν ἐκωλύοντο. οὕτως ἐκήδου τῶν Βαρβάρων, οὕτως ἀψοφητὶ τούτους ἤθελες (ὃ δὴ λέγεται) παρελθεῖν.

26. Πλὴν ἀλλὰ μέγα σοι κἀνταῦθα τῆς ὁδοῦ ταύτης τὸ πάρεργον. ὁρᾷς τὰ πρόβατα τῆς μάνδρας κυρίου, ὧν οἱ βαρεῖς λύκοι κατεκυρίευσαν, καὶ σποδοειδῆ μὲν ἦσαν καὶ ῥαντὰ καὶ ποικίλα καὶ ὅλως τὴν ποιμαντικὴν Ἰακὼβ τοῦ πατριάρχου φιλοτεχνίαν ἐμφαίνοντα, ταῖς γε μὴν τοῦ Λάβαν μάνδραις τέως ἐνεσηκάζοντο· καί σοι μὲν πάλαι τῶν τοιούτων προβάτων ἔμελεν, ἵνα μὴ τοῖς κακίστοις λύκοις ἐπαναφύρωνται· αὐτὰ δέ σε τὸν ποιμένα τὸν μέγαν ἰδόντα μετὰ τῆς ποιμαντικῆς παροδεύοντα βακτηρίας, ἣν σοι θεὸς αὐτὸς ἐνεχείρισε, τέως μέντοι τῶν τοῦ Δαυὶδ ἐκεῖνα βοῶσιν· "ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἐπταπλασίως εἰς τὸν κόλπον αὐτῶν· ἡμεῖς λαός σου καὶ πρόβατα νομῆς σου· καὶ πρόσσχες ὁ ποιμαίνων τὸν Ἰσραήλ, ὁ ὁδηγῶν τὸν Ἰωσὴφ ὡσεὶ πρόβατον". τέως δὲ καὶ τὴν τοῦ Ἰακὼβ ζητοῦσι ποιμαντικὴν τὰ Ἰακὼβ ἐπίσημα πρόβατα καὶ τοὺς φύλακας κύνας ἐπιποθοῦσιν ἱκετικὸν προσβληχόμενα· μύθοις μὲν γὰρ ἐδόκει πάλαι καὶ ποιοῦσι τοὺς λύκους κατασοφιζομένους τὰ πρόβατα καὶ ἀπελαύνουσιν οἱ λύκοι τοὺς κύνας καὶ ἐν ἠρεμίᾳ διασπαράτ-

3 ⟨ὡς⟩] προσθήκη ἡμετερα. 4 βρούχου] κ ῶ δ. βροῦχον. 12 καταθοινῆσθαι] κ ῶ δ. καταθοινεῖσθαι. 19 τὰ πρόβατα — λύκοι] πρβλ. Πράξ. κ', 29. 21 φιλοτεχνίαν] κ ῶ δ. φιλοτεχνίας || Λάβαν μάνδραις] πρβλ. Γεν. κδ', 35. 26 Δαυὶδ] πρβλ. Ψαλμ. οη', 12—13. οθ', 2. 32 πρόβατα — κύνας] πρβλ. Αἰσώπ. μῦθ. 298 Halm.

24 μέγα. 25 ἐνεχείρησε. 27 πρόσχες.

τουσί γε τὰ πρόβατα· τὸν δὲ μῦθον οἱ Πέρσαι τοῦτον ἤγαγον εἰς ἀλήθειαν καὶ τοὺς πνευματικοὺς κύνας, τοὺς ἀγρύπνους τῆς τῶν χριστιανῶν ποίμνης φύλακας, ἐκ τῶν κατ' αὐτοὺς ποιμνίων κακομηχάνως ἐλάσαντες κατορχοῦνται τῆς ἐρημίας καὶ τὰ Χριστοῦ σπαράττουσι πρόβατα. τότε μὲν οὖν τοῦ πυρός σοι τῆς εὐσεβείας αὖθις ἀνακαχλάσαντος καὶ ὑπερεκχεῖσθαι ζητοῦντος, ἵνα τοὺς ἀσεβεῖς καταφάγηται, τέως μὲν ἐπέχεις τὰς φλόγας καὶ ζητῶν ἐπιτήδειον, πείθεις δὲ τοὺς Βαρβάρους χριστιανοῖς ἀνεῖναι τὰς βίας καὶ χώραν σφίσι δοῦναι πλατεῖαν εἰς τὸ παρρησιάζεσθαι τὴν εὐσέβειαν καὶ τοὺς πνευματικοὺς πολιούχους ἑκάστης δέξασθαι πόλεως. ἐδόκει ταῦτα καὶ νυμφοστολεῖς τὰς Ἐκκλησίας πάλιν θεοῦ καὶ φιλοχρινεῖς τοὺς νυμφίους, ἵνα μὴ τὰ τῶν γάμων ὑβρίσωσι· καὶ χήρας γαμίζεις οὐ νέας, ὡς ἡ τοῦ ἀποστόλου θέλει διάταξις, ἀλλ' ἐκ μακροῦ χηρευούσας καὶ τῶν νυμφίων τρυχομένας τοῖς ἔρωσι. καὶ νῦν αἱ τῆς Ἑῴας Ἐκκλησίαι πάλιν λευχειμονοῦσι, τῶν χηρικῶν ἀμφίων ἀπεκδυσάμεναι τὴν σκοτόμαιναν, καὶ περιβάλλουσι τοὺς νυμφίους καὶ ᾄδουσι τοὺς ἐπιγαμίους καὶ τὰ τέκνα παραμυθοῦνται καὶ ⟨πάν⟩τας αὖ⟨ται⟩ ἔχουσι πάλιν καὶ τῶν ἐπιγαμίων ᾀσμάτων ὁ βασιλεὺς πάντως ὑπόθε⟨σις⟩.

27. Ἀλλ' ὦ τοῦ τάχους τῶν ἐς ἀεὶ δρόμων ⟨καὶ⟩ τῆς ἀπαύστου καὶ φορᾶς καὶ κινήσεως· ὑπὲρ τὰς ἵππους Εὐμήλου καὶ οἱ ἵπποι σου καὶ οἱ δρόμοι σου καὶ τὸν πτερωτὸν ὑπερφαίνεις Περσέα, πλὴν ὅσον οὐκ εἰς αἰθέρα θέλεις μετεωρίζεσθαι οὐδὲ πτερῶν προσθήκῃ τὸν ἄνθρωπον παραψεύδεσθαι, ἀλλὰ φύσεως τάχει καὶ προθυμίᾳ γνώμης ὑπελαφρίζεσθαι. θᾶττόν τις ἴδῃ τὸν ἥλιον ἢ σε τοῦ δρόμου παυσάμενον· οὕτως ἀεικίνητος εἶ, εἰ μὲν βούλοιτό τις λέγειν, ὡς αὐτὸς ἥλιος, εἰ δέ τις αἱροῖτο, καὶ ὡς πάντων ὑπερηρμένος καὶ ἀληθῶς αἰθέριος ἢ ἐμπύριος· οὕτω γάρ που καὶ ὁ δαιμόνιος Ἀριστοτέλης τὸ τοῦ αἰθέρος ἔτυμον παραδίδωσιν. ἄρτι γὰρ ἐν καλῷ μένειν οὕτω τὴν καθ' ἡμᾶς Ἀσίαν κατασπαζόμενος ταχὺς ἐπὶ τὰ Θρᾳκικὰ πεδία πάλιν ἀπέπτης καὶ τῆς Εὐρώπης ἔχει σε τὸ μεσαίτατον καὶ κειμένων σοι καὶ ταῦτα τῶν ὅπλων ξύμπας ἐχθρὸς ὑπεκλίνετο καὶ κατατάττεις ἐν βραχεῖ καὶ πόνων ἄτερ τὴν οἰκουμένην τὸ κατὰ πάντων κράτος ἀναδησάμενος. ὦ πηλίκον ἐν τῇ Εὐρώπῃ καὶ οἷόν μοι τὸν κύκλον ἐγύρωσας ἀφ' ἑνός που τῶν τρόπων ὡς ἀπὸ κέντρου τείνας τὰ διαστήματα καὶ σύμπαν ἔθνος δια-

5 ζητοῦντος] κ ῶ δ. ζητοῦντας. 11 ἀποστ.—διάταξις] πρβλ. Τιμ. 1, ε', 11. 15 ⟨πάν⟩τας αὖ⟨ται⟩] τόποι διάτρητοι. 16/17 ὑπόθε⟨σις⟩] τριῶν στοιχ. διατρ. τόπος. 18 ⟨καὶ⟩] συμπ. τόπου διατρ. 19 Εὐμήλου] Kurtz (σὺν Ἰλ. Β 765), κ ῶ δ. εὐομήλου 25/26 Ἀριστοτέλης] πρβλ. περὶ οὐρ. σ. 270ᵃ 20—25. 29 ὑπεκλίνετο] κ ῶ δ. ὑποκλίνετο.

8 σφῆσι. 12 τριχομένας. 13 κ ῶ δ. λευχημονοῦσι.

γράψας ἐσπέριον καὶ τέως εἰς βουλὴν περιαγαγὼν πάντας μίαν, ἵνα σοι πάντες δουλεύσωσιν. οὐκ εἶχες τάχα κέντρα ὁ κύκλος· οὐδὲ γὰρ ὅπλον ἐκίνησας, ἀλλ' ἀψοφητὶ καὶ ἠρέμα πᾶσαν ἑσπέραν ἐδουλαγώγησας.

28. Ὦ καινὸς κύκλος οὗτος, ὃν οὐ τετραγωνίζοντες ματαιοπονοῦσι Περικλεῖς καὶ Ἀντιφῶντες καὶ Βρύσωνες· ἔχει γάρ, ἔχει πάντως καὶ τὸ τετρά- 5
γωνον, ὅσον καὶ ψόγων πάμπαν ἔστιν ἀνώτερον. ἢ πῶς οὐ λίαν ἐπαινετόν, ἂν ἐγὼ μὲν ἐδόκουν ὅτι σοι θήρας μέλει μόνον, σὺ δὲ καὶ τῶν ἐθνῶν ἐκυρίευες, ἂν ἐγὼ μὲν πάταγον ὅπλων καὶ ἀκοντίων δοῦπον ἀνέμενον, ἵν' ἐννοοίμην οὕτω καὶ πόλεμον, σὺ ⟨δὲ⟩ τῇ φήμῃ μόνῃ καταπλήττων εἶχες τὰ ἔθνη χειρούμενος; οἱ μὲν γάρ σοι πυκνὰ περὶ τῆς εἰρήνης ἄλλοθεν ἄλλος 10
ἧκον διαπρεσβεύοντες καὶ δουλείαν ὁμολογοῦντες καί σου τὸν ἔλεον ἐκκαλούμενοι, οἱ δέ σοι καὶ ὡς ἠδικημένοι περὶ τὴν ἀρχὴν προσίασι καὶ κατηγοροῦσι μὲν τῶν ἠδικηκότων καὶ προκαλοῦνταί σου τὴν ῥάβδον ἐπὶ τοὺς ἁμαρτόντας τὴν σωφρονίστριαν· σὺ δὲ διαιτᾷς αὐτοῖς τὰς δίκας πανσόφως καὶ τοὺς τῶν βαρβαρικῶν φρονημάτων ὄχθους διαλεαίνεις καὶ τὰ περὶ τὴν ἀρ- 15
χὴν αὐτοῖς κατατάττεις νομοθετήσας τὸ ἀστασίαστον ἢ καὶ ὡς οἰκέταις δεσπότης ἐγκελευόμενος ἀρχικώτερον, ἵνα σου μὴ τὴν ἀριστουργὸν χεῖρα μόνον εἰδεῖεν, ἀλλὰ καὶ τὴν γλῶτταν μάθωσι τὴν ἐμπύριον, μηδὲ βασιλέα σε μόνον γενναῖον, ἀλλά γε καὶ σοφὸν γνωρίσωσιν αὐτοκράτορα, μηδὲ στρατηγὸν δεξιὸν μόνον, ἀλλὰ καὶ δικαστὴν ἀκριβέστατον. 20

29. Ἀλλ' ὦ ῥεῦμα σοφίας, ὦ ποταμὸς ἀνυπόστατος· μόνον ἐπεμνήσθην ταῦτα καὶ περικλύζομαι, μόνον εἰς νοῦν ἐβαλόμην καὶ παρασύρουσί με τὰ ῥεύματα. ἐπίστασθε οἱ τὸν ποταμὸν περιπλέοντες τοῦτον καὶ τῶν ναμάτων πίνοντες ἀφθονώτερον· ἐπίστασθε τὴν τοῦ βασιλέως σοφίαν οἱ τὸν περὶ αὐτὸν συμπληροῦντες κύκλον καὶ τῆς ἡδίστης γλώττης κατεμφορούμενοι, πῶς 25
μὲν περὶ τὰς διαλέξεις ὑπὲρ τοὺς πάλαι Σέξτους καὶ Πύρρωνας (πλουτεῖ δέ οἱ τὴν πειθανάγκην ὁ λόγος), ὑπὲρ τοὺς ἐκ τοῦ Περιπάτου καὶ τῆς Στοᾶς, καὶ πῶς τὸ παρατυχὸν ἅπαν ποιεῖται λαμπρὰν φιλοσοφίας ὑπόθεσιν, ἂν ψυχῆς ἐπιμνησθῇ, πρῶτα μὲν τὰ Φαίδωνος ἀνακινῶν καὶ Καλλίου καὶ ὅσα οἱ περὶ Σωκράτην περὶ ψυχῆς καὶ τἀγαθοῦ διεξέρχονται, εἶτα δὲ καταλήγων 30
ἐς Μωσέως καὶ τὸ θεοῦ δοξάζων ἐμφύσημα καὶ ἀναβαίνων μὲν εἰς οὐρανὸν μετὰ τοῦ πάλαι κύκλου τῶν φιλοσόφων καὶ διαβαίνων τὰς ζώνας καὶ περι-

6 ὅσον] κ ῶ δ. ὅσω. 8/9 ἐννοοίμην] Kurtz, κ ῶ δ. εὐνοοίμην. 9 ⟨δὲ⟩] τόπος διατρ. 7 ἧκον] κ ῶ δ. ἢ καὶ. 13/14 ἁμαρτόντας] οὕτως ἐν τῷ κώδ. ἴσως ἀπὸ τῆς Ὁμήρου Ἰλ. (Ψ 857) καὶ Αἰσχύλου μετοχῆς ἁ μ α ρ τ ὼ ν (Ἱκέτ. 915. Ἀγαμ. 213).

8 πάτταγον. 13 κ ῶ δ. ἠδικικότων. 26 σέκστους. 27 πιθανάγκην.

θέων τοὺς ἄξονας, ἀλλὰ δὴ καὶ μετὰ τῶν καθ' ἡμᾶς φιλοσόφων τοῦτον διασκεπτόμενος καὶ θεοῦ τιθέμενος ποίημα. γέμει δέ οἱ τὰ πάντα τῶν θείων λόγων καὶ τῶν θειοτέρων δογμάτων καὶ τὸ δικαστικὸν βῆμα καὶ ἡ τράπεζα καὶ ἡ κλίνη καὶ καιρὸς ἅπας καὶ ζωὴ ξύμπασα· καὶ πολυπραγμονεῖ τῆς ἐν
5 Εὐαγγελίοις σοφίας τὰ μυστικώτερα καὶ κρυφιωδέστερα καὶ ἐπὶ γλώττης αὐτῷ τὰ καινὰ τοῦ θείου Παύλου νοήματα καὶ φθάνει τοὺς περὶ λόγους ἀεὶ στρεφομένους λύων αὐτὸς τὸ ἄπορον εὐστοχώτερον καὶ ἀπαυγάζει τὴν ἐγκεκρυμμένην τούτοις σοφίαν καὶ γίνεται κατὰ τοῦτο τὸ μέρος εὐεργετῶν τὸ ὑπήκοον. ὦ βασιλέως καὶ ψυχῆς κηδομένου καὶ χειρὶ μαχομένου καὶ πληττο-
10 μένου τοὺς πόδας καὶ τῇ γλώττῃ σοφίζοντος, (διὰ) πάσης τῆς διαρτίας τοὺς ὑπηκόους ὀλβίζοντος.

30. Ἀλλὰ τί μοι κα — — — — — — — πολέμους ἀνανοῇ καὶ πάλιν; μὴ βαρβάρων ἐμνήσθης καὶ διασκέπτῃ τὴν συμβολὴν καὶ τὴν ἐκδρομὴν κατὰ ⟨νοῦν⟩ βάλλεις καὶ φαντάζῃ τὴν συμπλοκήν; ποῖ ποτε ἄρα γε προ-
15 βήσῃ; τί δέ σοι πέρας ἔσται τῶν δρόμων; ἢ καὶ ὑψοῦ θέλεις ἀνερειφθῆναι, ἵνα μὴ ὀφθαλμούς τις αἴρειν ἔχῃ πρός σε, μηδ' ἴκταρ (ὅ φασι) βάλλειν δύναιτο, μικρὸν ὅσον καὶ τὰ πάντα κατεργασάμενον; ἐπιλείψει σε τὸ ἔργον, ὦ βασιλεῦ, καὶ ὁ πόλεμος καὶ ἐν εἰρήνῃ βαθείᾳ καθίσεις πᾶσαν ἑλὼν τὴν ὑφήλιον, πράγματά τε σχοῖεν οἱ σιδηρέες καὶ οἱ χαλκεῖς, οἳ περὶ τοὺς ῥαιστῆ-
20 ρας ἔχουσι καὶ τοὺς ἄκμονας, (τοῦτ' ἐκεῖνο τὸ τοῦ προφήτου) εἰς δρεπάνας τὰ ὅπλα μεταχαλκεύοντες καὶ μεταποιοῦντες τὰς ζιβύνας εἰς ἄροτρα. τί γὰρ δεῖ καὶ ὅπλων, ὅταν οὐ πάρεισι πόλεμοι; τί δὲ καὶ δεῖ καὶ πολέμων, ὅταν οὐδεὶς ὁ μαχόμενος; εἶεν, ἀλλ' ἐπὶ τούτοις οὐδὲ κομπάζεις, οὐδὲ τὸ τηλικοῦτον τῆς μοναρχίας χρῆμα τὸ σὸν ἐτύφωσε φρόνημα. Βαρβάρων ταῦτα καὶ Μα-
25 κεδόνων· αἰνίττομαί σοι τὸν Φίλιππον, ὃς πολλοῦ ἂν ἄξιος ἦν, ἐὰν ἐπὶ πολλοῖς καὶ γενναίοις ἐμεγαλαύχει τοῖς κατορθώμασι, νῦν δὲ ἀλλὰ μίαν τὴν ἐν Χαιρωνείᾳ κατ' Ἀθηναίων μάχην κρατήσας καὶ τῷ τροπαίῳ καταστρατηγηθεὶς ἔξω γέγονεν ἑαυτοῦ καὶ οὐκέτι γε εἶναι ἄνθρωπος ᾤετο. ἀμέλει τοι καὶ παῖδα ἑαυτῷ ἐπιστήσας ἑκάστης ἕω ἐπιλέγειν ἐκέλευε· " Φίλιππε, φρόνει
30 θνητὸς ὤν ", καὶ οὕτως ἐσωφρονίζετο ἀτεχνῶς οὕτως φάναι παιδαγωγούμε-

10 τὸ σ ο φ ί ζ ο ν τ ο ς ἄρχεται ἀπο τοῦ φ. 106α, τὸ δὲ μετὰ τὴν συλλαβὴν κ α τόπος ἐφθαρμένος 20—22 στοιχείων, ὧν τὸ κείμενον ἐκ συγκολλήσεως ἀποτετύπωται ἀντιστρόφως ἐπὶ τοῦ φ. 105β, νῦν δ' ὅμως ἐμοὶ δυσανάγνωστον || ⟨διὰ⟩] συμπλ. τόπου διατρ. τριῶν στοιχ. 14 ⟨νοῦν⟩] συμπλήρωσις τόπου 4 στοιχ. διατρήτου, ὧν τοῦ πρώτου, τοῦ ν, τὸ εὐθὺ σκέλος διακρίνεται || γε] κ ῶ δ. τι. 15πέρας] κ ῶ δ. τέρας || ἀνερρειφθῆναι] Kurtz, κ ῶ δ. ἀναρειφθῆναι. 16 ἴκταρ—βάλλειν] πρβλ. Αἰσχύλου Εὐμ. 998. 18/19 ὑφήλιον] κ ῶ δ. ὑφ' ἥλιον. 19 οἳ] κ ῶ δ. οἱ. 20 προφήτου] πρβλ. Ἡσ. β'. 4.

νος· " Ἐπὶ τίνι καταστέλλεις τὸν τῦφον, Φίλιππε; ἐπὶ τίνι δέδιας; μὴ λάθοιο σεαυτοῦ καὶ νομίσεις μένειν ἀθάνατος, ὅτι τοῖς Ἀθηναίοις πονήρως ἔχουσι καὶ ἀρρώστως καὶ γνώ(μ)η δεινοῦ σοφιστοῦ μᾶλλον ἢ ῥώμη καὶ θάρσει κατὰ σοῦ κινηθεῖσι γέγονας δυσαντίβλεπτος. ἀλλ' ὁ ἐμὸς βασιλεὺς πάλαι μὲν ἔχει τὰ σὰ καὶ ὅσα ἐν μέρει παιδιᾶς αὐτοῖς κέχρηται, ἔχει δέ σοι καὶ τὰ τοῦ σοῦ παιδὸς Ἀλεξάνδρου, ὃς ὅλοις ὑπερβέβη(κε) μέτροις τὰ σά, προσελάβετο δὲ καὶ ὅσα οὐδ' ὄναρ ὑμῖν ἐφαντάσθησαν. τί γὰρ ὑμῖν τῶν ὑπὲρ τὸν Ἰόνιον ὑπὸ χεῖρας ἦλθε; τί δὲ τῶν ἀνὰ Λιβύην; καὶ ὅμως οἶδε μετριοφρονεῖν εἴπερ τις τῶν πώποτε βασιλέων. καὶ ὁ μνήμων ἀπέστη παῖς ".

31. Ἀλλ' ἐπὶ τούτοις αὐτοῖς (ὦ δίκη καὶ νόμοι καὶ ἀρετὴ βασιλέως) ζητῶ καὶ τὸν σκύμνον ἰδεῖν τῷ λέοντι παρασκαίροντα· ζηλοτυπῶ καὶ τὸν καλὸν ἀετὸν ἔχειν καὶ τὸν ἀετιδέα προσιπτάμενον· ἀλλ' οἴεσθε λέοντός μοι μέλον εἶναι καὶ ἀετοῦ; ἄρρενα παῖδα τοῦ βασιλέως ζ(ήτει), ὀξὺν ἀπὸ τοῦ ταχέος οὕτω καὶ ἀπὸ τοῦ γενναίου γεννάδα, διάδοχον τοῦ τοσούτου κράτους, εἰκόνα τῶν ἀρετῶν τῶν τοσούτων. μή μοι μέλλε περὶ τὸν γάμον, ὦ βασιλεῦ· κοινὸς ἐγώ σοι πρέσβυς τῆς οἰκουμένης ὅλης παρίσταμαι· παγκόσμιόν σοι τοῦτον τὸν ἱκετήριον ὑπὲρ κοινῆς εὐεργεσίας προβάλλομαι. ἄγε μοι τὴν βασιλίδα, γίνου νυμφίος, ἐγὼ σκευάσομαι τὸν ἐπιθαλάμιον· τίκτε μοι τὸν βασιλέα, ἐγώ σοι καὶ τῶν γενεθλίων λόγων ἐπιμελήσομαι. τάχα μὲν οὖν ὁ παῖς αὐξηθείς σοι καὶ τὰ ὑπερφυῆ σου βλέπων ἀνδραγαθήματα ἐκεῖνο τοῦτο τοῦ Ἀλεξάνδρου πείσεταί τε καὶ φθέγξεται· ἀνιάσεται μὲν ὡς εἰκός, ἐρεῖ δὲ πρὸς τοὺς ἥλικας· " πάντα προλήψεται ὁ πατήρ, ἐμοὶ δ' οὐδὲν ἀπολείψεται μέγα καὶ λαμπρὸν ἔργον μεθ' ὑμῶν ἐπιδείξασθαι ". κλαύσονται δὲ πικρὸν καὶ οἱ Βάρβαροι καὶ τοὺς μυθικοὺς βατράχους τάχα μιμήσονται· ὥσπερ ἐκεῖνοι γοερὸν ἀνωδύραντο μέλλειν ἤδη τεκεῖν ἀκηκοότες τὸν ἥλιον, ὃς καὶ δίχα τῶν παίδων καλῶς αὐτοῖς τὰ τενάγη καὶ τὰς λίμνας κατέφρυγεν, οὕτω δὴ μόνον ἐπὶ τῶν ὅπλων βλέποντες ἔστεξαν. ἀλλ' ἐμοὶ Βαρβάρων μὲν οὔτι μέλον, ὑπὸ πλειόνων τῶν ἡλίων καταφρυγέσθωσαν, τῷ δὲ σῷ παιδὶ καὶ ἡμετέρῳ μετὰ σὲ βασιλεῖ ἀρκέσει πρὸς παραμυθίαν τὸ τοῦ πατρὸς μόνον φέρειν τὰ δευτερεῖα τοὺς λοιποὺς τῶν βασιλέων ὑπερελαύνοντι.

32. Ταυτὶ μὲν οὖν οὕτως εἴη καὶ ἀποτέκοις ἡμῖν καὶ χρίσειες τὸν βασιλέα καὶ εἰκόνα λίποις τῶν ἀρετῶν σου χαρίεσσαν, ὁ δ' ἐμὸς οὗτος λόγος, εἰ καὶ αὐχμηρὸς παρέστηκέ σοι καὶ ἀκαλλής, μὴ διεσκευασμένος πρὸς τὸ

12 ἀετιδέα] κ ὦ δ. ἀετιδῆν. 13 ⟨ζήτει⟩ συμπλ. Kurtz.

16 πρέσβις.

ἁβρότερον μηδὲ λαμπρὸν ἀπὸ τοῦ τῆς σοφίας λειμῶνος ἐξηρτυμένος τὸν στέφανον, καὶ ὑποπτήσειν ἔδει μάλιστα τοῦτον βασιλεῖ λαμπροτάτῳ . . . . . γχρ. . . . οὕτω προσιόντα καὶ ὡς εἰπεῖν ἀστεφάνωτον, ἀλλὰ παρρησιάσε⟨ταί⟩ σοι καὶ τοῦτο. ⟨διὸ καὶ⟩ ἡμῖν, ὦ βασιλεῦ, ἄνες τὸ σὸν βῆμα καὶ ἀνάπετασον ἡμῖν τὰ βασίλεια, δὸς χώραν τοῦ λέγειν ἀμίσθῳ ῥήτορι, μὴ ἀποκλείσῃς γλῶσσαν εὐγνώμονα· ἕως ἐπιστοιβάζεις τὰ τρόπαια, προστίθει καὶ τοὺς συγγράφοντας· ἕως οὐ λήγεις τροπαιουχῶν, μηδ' ἀποπέμπῃ τοὺς ῥήτορας. ἔχεις σὺ χεῖρας, ἔχομεν καὶ ἡμεῖς γλῶτταν· θέλεις αὐτὸς ἀριστεύειν, ζητοῦσι καὶ οἱ ῥήτορες φθέγγεσθαι. πρόσθες καὶ ἡμᾶς τῷ περὶ σὲ τούτῳ κύκλῳ, τοὺς καὶ πρὸ τῆς προσθήκης ἀνακηρύττοντας. καὶ προστεθείης μοι καὶ σύ, βασιλεῦ, τῷ περὶ τὸν ἄνω βασιλέα συντάγματι μετὰ τὴν ὧδε πολυχρόνιον βίωσιν.

3/4 τόπος εἰκοσί που στοιχείων ἐφθαρμένος ὑφ' ὕδατος καὶ προστριβῆς ‖ παρρησιάσε⟨ταί⟩ — ⟨διὸ καὶ⟩] συμπληρώσεις τόπων διατρήτων.

Δ΄.

ΕΥΘΥΜΙΟΥ ΤΟΡΝΙΚΗ ΕΜΜΕΤΡΑ.

1.

(Ὠδὴ ἀνεπίγραφος τῷ αὐτοκράτορι Ἰσαακίῳ τῷ Ἀγγέλῳ).

Μουσῶν χορός, συνέλθωμεν, συστήσωμεν χορείαν·
σαλπίσωμεν, σκιρτήσωμεν, ὁμοῦ συνευφρανθῶμεν,
ἐξ Ἑλικῶνος δράμωμεν εἰς Βύζαντος τὴν πόλιν·
ἰδοὺ γὰρ ἄρχει βασιλεὺς τῆς νέας ταύτης Ῥώμης
ὁ παρ' ἡμῖν μουσουργηθεὶς ἐκ βρεφικῶν σπαργάνων
καὶ πρὸς τὸν Ἄρην ἐκδοθεὶς μετὰ τὴν μουσουργίαν,
πρὸς Ἄρην πολεμόκλονον, πρὸς Ἄρην ἀνδροκτόνον,
ἀνδροκτανσίαις χαίροντα βαρβάρων ἀλλοθρόων.
χαρᾶς φορμίσωμεν ᾠδὴν ἐκ μουσικῶν ὀργάνων
καὶ μέλος ᾄσωμεν τερπνὸν αἱ Μοῦσαι κατὰ τέχνην
ἴδιον μέτρον εὔρυθμον ἑκάστη προσφωνοῦσα.
σκιρτήσωμεν, χορεύσωμεν, αἰνέσωμεν ἐμμούσως
τὸν μέγαν Ἰσαάκιον, τὸν αὐτοκρατοροῦντα,
οὗ θέαν, ἦθος, πρόσωπον, ὀμμάτων διττῶν κόρας,
τὰς τοῦ νοός, τὰς τῶν ἐκτός, τοὺς τρόπους, τὰς αἰσθήσεις,
τοὺς πολυτρόπους ἑλιγμούς, τοῦ βίου τὰς αἰσθήσεις
καὶ πᾶν ψυχῆς τὸ κίνημα, τῶν ἔργων τὰς ὀρέξεις
εἰς κάλλος ἀπεξέσαμεν, εἰς πράξεις ἐνάρετους,
εἰς ἔργον ἅπαν ἠθικόν, εἰς ἀριστοπραξίαν
καλλίστοις τιθηνήσασαι μαστοῖς λογοσταλάκτοις·

1 Κώδ. φ. 122β—127β. 6 κ ῶ δ. μουσοργίαν.

ὃν Ἄρης εὗρεν ἔμμουσον, ἄνδρα στερρὸν ἐν λόγοις,
ἀνδρεῖον, ἀκατάπληκτον, γενναῖον ἐν φρονήσει
κ(α)ὶ πᾶσιν ἀριστόβουλον ἀνδράσι βουληφόροις
καὶ περιδέξιον εὐθὺς πρὸς συμπλοκὰς πολέμων
αὐτὸν ἀπετορνώσατο καὶ πρὸς τὰς παρατάξεις,
πρὸς μάχας ἀπαράμιλλον, ἀδάμαντα πρὸς πόνους
καὶ πρὸς βαρβάρους ἐμβριθῆ, πραῦν τοῖς ὑπηκόοις.
ἄρχε δὴ πρώτη τῶν Μουσῶν του μέλους, Καλλιόπη.

ΚΑΛΛΙΟΠΗ

ΗΡΩΙΚΑ.

Οὔποτε τοῖον ἐπήρατον ἀγλαὸν ἔδρακον ἄνδρα
χαρίτεσσι κεκασμένον ἐν δ' ἀρεταῖς περίοπτον,
χρύσεον αὐτομέδοντα, ἐύχροον, ἀγλαόμορφον,
ξανθοκάρηνον, χρυσεοβόστρυχον, λαμπετόωντα,
οὐρανοφοίτην ἠέλιον, γλυκὺ μειδιόωντα,
γηθόσυνον, χαρίεντα, γλυκυφραδέα, μελίγηρυν,
ὡς τόνδ' ἀγγελεπώνυμον Ἰσαάκιον ἄνακτα.
τῷ δ' ἐς ὅλους φίλεον λυκάβαντας συμβιοτεύειν,
ὡς σοφίην Μουσῶν ἀγαθαῖς χάρισι πυκάσαντα
καί τ' Ἄρηος ἄγαλμα καὶ Ἑρμοῦ κόσμον ἐόντα.
τόνδ' ἐγὼ οὐ θανέειν περ ἐέλδομαι ἤματα πάντα
ὡς σοφίης ἕδριν, πτολέμοιό τε ὀκρυόεντος,
τόξων θ' ἱππποσύνης τε φίλης τ' ἀκόρητον Ἐνυοῦς.
ἤνεσε Πάριν Ὅμηρος ἰδὲ ξανθὸν Μενέλαον
κάλλεος εἵνεκα τερπνοῦ μορφῆς τ' ἀγλαϊέσσης,
Νέστορά τ' ἐκθειάσατο εἵνεκα κλυταγορίης,
ἀγάδρομόν τ' Ἀχιλλέα ἠδ' ἀγαθὸν Διομήδην
ὡς πρηστῆρας ἀντιβίοισιν ἀγάσατο πολλά.
ὣς γὰρ ἐγὼν ἀγόρευον Ὁμήρῳ ἠδ' ἐπέτελλον,
τὸν δ' ἀπορῶ, μὰ τὸν ὄμνυμ' ἐνὶ στιχόεσσί τε μέτροις
τέχνῃ ῥητροσύνης, θεσμοῖσί τε φιλοσοφίης
ἀξίως θηεύμεναι ἠέ μιν ὑμναγορῆσαι·
τῷ γὰρ ὅπασσεν ἅπαντα θεὸς... ἄπλετ' ἀγαθά,

21 στερόν. 23 ⟨κα⟩ὶ συμπλ. τόπου διατρ. 43 ἀγλαϊέσσης] Kurtz, κ ῶ δ. ἀγλαέσσης.
51 μεταξὺ τῶν θ ε ὸ ς ἄ π λ ε τ' ὁ Kurtz δείκνυσιν ἔλλειμμα.

σωφροσύνην ἰδὲ σύνεσιν ἀνδρείαν τε θέμιν τε,
δήνεα ῥητροσύνης, σοφίην ἅμα γραμματικήν τε.

ΚΛΕΙΩ

ἐλεγεῖα, ἥτις εὗρεν ἱστορίαν.

Βάζεις νητρεκέως,
πότνια Καλλιόπη,
ἡ Κλειὼ δέ τ' ἐγὼ
τοῖσδ' ἐπιμαρτύρομαι·
οὐδὲ γὰρ ἡμετέροις
ὄμμασιν εἰσέδρακον
ἀνέρα καζόμενον
τοσσατίαις χάρισι.
δεξιὸς ἔστιν ἴδρις
ἡμετέρης σοφίης,
τῇ δ' ἐπὶ καὶ πτολέμου
ἔσχε δαημοσύνην·
θούριος, ὀμβριμόχειρ,
στήμεναι ἀντιμάχοισι,
Ἄρηός τε πάις
κάρτα μυριονίκης.
πάμμεγας οὗτος ἀνὴρ
ἐν μεγαλοφροσύνῃ.
σὺν μεγαλοφροσύνῃ
κτήσατο γηθοσύνην
καί τ' ἀγαθωσύνην
ἤλιθ' ἀπειρεσίην·
ταῖς δ' ἔπι καὶ εἶδους
εὕρατο καλλοσύνην.
κάλλος ἔχει ῥοδόεν,
χιόνεόν τε δέμας,
τῷ συγκρινόμενα
μάργαρα λειπόμενα.
ὄρθιος, εὐμήκης,
εὔσφυρος ἐκτελέθει·
χρύσεος ἀμφὶ κάρη,
ξανθός, ἐυπλόκαμος,
πραῦς ἀκουέμεναι,
ἡδυβόας τε φάναι.
τοῖον ἀπ' ἀρχεγόνων
οὔποτ' ἴδον μερόπων.
ἱστορίην εὗρον
καὶ παρέδωκα βροτοῖς,
ἱστορέωσιν ὅπως
ἠιθέους μέροπας·
ἱστορίη δ' οὔπω
τοῖον ἔλαβε καλόν·
ἀλλά μιν ἱστορέσω
χάρισι καζόμενον,
θάμβος ἔχωσιν ὅπως
ὀψιγόνοι μέροπες.
ᾄδ' ἐγὼ ἡ Κλειὼ
τάδ' ἐλεγεῖα ἔπη,
σὺ δ' ἴθι, Θάλεια,
κόσμον ᾄδουσ' ἕτερον.

ΘΑΛΕΙΑ

ἡμίαμβα, ἥτις εὗρε φυτουργίαν.

Καλῶν τόσων προσόντων,
τίνα πρὸ πάντων ᾄσω;
τί δεύτερον θειάσω,
τί δ' αἰνέσω πύματον;
νοὸς σταθηρότητα,
στερέμνιον φρόνημα,

75 ἔπι] Kurtz, κ ῶ δ. ἔπως 67 ἀντιμάχοις Kurtz, κ ῶ δ. ἀντιμάχοισι. 100 ἐγὼ] ἀγὼ.

βουλῆς λόγον καίριον,
κόσμον σαοφροσύνης,
χειρὸς σθένος τοσοῦτον,
στόματος εὐφράδειαν,
χεῦμα λόγου πολύῤῥουν,
πυρίπνοόν τε γλῶσσαν
πυρὸς μένεος πνείουσαν,
γλυκὺ μέλι στάζουσαν
ὑπέρτερον μέλιτος
Ὑμηττόθεν ῥέοντος,
ἢ στιλπνότητα κάλλους,
εὐκοσμίαν προσώπου,
ἱλαρὰν ὄμματος θέαν,
ὄρθιον ἡλικίαν,
βάδισμα σεμνότατον
καὶ ἦθος ἡδύτατον·
πῶς αἰνέσαι δυνηθῶ
τὸν ἐν τόσαις ἀγαθαῖς
ἐστεμμένον χάρισιν;
ὡς κλυτὸν ἐν ταῖς βουλαῖς,
ὡς στερῤῥὸν ἐν μάχαισιν,
ὡς ἀκαταγώνιστον,
ὡς — — — —,
ὡς βαρβάρων ὄλεθρον,
ὡς ἱππότην δεξιόν,
ὡς ἔγχος ἀγκοινοῦντα,
ὡς ἐν σπάθῃ σθένοντα,
ὡς τόξα τιταίνοντα,
νικῶντα κατάκρας τε
τὸν Ὁμήρου Πάνδαρον
καὶ τὸν Τελαμώνιον
Τεῦκρον ὑπερβαίνοντα;
ὦ κάλλος ἀνίκητον,
ὦ χαρίτων ἄβυσσος,
ἀγαθότητος πηγή,
εὐεργετημάτων τε·
ὦ βαρβάρων φλόγισμα,
Ῥώμης Νέας δρόσος τε.
ἐκπλήττομαι τοῦ κάλλους,
ὑπεράγαμαι καλῶν,
τῶν ἁπλέτων τ' ἀγαθῶν,
ὧνπερ κατακώχιμος
ἔστιν Ἰσαάκιος
Ῥώμης Νέας βασιλεύς,
τῶν Ἀγγέλων βλάστημα.
ἐγὼ Θάλεια Μοῦσα
φυτουργίαν εὑροῦσα,
φυτηκόμοις τε δοῦσα,
τῶν ἀνθέων ἄρχουσα,
τοὺς ἀγαθοὺς ποθοῦσα,
τοῖς δεξιοῖς χαίρουσα,
πάντας καλοὺς φιλοῦσα,
τοὺς βελτίους στέργουσα,
τούτων ὅταν τῶν καλῶν
δυσμὴν βίου σχοίη τις,
ὅταν μόρον λάβῃ τις,
ὅταν νέκυς γένηται,
γαίῃ δ' ὅταν καλυφθῇ,
ἀντὶ νέκυος φυτὸν
θάλλειν ἀναδίδωμι,
μήπως ἀποκρύπτηται
λήθῃ τε μὴ διδῶται
τὸ καλὸν... κτίσιος.
ὅρα τὸν Ὑάκινθον,
τὴν Ἰώ, τὴν Πλάτανον,
τὴν παρθένον Δάφνην τε,
τοῦτ' αὐτὸ καὶ βέλτιον.
μετὰ δὲ μακραίωνα,
μετὰ πολυχρόνιον
εὐτυχέα βίωσιν,

129 κλυτὸν] κ ῶ δ. κλιτὸν. 132 ὡς] στίχος ἀτελής, τοῦ τόπου αὐτοῦ κενοῦ ἀφεθέντος.
171 καλὸν . . . κτίσιος] Kurtz, κ ῶ δ. ἐκτίσιος.

μετὰ τρόπαι' ἄπειρα,
μετ' ἀπλέτους νίκας τε,
μετὰ δὲ βαθύτατον
μετὰ πῖον γῆράς τε,
ἀργυρέην τρίχα τε,
ὅτε φθάσει πρὸς δυσμὰς
ὁ λαμπρὸς ἠέλιος,
ὁ φωσφόρος κτίσιος·
τοῦτ' αὐτὸ καὶ βέλτιον

Μοῦσα δράσω Θάλεια
καὶ φυτὸν ἀειθαλές,
καλὸν φερώνυμόν τε,
ἐν ἄνθεσιν ἀστράπτον,
εὐωδίας ἔμμεστον
καὶ τερπνὸν εἰς ὅρασιν
ἀναθάλαι λειμῶσι
τερπνοῖς παρασκευάσω

ΕΥΤΕΡΠΗ

ἀνακρεόντεια, ⟨ἥτις εὗρεν⟩ ὄργανα μουσικά.

Ἔκαμες, πότνα Θάλεια,
ἐπέεσσιν ἡμιάμβοις
γλυκεραν ὄπα λαλεῦσα,
ἔκαμες τόσα μογεῦσα.
ἔασόν με τὴν Εὐτέρπην
σέο κατόπιν λιγαίνειν,
δονάκων ὅπως εὐτρήτων
ἄπο κροῦμά τι φορμίσω,
λιγυρὸν μέλος τ' ἐπάσω.
ἀδὺ γὰρ ἐγὼ συρίσδω,
τὸ μέτρον τ' Ἀνακρέοντος
ἐς ὕμνους ἄνακτος ᾄσω
μερόπων γῆς Αὐσονίης.

Ἀνακλώμενοι.

Ἐθνοκράτους βασιλεῖς, κλίνατε γόνυ
βασιλῆι μεγάλῳ, κρέσσονι πάντων.

Χαρίτων ταμεῖον ἔστιν,
ἀρετὰς ἔχει τε πάσας,
κρατερὸς μένει πρὸ πάντων,
θεοείκελος τὰ πάντα·

ΕΥΤΕΡΠΗ. ἀνακρεόντεια] κ ῶ δ. Ἐυτρέπη ἀνακρεέντ(ια) || ⟨ἥτις εὗρεν⟩] προσθ. ἡμετ. ἴδε ἐμπροσθεν τὴν ἐπιγραφὴν Θαλείας. 200 Εὐτέρπην] κ ῶ δ. εὐτρέπην· καὶ ἀνωτέρω ἐν τῇ ἐπιγραφῇ Ε ὐ τ ρ έ π η. 203 ἄπο κροῦμά] κ ῶ δ. ἀποκροῦμα. 209 κλίνατε κ ῶ δ. κλίνατα.

νεότητός ἐστιν ἄνθος,
ἐρατὸν φέρει τὸ κάλλος,
πολυήρατον τὸ ἦθος,
ἀκάμας, ἄτρυτος πάνυ,
ἀκατάσχετός τ' ἐν μάχαις,
πολέμου κόρον δ' οὐ κτᾶται.

Κουκούλιοι.

Καὶ ναέται πόλεως, ἔλθετε πάλιν
καὶ χρυσέους στεφάνους πλέξατε τούτῳ.

ἐλατὴρ ὅτι βαρβάρων,
ὑπερηφάνων — — —,
φονικῶν τόσων ἐφάνη,
κύνας οὕτως ὡς λυττῶντας
σοβέων λίθων βολαῖσι,
στιβαράν τε σείων ῥάβδον
νεαρᾶς μάκρυνε Ῥώμης,
ἀμετέτρων πόνων ἐράων,
πολεμεῖν ἄληκτα στέργων
διὰ τὸν πόθον, δι' οἶκτον
μέγαν, ὃν τρέφει πρὸς στῖφος
μερόπων ἅπαν ὑπεῖκον.

Ἀνακλώμενοι.

Τί μάτην, ἀλλόφυλα βάρβαρα ἔθνη,
κύνες ὡς ὑλάετε; φρίξατε πάντα·

στερεὸν φέρει γὰρ ἔγχος,
κλονέει βάρβαρα φῦλα,
ἔθνεα ξίφει δαμάζει,
τὰ βέλεμνα μακρὰ βάλλει.
ὁ πρὸς ὃν βέλος δὲ πέμψει,
μέλεος φέρει τὴν τύχην,
ἄθλιος δ' ὃς ἀντιμάχων
κατέναντι τούτου σταίη·

218 ἄτρυτος] κ ῶ δ. ἄτροτος. 224 μετὰ τὸ ὑ π ε ρ η φ ά ν ω ν τόπος οὕτω κενὸς καὶ ἄγραφος. 226 κύνας οὕτως Kurtz, κῶδ. κύνοις ὥσπερ.

245 κραδίην μέσην γὰρ βάλλει,
⟨νῦν⟩ δ' ὑπάτων τὰ κοῖλα
δολιχῷ ξίφει τιτρώσκει.

Κουκούλιοι.

Τέρπομαι, οἷς ἀγαθοῖς βέβριθεν ἄναξ·
τέρπομαι, ἀλλ' ὑμνέειν οὐ δεδύνημαι·

250 ἀγαθοῖς βρίθει γὰρ τόσσοις,
ὁπόσοις ἄμετρα μέτρα.
ὑμνέειν θέλουσα τοίνυν
πρότερον τίνα θειάσω,
τίνα δεύτερον ἐξείπω,
255 τίνα δ' ὑστάτως ὑμνήσω;
ἀγαθωσύνης γὰρ τόσσης
ἀπορῶ στῖφος λιγαίνειν·
ἀπορῶ, μὰ τόν, θειάσαι.

Ἀνακλώμενοι.

Λύραν, αὐλούς, κιθάρην, κιννύραν εὗρον·
260 γλυκεροῖς ἡδυλάλοις κρούμασι τέρψω,

λύραν ἐν χερσὶ δονεῦσα,
ἀπὸ μουσικῶν δ' ὀργάνων
γλυκερὰς θλίβουσ' ἀοιδάς·
δονάκων γὰρ ἀπ' εὐτρήτων
265 μελιηδέα συρίσδω,
λιγυρὰν ὄπα τε πέμπω.

⟨ΜΕΛΠΟΜΕΝΗ⟩.

Ἰωνικὸν ἀπὸ μείζονος.

Ἡ Μελπομένη δ' αὖθις ἐγὼ σοί, πότνα, συνᾴσω
καὶ λάλον ἀνοίξω στόμα τερπνὸν μέλος ᾄδοισα,
χ' ὡς ἡμέτερον παῖδα κυδαίνοισ' Ἑλικωνίταν
270 χ' ὡς υἱὸν Ἄρηος κεδνὸν ἄλκιμον ἐφυμνεῦσα·
καὶ οὔτε τι μέλποισα λιγυρόν τι μέλος λήξω,
οὔτ' ἂν ἀνανεύσαιμι μελιχρὰν ὄπα λαλεῦσα.

246 ⟨νῦν⟩] συμπλ. ἡμ. ἐφθ. τόπου. 253 πότερον Kurtz, κ ω̃ δ. πότερον. [ΜΕΛΠΟΜΕΝΗ⟩] προσθ. ἡμετ. 268 ᾄδοισα] ἐν τῷ κ ω̃ δ. ᾄδουσα.

Ὠδή.

Τίς τῶν μερόπων ἔδρακε τοῖον πόκα γεννάδαν;
εἴ τις μερόπων ἔδρακεν, ἄειδε ἀληθεύων
275 κοῦρον κεδνὸν ἐν κάλλεϊ, μορφὰν δέ τε πλουτεῦντα
σὺν ἀμερίῳ φωτὶ φαείνοισαν ἀγλαΐῃ.

Παλινῳδία.

Τίς τῶν μερόπων ἔδρακε τοῖον πόκα γεννάδαν;
εἴτις μερόπων ἔδρακεν, ἄειδε ἀληθεύων
ἔθνη ὀλοθρεύοντα, φῦλα βάρβαρ' ἀπολλύντα,
280 ξίφει δέ τ' ἐλάοντα ὁρίων πόλεως ἄπο.

Παλινῳδία.

Τίς τῶν μερόπων ἔδρακε τοῖον πόκα γεννάδαν;
εἴ τις μερόπων ἔδρακεν, ἄειδε ἀληθεύων.

ΤΕΡΨΙΧΟΡΗ.

Ἰωνικὸν ἀπὸ ἐλάττονος, ⟨ἥτις εὗρε⟩ χορείαν.

Ἄδ' ἐγὼ Τερψιχόρα σὸν μέλος ᾄσω λιγέως
μετὰ Μουσῶν γλυκυλάλων χορὸν ἐνστησαμένα·
285 ἀδὺ δ' αὖθις καθάπερ Πρόκνα κατ' ἄλσος μελίσω.
λαλαγεύσω προτέρη δ' ἔξοχα Μουσῶν ἑτέρων·
ἀτὰρ ᾠδὰν λιγύφωνον στόμασι γλυκυλάλοις
Ἑλικω⟨ν⟩ίδες ἄδοισαι ζαθέων ἀρετάων
χαρίτων θ' ὑμναγορήσουσιν ἕκατι πλεόνων·
290 χερὶ χεῖρας δὲ φυεῖσαι χρυσέας ἀρωρίδας (?)
ἐπὶ γαίην ἄμυδις δώσομεν, ἐν δὲ κροτάλοις
ἄπλετον πάταγον ἐνθήσομέν οἱ τερπόμεναι.

ΕΡΑΤΩ.

Χοριαμβικά, ⟨ἥτις εὗρεν⟩ ὄρχησιν.

Τὴν Ἐρατὼ δ' αὖ, Πιερὶς πότνια Τερψιχόρα,
295 δέρκεο λιγυζομέναν, δέρκεό μ' ὀρχουμέναν·
ἄμετρα γὰρ ἡδύνομαι εἵνεκα τῶν χαρίτων
κυδαλίμων τ' ἀρετάων, ὧν βέβριθε ζαθέων
Ἄγγελος Ἰσαάκιος, χρύσεος αὐτοκράτωρ,
ὄλβιος ἠδ' ὀλβοδοτὴρ Αὐσονίης κρατέων.

290 ἀρωρίδας] οὕτως ὁ κῶδιξ. 292 πάταγον] κ ω̃ δ. πάτταγον. 297 κυδαλίμων τ'] κ ω̃ δ. κυδαλιμών τ'.

ΠΟΛΥΜΝΙΑ.

Παιωνικά.

300 Μοῦσα Πολύμνια δέ τ' ἐγὼν ἐφυμνέουσά μιν
κάρτα κυδανῶ ἀμέτερον καθάπερ υἱέα
κεδνότατον ἄλκιμον ἀγάφρονά τε γεννάδαν
γῆς μάκρυνε Ῥωμαΐδος ὅττι ὁρίων ἄπο
καρπὸν ἀπερείσιον ἀεσσίφρονος ἀλαζόνα,
305 αἰὲν ὀλοόφρονα, πονηρότατον αἰόλον.
οὐκ ἀφυὴς μὲν οὐδ' ἀφ' ὑμῶν ἐπλάκη
τῷ βασιλεῖ στέφανος, ὦ συμπαρθένοι·
ὡς ἐξ ἀκηράτων δὲ λειμώνων μες (?)
τὴν ἀσιδηρότμητον αὐχούντων χάριν
310 δρεψάμεναι ξύμπασαν εὐγενῆ χλόην
στέφος συνεπλέξασθε τῷ στεφηφόρῳ.

⟨ΟΥΡΑΝΙΑ⟩.

Ἐξ ἀστέρων χρὴ κἀμὲ τὴν Οὐρανίαν
στέφανον οὐράνιον αὐτῷ συμπλέκειν·
καὶ γὰρ τὸν οὐράνιον ἐν τοῖς πρακτέοις
315 οὐράνιον στέφανον ἁρμόζει φέρειν.
ὁ τῆς Ἀριάδνης μὲν ἀστρῷος κύκλος
ὅλη στέφους ἔστω τις ὑποκειμένη.
τούτῳ προσηρμόσθησαν ἀνθράκων δίκην
ἔνθεν μὲν ἀστὴρ Ἄρεος πυριπνόου,
320 βασιλικῆς ἕξαμμα δεικνὺς ἰσχύος
καὶ τὴν ἀναπόσβεστον ἐν μάχαις φλόγα,
ἣν βαρβάροις ἔθρεψαν ὑπεναντίοις.
Ἑρμῆς δ' ἐκεῖθεν ἄλλος ἀστὴρ λυχνίτης,
ὁ λαμπαδοῦχος τοῦ βασιλέως λόγος,
325 ἑρμαϊκὴ ξύμπασα τῶν λόγων χάρις
καὶ μουσικὸν μέλισμα παντὸς ὀργάνου.
ἐπαφροδιτώτατον ἔστω τὸ στέφος

Παιωνικά] κ ῶ δ. παιονικά. Τῆς Οὐρανίας οἱ στίχοι ἐν τῷ κώδ. ἀνεπίγραφοι, τὸ δὲ κείμενον, ὡς καὶ τῶν λοιπῶν ἐξ ἀρχῆς ἄχρι πέρατος, ἐν δυσὶ στήλαις. 308 μ ε ς (ὅπερ ἀκατάληπτον) οὕτω ἔχει ἐν τῷ κώδικι. 318 προσηρμόσθησαν] κ ῶ δ. προσηρμώσθησαν. 320 ἕξαμμα]=ἀσπίδος· πρβλ. Θεμίστιον ἐν λόγῳ 13. σ. 166 A· «ἐπεὶ οὖν ἡψάμην ἐλπίδος, ἣν πάλαι τρέφων καὶ ὠδίνων οὐκ εἶχον ἕξαμμα, ὅπως αὐτῆς ἐπιλαβοίμην». 326 μουσικὸν] κ ῶ δ. μουσικῶν.

ἐξ Ἀφροδίτης καὶ Διὸς τῶν ἀστέρων·
⟨καὶ⟩ γὰρ ἐπιγλεύκειαν ὁ σκηπτοκράτωρ
330 ἐν πρακτέοις ξύμπασι πλουτεῖ καὶ λόγοις·
ἀντὶ δὲ λαμπρῶν τοῦ στέφους ποικιλμάτων
τῶν ἡλιακῶν ἀστραπηβολημάτων
ἡ καλλονὴ βόστρυχος ἤτω τοῦ στέφους.
τοιοῖσδε μὲν δὴ καὶ λίθοις καὶ μαργάροις
335 τὸ βασιλικὸν ἐκλελαμπρύνθω στέφος.
ἐπεί ⟨δε⟩ σεπταὶ συνελικωνιάδες,
καὶ παρ' ὑμῶν μέλισμα καὶ χοραυλία
συνεκροτήθη γῆς ὅλης τῷ δεσπότῃ,
ἐξ οὐρανοῦ χρὴ κἀμὲ τὴν Οὐρανίαν
340 ἐπουράνιον ὕμνον αὐτῷ προσφέρειν.
σφαιρῶν τὸ λοιπὸν εἴ τις ἐξ οὐρανίων
ἐναρμόνιος ἦχος, ἐκτελοῖτό μοι,
οὗτος κροτείτω τῷδε τὴν μεγαλουργίαν.

⟨*Ὁ ὕμνος Οὐρανίας*⟩.

Γένος βροτῶν, δόξαζε τὸν βασιλέα
345 τὸν ἐκ θεοῦ δοθέντα τοῖς ὑπηκόοις
κοινωφελὲς δώρημα, κοσμίαν χάριν.

Γένος βροτῶν, δόξαζε τὸν βασιλέα,
τὸν εὐσεβῆ φύλακα τῆς οἰκουμένης
κἀν ταῖς μάχαις ἕτοιμον ὡς πτηνοδρόμον.

---

350 Γένος βροτῶν, δόξαζε τὸν βασιλέα,
τὸν πᾶν ταμιεύοντα καλὸν τῇ κτίσει
καὶ πᾶσι βραβεύοντα τὴν σωτηρίαν.

Γένος βροτῶν, δόξαζε τὸν βασιλέα
ὡς ἐξολοθρεύοντα βαρβάρων γένη,
355 ὡς ἀπερικλόνητον ἐν πάσαις μάχαις.

---

329 ⟨καὶ⟩] συμπλ. τόπου διατρ. || σκηπτοκράτωρ] κ ῶ δ. σκηπτροκράτωρ. (*Ὁ ὕμνος Οὐρανίας*)] προσθήκη ἡμετέρα. 336 ⟨δὲ⟩] προσθ. Kurtz.

Γένος βροτῶν, δόξαζε τὸν βασιλέα
τὸν οἶκτον εἰς πένητας, ὄλβον εἰς ξένους,
τὸν γλυκὺν ἰδεῖν, τὸν γλυκύτερον φράσαι.

Γένος βροτῶν, δόξαζε τὸν βασιλέα·
ἀνὴρ μετὰ κάλλους ⟨γε⟩ γὰρ πυῤῥάκης μένει,
τοῖς βαρβάροις πῦρ, τοῖς δ' ὑπηκόοις φάος.

Γένος βροτῶν, δόξαζε τὸν βασιλέα.

Κατακροᾶσθε τοῦ μέλους, ὁμόγνιοι,
ναὶ καὶ μελιχρότητος ὡς ἀμηχάνου
καὶ λαλαγῆς ἴυγγος ὡς ἀσυγκρίτου,
κἂν ἀπολιμπάνοιτο τῶν πρὸς ἀξίαν,
τῶν Ἑρμαϊκῶν τοῦ βασιλέως κρότων.
ὕμνον, κραταιέ, τοῦτον εἰσήνεγκά σοι
ἐξ εὐνοϊκῆς δουλικῆς μου καρδίας,
αὐτὰς δὲ Μούσας προὐθέμην τῶν ᾀσμάτων
αὐτὸς φέρων ἄμουσον ἐν λόγοις στόμα·
ὁμηρικὸν πάντως γὰρ οὐκ ἔσχον στόμα,
οὐδ' Ἡσιόδου γλῶσσαν ἐπλουτησάμην,
οἳ Καλλιόπας ἐξ Ἑλικῶνος μέσου
καὶ Πιερίας προὐκαλοῦντο τοῖς λόγοις,
ὡς ἀντιλαμβάνοιντο τῶν ποιημάτων.
σὺ γοῦν, κραταιέ, δεξιέ, στεφηφόρε,
Εὐθύμιόν με μουσικοῖς τισι κρότοις
καὶ μουσικαῖς σάλπιξιν ὑμνήσαντά σε
πτέρυξι ταῖς σαῖς (ἄγγελος γὰρ καὶ λόγοις
καὶ πρακτέοις πέφυκας) ἐμπερισκέποις
μῆκος πολυχρόνιον ἀνύων βίου.

---

360 ἀνὴρ—πυῤῥάκης μένει] πρβλ. Βασιλ. 1, ις', 12 „καὶ αὐτὸς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν“ || ⟨γε⟩ προσθ. Kurtz. 375 Πιερίας] κ ῶ δ. πιερείας.

2.

ΤΟΥ ΑΥΤΟΥ ΗΡΩΕΛΕΓΕΙΑ. ΤΟΥ ΤΟΡΝΙΚΗ ΕΠΙΤΑΦΙΑ.

Τάφος ὅδ' αἰνόταφος πνοὰν ἡμετέρην ὡς κεύθει
ἔνδοθί τε κρατέει φάος ἰδὲ κραδίην.
εἴπατέ μοι, τί δράσω, πῶς τὸν βίον ἀμφιπερήσω,
ἔνδοθι πάντα ταδὶ τύμβος ἐπεὶ κρατέει;
αἴ, αἴ με στοναχήσατε μοίρης εἵνεκα τῆσδε.
ὀρφανίην, τέκεα, λάχετε νηπιόθεν·
κάτθανε γὰρ ὑμέων θρέπτειρα, πότνιά τε μήτηρ.
τίς ποτ' ἐς ἡλικίην ὑμέας ἀδροτέρην
ἀνάξειεν ἐπιφραδέως, δυσόρφανα τέκνα,
μητρὸς ἀποιχομένης ἄφαρ ἀριπρεπέος;
φεῦ, διολώλατε σὺν μελέῳ πατρί, φίλτατα τέκνα.
τοὔνεκα νῦν στεναχῶ ἄπλετα μυρόμενος,
οἴκτρ' ὀλοφυρόμενος, πόλλ' ἁλμυρὰ δάκρυα λείβων.
ἓξ γεγάασι τέκη ἀγλαόμορφα κεδνὰ
ἀγακλυτοῦ Χαμάκωνος, ἀγάφρονος Ἰωάννου,
κουροπαλατῶν ὃς πρῶτα φέρ' ἐν μεγάροις,
ἐν βασιλείοις, ὅν κεν ἄναξ φιλέεσκε Μανουήλ.
τῶν κασίγνητοι τρεῖς ἄρρενες ἀνίεσαν,
τρεῖς δέ τ' ἀδελφεαὶ εἴδεϊ καὶ χάρισι στίλβουσαι.
τῶν λάχον ἄκοιτιν, ἣ πέλεν ὑστατίη,
πρωτάτη δ' ἐνὶ κάλλεϊ καὶ τῷ ἤθει ὁμοία·
λευκέρυθρος γὰρ ἁδὶ καὶ ῥοδοείκελος ἦν,
πρωτάτη δέ τε κάτθανεν ὠκύμορος γεγαυῖα.
σήματι δ' ἐν λαΐνεῳ τῷδε νεκρὰ κέαται.
φεῦ δ' ἐμὲ τήνδ' ὁράαν ὀλίγιστος λᾶας ἐέργει.
αἴ με, φίλα δάμαρ, αἴ με τί πάθον ἄρα;
λυγρὸν ἴδον θέαμα· σέο γὰρ ἔδρακον μόρον ὠκύν·
πάθον ἄελπτα ἐγὼν ἄλγεα ἰδὲ λυγρά,
τῶν ἐγὼ οὔποτε λήσομαι, ἔστ' ἂν πότμος ἱκάνῃ
καί με λαβὼν πελάσῃ εἰν ἀΐδου βερέθροις.

2 κώδ. φύλλ. 126α—127α. 5 στοναχήσατε] κ ῶ δ. στοναχίσετε. 15 Ἰωάννου] κ ῶ δ. ἰωάννης. 21 τῷ ἤθει Kurtz, κ ῶ δ. ἤθεσιν, 25 λᾶας] κ ῶ δ. λάας 28 ἰδὲ] κ ῶ δ. ἠδὲ.

τυμβε σύ δ', ὃς πνοὰν ἡμετέρην μέσον ἀμφικαλύπτεις,
ἢ κατάγαγέ με νῦν ἔνθα περ ἔσθ' ὁ νέκυς
ἡμετέρης ἀλόχοιο σαόφρονος ἀγλαομόρφου,
ἠὲ φύσιν νυνί με σὴν ὄπασον λιθίνην
καί με λᾶαν τεῦξον (τὴν γὰρ Νιόβην νικάω)
ὡς ἀμύητος ἔω τῶνδε λυπρῶν παθέων·
τούτου γάρ σε χάριν ζηλῶ ὅτι, τύμβε, λᾶας ὢν
οὐδὲν ἐπαισθάνῃ τῶνδε κακῶν παθέων.
⟨αἴ⟩ πόσα σ', ἀγλαόμορφε, ἀγάφρον, πότνια δάμαρ,
σῶφρον ἰδὲ γλυκερά, εὔχροε, λευκέρυθρε,
κλαῦσε, γένος μερόπων, Εὔβοιά τε μύρατο πᾶσα·
πόσσον ἄχος τ' ἐσέδυ ἡμέτερον κατὰ δῶ,
πόσα μύραντο πένητες, ὁπόσσα τε δάκρυα χεῦσαν
πευθόμενοί σε, δάμαρ, ἐν βερέθροις ἀΐδου
ἔμμεναι ἀχλυόεσσιν ἑὴν τροφὸν ἀμφιδιφῶντες.
ἀλλ' ὁ βροτῶν κρατέων τήνδε σάωσον, ἄναξ.

3.

Ἡρωϊκὰ εἰς τὸν Βίον.

Νήπιος ἀφ' οὗ τύγχανον, οὐτιδανὸς δέ τε πάις
καὶ ἀνὰ στόμα λαρὰν ὀρροδότιδά τε θηλὴν
μητρὸς ἑῆς ἐτίθουν καὶ ἀμέλγων ὀρρὸν ἔπινον
ἠέ με μᾶλλον ἀφ' οὗ σχεδόν, ὡς μὴ ὤφελε, καιροῦ
γείνατο μήτηρ καὶ εἶδον φάος ἠελίοιο
γῆν τ' ἐπάτησα καὶ ἀγλαόεσσαν ὄθ' ἁμέραν εἶδον,
οὐρανὸν ἰδὲ σελήνην ἰδέ γε τείρεα καλὰ
καὶ πάνθ' ὅσσα θεοῦ πλάσαντο χέρες βροτοεργοῦ,
ἄκουόν σε, Βίε, τροχὸν ἔμμεναι καὶ ἑτέρους περ
ἀνάγοντα καὶ ὀλβιόεντας ἢ πλουτεῦντας
σαῖς ἀγαθαῖς χαρίτεσσι καλῇ τε τύχῃ δεικνύντα,
ἄλλους δ' αὖ τε κατάγοντα σχεδὸν Ἅιδος ἐντός,

34 καὶ 36 λᾶαν, λᾶας] κ ῶ δ. λάαν, λάας. 38 ⟨αἴ⟩] προσθ. ἐν διατρ. τόπῳ 39 ἰδὲ] κ ῶ δ. ἠδὲ 41 δῶ] κ ῶ δ. δώ. 3 κ ῶ δ. φ. 127α—127β. Ἐπὶ τῆς ᾠᾶς τῆς καθέτου ὁ καλλιγράφος Ἰσαὰκ ὁ τοῦ Μεσοποτάμου μοναχὸς γράμμασιν ἐρυθροῖς περὶ τῶν « ἡρωϊκῶν εἰς τὸν βίον » στίχων σημειοῦται τόδε· «+ ταῦτα ἀκούων ὁ ἀναγινώσκων γενοῦ μοναχὸς φυγὼν τὸν κόσμον, εἰ μήπω γέγονας· λίαν γάρ σοι ἐπ' ὀφελὲς (= ἐπωφελὲς) καὶ σωτήριον +». 2 θηλὴν] κ ῶ δ. θηλὺν. 4 ὤφελε] κ ῶ δ. ὤφελλε. 7 ἰδὲ] κ ῶ δ. ἠδὲ.

πικροτάτῃ πενίῃ τε καὶ ἀτιμίῃ παραδόντα,
μυρίοις τε πάθεσσι καὶ ἀλγεινᾶῖς κακότησιν.
ἄκουόν σε πάλαι πάσας ἁμέρας τε χρόνους τε,
ἐλπίσι τε τρεφόμην καὶ ἱέμεναί σε νόμιζον
ὑψόθι μ' ἀεῖραι καὶ ἐπὶ μέγα κῦδος ἀνάξαι,
δόξῃ τ' εὐκλείῃ τε καὶ εὐτυχίῃ παραδοῦναι.
πάντες ἐπεί δε χρόνοι τε καὶ ἁμέραι ἐξετελεῦντο
καὶ οὔπω δέ μ' ἀνάγαγες οὐδ' ἀνάειρας ἔνερθεν,
οὔτε δέ μ' εὐκλείῃ τε καὶ εὐτυχίῃ παρέδωκας,
ἀλλ' ὑπένερθεν ἀλυκτοπέδῃ μᾶλλον μ' ἐπέδησας,
νειαίρῃ δ' ἐνὶ γαστρὶ τροχοῦ δέσες, οὐδέ με, Βίε,
εἴασάς ποτε ὄμμ' ἀναεῖραι οὐδ' ἀναδῦναι
καὶ χαρίεσσαν ἰδεῖν ἁμέραν, ἀλλ' οὐδέ τε μέλεις,
κακοτυχίῃ ὡς ἐπένησεν ἑὴν ἀλακάταν
εἵνεκ' ἐμοῦ στροφόωσα καὶ ἤματα πάντα κυροῦσα
τοιάδε μ' ἐκτελέειν κάκ' ἄτιμά τε ἰδὲ λυπηρά,
ἠὲ μέγας θεὸς ὡς ἐκέλευσεν ἄναξ βροτοεργός.
ὡς ἴδον, ἐν δὲ νόησα καὶ ἔργων μάθον ἀπ' αὐτῶν,
ἀφέμεναί σε πολύ τι φέρτερον ἔκρινα, Βίε,
καί τε κόμην κεῖραι, μέλανά τε χιτῶν' ἐπιβάψαι
(οὐχ οἷον μέροπες φορέουσιν ὅσ' ἄνθεα γαίης
συνάγοντες ἅπαντα, γυναῖκες δ' ὑφαίνουσιν
ἠλακάταν στροφόωσαι νήματά τε κλώθουσαι,
ἀλλ' οἷον πόρε φύσις εἰροπόκοις ὀίεσσι)
καί μιν κατὰ δέμας φορέσας ὄφρα, κεν τὸ δαμάσω,
ἱλάσομαι μέγαν οὐράνιον θεόν, ὥς με σαώσῃ.

4.

Ἡρωελεγεῖα ἐν ὀνείρῳ ῥηθέντα, ὅτε ὁ βασιλεὺς ἦν ὀργιζόμενος κατ' αὐτοῦ.

Ἠέρι ἐν κρυερῷ ἐγὼ ὕδατα πολλὰ παχύνω,
ὕδατι δ' ἐκτήκω εὐκραέι τ' ἀέρι.

19 ἁμέραι] κ ῶ δ. ἡμέραι. 28 ἰδὲ] κ ῶ δ. ἠδὲ.
4 Κῶδ. φ. 127β.

5.

ΤΟΥ ΔΕΣΠΟΤΟΥ ΚΥΡΙ ΕΥΘΥΜΙΟΥ

ΤΟΥ ΤΟΡΝΙΚΗ.

πιττάκιον πρὸς τὸν Δούκα κῦρι Κωνσταντῖνον διὰ στίχων.

Κομνηνοδουκῶν χρυσέου γένους κλάδε,
αὐθεντικὴ πρόσρησις ἡδύνουσά με,
ψυχὴν ἐμὴν φθάνουσα καρδίας μέσην
καὶ πᾶν νοὸς κίνημα συγκινοῦσά μου
πρὸς ζώπυρον σὸν τῷ ἀσυγκρίτῳ πόθῳ,
ἐπεύχομαί σοι σὺν βίου λαμυρίᾳ
καὶ λαμπρὰν ὑγίειαν εἰς πλείστους χρόνους,
ἰσχὺν κατ' ἐχθρῶν, κατ' ἐναντίων κράτος
καὶ πᾶν ὅ τι κάλλιστον ἐν βίῳ μένει.
καὶ σὺ δέ μοι μέμνησο τοῖς γράμμασί σου,
οἷς πολλάκις σὺ πρὸς καλὸν γράφεις θύτην,
τὸν σὲ πνέοντα φιλτάτως ὡς ἀέρα
καὶ πρὸς θεὸν σὸν θερμότατον εὐχέτην,
ὅστις πρὸ τῆς χθὲς ἡμέρας καὶ πρὸ τρίτης
φθάσας ἀνελθεῖν εἰς ὄρος ξυλῆς χάριν
παχὺν προσεκτήσατο κατάρρουν πάλιν.
καὶ νῦν κλινήρης συχνάκις ἀποπτύων
ἃ τῆς κεφαλῆς καὶ κορύζης ἐκρέει,
μόλις ἀποσπῶν ἐκ δὲ τοῦ στήθους μέσον
ὑγρὰ παγέντα γλίσχρα μυξώδη πάχη.
ἀλλὰ θεὸς ῥύσαιτο τοῦτον ἐκ νόσου
καὶ σοί δε τῷ θέλοντι σὴν σωτηρίαν
ζωὴν πολυχρόνιον ἐν βίῳ νέμει.

5 Κῶδ. φ. 17β—18α, εἰς δύο στήλας· προεξεδόθη οὐκ ὀρθῶς ὑπὸ Πορφυρίου τοῦ Οὐσπένσκη, Первое путешествіе въ Синайскій монастырь. Ἐν Πετρουπόλει 1856, σ. 211.

5 ⟨τῷ⟩] κ ῶ δ ἐν. 15 ξ̅ύλῆς] κῶδ. ξυλοῖς. 16 προσεκτήσατο] κ ῶ δ. προσεκτίσατο || πάλιν] κ ῶ δ. πάλαι. 17 κλινήρης] κ ῶ δ. κλινήρις. 20 μυξώδη] κ ῶ δ. μίξώδη.

6.

ΤΟΥ ΤΟΡΝΙΚΗ ΕΥΘΥΜΙΟΥ.

Χρώμασι λεπτοῖς, εἰ δυνατόν, ζωγράφε,
σκιὰν μόνον σκίαζε τὴν Αἰγυπτίαν·
ὁρῶ γὰρ ἄρτι καὶ σκιὰν κρατουμένην.
εἰ δ' ἐλκύει τέχνη σε πρὸς τὴν εἰκόνα,
πρόσσχες τὸ λοιπόν· ἀκριβῶς μόνον τύπου
ὀστοῦν πρὸς ὀστοῦν, ὑμένα πρὸς ὑμένα,
σαρκὸς δὲ παχύτητα μηδόλως γράφε,
μὴ ψευδογραφῶν τῆς ἀληθείας ἀπῆς.

7.

ΑΙΝΙΓΜΑΤΑ ΑΦΥΟΥΣ ΕΥΘΥΜΙΟΥ.

1.

Ζῷον αἰσχρὸν πέφυκα ἐκ τῶν ἐλαχίστων
σῶον πεφυκὸς καὶ λίαν ἐρριμμένον,
ἄχρηστον ὄντως καὶ κατὰ πάντα λόγον.
ἢν οὖν κεφαλὴν τὴν ἐμὴν τεμεῖν θέλῃς,
ἐνήδονον εὕρῃς με κἀκ τῶν χρησίμων
καὶ μάχιμον κατὰ πάντα λόγον.

μῦς καὶ χοῖρος.

2.

Ἐπώνυμον πέφυκα κακὸν εἰσφέρον
πάσης βλάβης πρόξενον τυγχάνον, ξένε.

6 Τοῦ Τορνίκη κτλ.] κῶδ. Συνοδ. Μόσχας 458, φύλλ. 185β (№ 437. *Арх. Владиміръ*, Сист. опис. рукоп. Москов. Синодальной (патріаршей) Библіотеки. Ἐν Μόσχᾳ 1894. Τμῆμα πρῶτον, σ. 666). Ἐκδίδοται κατ' ἀντίγραφον γενόμενον δι' ἐμὲ παρὰ τοῦ ἀρχιμανδρίτου Ἀθανασίου, ἀντιπροσώπου ἐν Ῥωσίᾳ τοῦ Ἱεροσολυμιτικοῦ Πατριαρχικοῦ Θρόνου ἔτει 1901-ῳ· ἐν δὲ τούτου ἀγνοίᾳ Σπυρίδων ὁ Λάμπρος ὕστερον (1902) ἀντίγραφον πορισάμενος τοῦ Η. Ποποβ τὸ ἐπίγραμμα τοῦτο προεξέδωκεν ἐν τῷ Νέῳ Ἑλληνομνήμονι (Ἐν Ἀθήναις 1905, τ. 3, σ. 478).

4 ἑλκύει] κ ῶ δ. ἑλκύῃ. 8 ἀπῆς Kurtz, κ ῶ δ. πάσης.

7—9 Κῶδ. Baroccianus 76, φ. 385, 385α—386β (*H. O. Coxe*, Catal. cod. MSS. Bibl. Bodleianae. Pars I. Oxonii 1853, σ. 138). Ἐκδίδοται ἀπὸ φωτογραφικῶν ἀποτυπωμάτων προμηθευθέντων μοι φιλοφρόνως ὑπὸ τοῦ ἐν Π/πόλει Αὐτοκρατορικοῦ Πανεπιστημίου καθηγητοῦ Βλαδιμίρου Νικ. Μπενεσσέβιτς. **7** στοῖχος 2 ἐρριμμένον] κ ῶ δ. ἐριμμένον.

ἢν οὖ θελήσῃς ἐκτεμεῖν ἐκ τῆς μέσης,
εὕρῃς με πάντων εὐεργέτην, προστάτην·
μόνον τὸ μικρὸν τρέψον εἰς τέλος μέγα·
μετάθες αὖθις ἐν τέλει καὶ τὸν τόνον.

φόνος ὦς.

3.

Ζῷον κακὸν πέφυκα, τῶν αἰσχρῶν λίαν
καὶ φαρμακουργὸν διττὰς εἰσφέρον κάρας,
ἃς εἰ θελήσεις ἐκτεμεῖν παραυτίκα,
λίαν με καλὸν καταστήσεις, ὦ ξένε,
κἀμοῦ τε ἄνευ οὐ τὸ τυχὸν ἰσχύσεις,
μόνον μετάθες τὸν τόνον πρὸς τὸ τέλος.

8.

ΕΚΘΕΣΙΣ ΑΙΝΙΓΜΑΤΩΝ ΤΟΥ ΤΟΡΝΙΚΗ ΚΥΡΙ ΕΥΘΥΜΙΟΥ.

1.

Ἔλεγχός εἰμι τῶν φίλους ἀρνουμένων,
βροτοὺς ἐγείρω, πρὸς πόνους παροτρύνω·
τέμνεις κεφαλήν, ἐκθερίζεις αὐχένα
καὶ γίνομαι παῖς αὐτίκα βασιλέως,
ἀνὴρ σθεναρός, ἀκλόνητος ἐν μάχαις.

Ἀλέκτωρ.

2.

Ἐπαινετή τις καὶ τεχνῶν κρείττων τέχνη
ἓξ γράμμασι τὴν κλῆσιν ἡρμόσατό μοι.
κἂν γοῦν Ἡρακλῆς σὺ φανῇς ἄλλος, ξένε,
καὶ τὰς κεφαλὰς ἐκτέμῃς μου τῷ ξίφει,
ὕδραν πολυκέφαλον ἄλλην ἐκμάθῃς·

14 εἰσφέρον

1 Ἔλεγχος] τοῦτο προεξέδωκεν ἀνωνύμως *E Miller*, Manuelis Philae carmina. Parisiis 1855—57, τ. 2, σ. 418, ἀριθ. LIV. 4 βασιλέως] νοητέος ὁ Ἕκτωρ.

μόνον τὸ μικρὸν γράψον εἰς τέλος μέγα
μικρὰν χάριν δοὺς ἀντὶ μαστίγων τόσων.
τέμνεις κεφαλήν, οὐ πτοοῦμαι τὸ ξίφος·
ἄτρωτον ἀπλῆγά με διδάσκου, ξένε·
τὴν δευτέραν αὖ καὶ φανοῦμαι γεννάδας,
ἐξ ἄστεος κλῆσίν τε δευτέραν φέρων·
τρίτην δ' ἀφαιρεῖς, ἀλλὰ πόρρω που φύγω,
ἀλλ' ἐθνικὸν μάθῃς με καὶ φεύγοντά σε.
φεύγοντα διώκεις με καὶ πλήττειν θέλεις
ἐμὴν κεφαλὴν ἐκθερίσων ὑστάτην,
τοῦ σώματός σου γίνομαι πάλαι μέρος,
αἰσθητικὸν φανέντα τῷ ξίφει τάμῃς.

Ἰατρός.

3.

Ὡς εὐγενὴς πέφυκα καὶ κάλλους γέμω
καὶ πᾶς βροτὸς ποθεῖ με τῶν δυοῖν χάριν·
καλλύνεται ξύμπας γάρ, εἰ χρήσαιτό μοι,
καὶ κάλλος αὐχεῖ κατὰ τῶν ἐναντίων·
μόνον δὲ τὸν βόστρυχον, ἂν φθάσῃς, τέμῃς,
εὐθὺς παθόντα τοῦ Σαμψὼν ἴδῃς πάθος·
τὸν χθὲς σθεναρὸν καὶ κεκαλλωπισμένον
ὄψει με μὴ σθένοντα καὶ κάλλους δίχα
καὶ τὴν κάραν ἴδῃς με δασύνοντά μου·
εἰ δ' ἐκτεμεῖς μου τὴν δασυνθεῖσαν κάραν,
γράψεις δὲ διπλοῦν τῶν ἐμῶν ἓν γραμμάτων,
ὄψει με φιλαίματον ἐν μάχαις Ἄρην,
ἀνδρῶν κραταιῶν χερσὶν ἠκονημένον,
πλήττοντα καὶ σφάττοντα τοὺς ἐναντίους.

Χρυσός.

14 ἄτρωτον=ἀτρώς. 16 ἄστεος κλῆσίν—φέρων=Τρώς. 18 ἐθνικὸν=Ῥώς 21 σώματος μέρος=ὦς=οὖς. 23 Ὡς εὐγ.—κάλλους γέμω=χρυσός. 27 τὸν βόστρυχον—τέμῃς=ῥυσός. 33 γράψεις δὲ διπλοῦν—φιλαίματον=ὑσσός.

4.

Ἐγὼ κακῶν κάκιστος ἀρχῆθεν μένω·
δασὺν φέρω τράχηλον, ὡς καὶ τὴν κάραν.
εἰ γοῦν σὺ τὸν τράχηλον ἐκτέμῃς μόνον,
κακοῦ πατρὸς χείριστον εὑρήσεις γόνον·
εἰ δὲ ψιλώσεις τὴν δασυνθεῖσαν κάραν,
πολλοῖς βροτοῖς κόοντα τοὺς πόνους ἴδῃς.
οὐκοῦν πατήρ, παῖς, ἔγγονος, κακὰ τρία,
φθορὰν παρεισφόρησαν εἰς πᾶσαν χθόνα.

Φθόνος.

5.

Βροτόν εἰμι καὶ ἀθεώρητον καὶ πάσης ἡδονῆς διαφέρον· τὸ ὄνομά μου ἔστι πέντε γράμματα καὶ ὁ ψῆφος τῶν γραμμάτων ω'.

Ὕπνος.

6.

Οὐρανῷ ὑποδέδειγμαι, γῇ ὑποδέδειγμαι· τὸ ὄνομά μου τρία γράμματα καὶ ὁ ψῆφος τῶν γραμμάτων ,αφ'.

Φῶς.

7.

Ἀριθμὸς καὶ πέντε μικροῦ πεντάδος καὶ γῆς κυκλοῦμαι τὸν πλατυπλεθρον κύκλον.

Ἀλφάβητος.

8.

Γράμμασι τέτρασι συλλαβὴν φέρω μίαν, φρονήσεώς τε πέφυκα πρῶτος. ἐὰν γοῦν τὸ πρῶτον ἐξέλῃς τῶν γραμμάτων, τῶν ε' αἰσθήσεων εὕρῃς με μίαν. Εἰ δ' οὖν καὶ τὸ δεύτερον ἐξέλῃς πάλιν, ζῷον εὕρῃς με τῶν πολυφάγων ἕν.

⟨νοῦς⟩, οὖς, ⟨ὖς⟩

39/40 εἰ. τ. τράχ. ἐκτέμῃς—κακοῦ πατρὸς χείρ. εὑρ. γόνον=φόνος. 41 εἰ δὲ ψιλώσεις—πόνος ἴδῃς=πόνος. Τὰς ἑρμηνείας ταύτας ἀνεκοίνωσέ μοι Dr. Kurtz. ⟨νοῦς⟩ καὶ ⟨ὖς⟩] προσθῆκαι ἡμέτεραι.

9.

⟨ΤΟΥ ΑΥΤΟΥ⟩

+ *Χρησμοὶ λεγόμενοι παρὰ τοῦ ἁγίου Ἀρτεμίου.*

Μὴ ὄφελες πύματόν με καὶ ὕστατον ἐξαιρέεσθαι,
δύσμορ' ἐμῶν προπώλων, πέρι θεσπεσίοιο θεοῖο
καὶ πνοῆς, τῆς πάντα πέριξ βοτρυδὸν ἐχούσης τείρεα,
φῶς ποταμοὺς καὶ τάρταρον, ἠέρα καὶ ὕδωρ καὶ
πῦρ. ἥ με καὶ οὐκ ἐθέλοντα δόμων τῶν ὧδε διώκει. ἡ ἐμὴ τριπόδων ἔτι λείπετο ἠριγένεια. αἴ, αἴ με, τρίποδες, στοναχήσατε οἴχετ' ἀπόλλων, οἴχετ' ἐπεὶ βρωτός με βιάζεται οὐράνιος, φῶς, καὶ ὁ παθὼν θεός ἐστι καὶ οὐ θεότης πάθεν αὐτή.

Μὴ ὄφελες πύματόν με
καὶ ὕστατον ἐξαιρέεσθαι,
δυσμορ' ἐμῶν προπώλων
πέρι θεσπεσίου θεοῖο καὶ πνοῆς
τῆς πάντα πέριξ βοτρυδὸν
ἐχούσης τείρεα, φῶς, ποταμοὺς
καὶ τάρταρον, ἠέρα καὶ ὕδωρ
καὶ πῦρ, ἥ με καὶ οὐκ ἐθέλοντα
δόμων τῶν ὧδε διώκει
ἡ ἐμὴ τριπόδων ἔτι λείπετο ἠριγένεια.
αἴ, αἴ με, τρίποδες, στοναχήσατε
οἴχετ, ἀπόλλων, οἴχετ',
ἐπεὶ βρωτός με βιάζεται
οὐράνιος, φῶς, καὶ ὁ παθὼν
θεός ἐστι καὶ οὐ θεότης πάθεν αὐτή.

---

1 Χρησμοὶ] κῶδ. χρισμοὶ. 2 Μὴ ὄφελες] ἄνωθεν ἄμποτε || πύματον] ἄνωθεν ἔσχατον || ὕστατον] ὕστερον || ἐξαιρέεσθαι] ἄνωθεν ἐκκοπῆναι. 3 δύσμορ'] δύσμορ. ἄνωθεν δυσθάνατε || προπώλων] ἄνωθεν δούλων. 4 τῆς πάντα] ἄνωθεν τῆς πανταχοῦ || βοτρυδὸν ἐχ. τείρεα] ἄνωθεν δίκην βότρυος ἀπτομένης ἄστρα. 5 ποταμοὺς] ἄνωθεν ὕδωρ. 7 ἡ ἐμὴ τριπόδων] ἄνωθεν τὶς τῶν πυρεστιῶν. 8 τρίποδες] ἄνωθεν ὦ || ἀπόλλων] ἀπόλων.

Δ.

ΜΙΧΑΗΛ ΑΚΟΜΙΝΑΤΟΥ ΤΟΥ ΧΩΝΙΑΤΟΥ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΘΗΝΩΝ

ΕΠΙΣΤΟΛΑΙ

ΠΡΟΣ ΕΥΘΥΜΙΟΝ ΤΟΝ ΤΟΡΝΙΚΗΝ

ΚΑΙ ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΑΠΟΚΑΥΚΟΝ,

μητροπολίτην Ναυπάκτου.

1.

108α ***Τῷ Τορνίκῃ κῦρι Εὐθυμίῳ.***

+ Ἐψυχαγώγημαι καὶ αὖθις, σοφὴ καὶ φίλη μοι κεφαλή, τῷ σῷ σεμνῷ γράμματι καὶ οὗπερ ὁ παραβολικὸς πλούσιος δεηθεὶς οὐδὲ ἅπαξ τετύχηκε, τούτου ὁ πλουτισθεὶς ἐν κακοῖς ἐγὼ καὶ φλεγόμενος ἐν βασανιστηρίῳ πυρὶ ἀπολαύω κατ' ἐνδελέχειαν· καταψύχεις γάρ με ὅλον, οὐ γλῶτταν μόνην οὐδ' ἄκρῳ δακτύλῳ, ἀλλ' ἀμφοτέραις χερσὶν ἐπαντλῶν δι' ὧν ἐγχαράττεις μοι ψυχαγωγῶ γράμματα ὡς ἄλλην δρόσον Ἑρμῶν ἢ πνεῦμα δροσῶδες ἢ ζωογόνον καὶ θεῖον ἐμφύσημα. οὕτως ὅλως εἶ εὐθυμίᾳ φερώνυμος καὶ ὅπερ ἐκλήθης, οὐ παύῃ κατὰ καιρόν μοι γινόμενος καὶ ταῦτα τοσῷδε διειργόμενος τοῦ μεταξὺ πελάγους χάσματι, ὅπερ κἂν Ἀβραὰμ προὐβάλετο εἰς παραίτησιν· ἀλλὰ σοί γε οὔτε τὸ τῆς ἀντιπορθμεύσεως οὐ περατὸν οὔτε τὸ τίνειν με δικαίως δίκην τῆς προτέρας ῥαστώνης ἀντίζυγον ἐπῆλθε

L = Laur. Plut. LIX, cod. s. XIII, φ. 108α—109α, 121β—126α 130α—131β, 157β—158α, 162.

2 πλούσιος] πρβλ. Ματθ. ιθ', 16—23, Μαρκ. ι', 17—24. 5 ἄκρῳ δακτύλῳ] πρβλ. Ζηνοβ. α', 61. Corp. par. gr. 1, σ. 24. 6 ὡς δρόσον Ἑρμῶν] Ψαλμ. πρβλ. ρλβ', 3.

σκέψασθαι, ὥστε μὴ οὐ διαπέμπειν ὀδυνωμένῳ τὸ δυνατὸν ψυχαγώγημα. οὐκοῦν αὐτόθεν τὴν ἀντιμισθίαν ἀντιλαμβάνεις τῆς περὶ ἡμᾶς ἡμερότητος· κἂν γὰρ ἡμεῖς μὴ τολμῶμεν ἐπάθειν διὰ τὴν τοῦ πατριάρχου μεγαλειότητα, ὅμως ὥσπερ τι γεωμετρικὸν πόρισμα συναγόμενον ἀναφαίνεται τὸ ἀποδεικνύεσθαί σε δηλαδὴ τοῦ ἐν παραβολαῖς Ἀβραὰμ συμπαθέστερόν τι περὶ ἡμᾶς ἤπερ ἐκεῖνος περὶ τὸν βασανιζόμενον πλούσιον. ναὶ καὶ μὴ λήγοις οὕτω ψυχαγωγῶν· ὤφελες μέντοι καὶ ἄκουσμά τι εὐκταῖον παραμιγνύναι τοῖς γράμμασιν ὡς ἄλλο νηπενθὲς ἔπασμα, ἀλλ' ἔοικας μηδὲν ὑγιὲς πυνθάνεσθαι μήτε μὴν ἔτι τὰ χρησμολόγα || ἰαμβεῖα σεβάζεσθαι ὥσπερ τινὰ λόγια, ἐρρῶσθαι δὲ μᾶλλον ἐᾶσαι ὡς ἀτεχνῶς ὄντα κατὰ τὸν Σταγειρίτην τερετίσματα καὶ παρὰ τοῦτο διαπιστεῖν τοῖς θρυλουμένοις διὰ κενῆς, μόνοις δὲ ἕπεσθαι τοῦ λοιποῦ τοῖς παρὰ τῆς ἀνωτάτω προνοίας πρυτανευομένοις κατὰ τὸν λέγοντα πρὸς θεόν· " οὐκ ἐκοπίασα κατακολουθῶν σοι ". πλὴν ἔμοιγε ἀπόχρη καὶ προσήγορον μόνον σὸν γράμμα ἐγχειριζόμενον, ὅπερ καὶ μήπω λυθὲν τοῦ δεσμοῦ καὶ ἀναπτυχθὲν ἡδονῆς ἐμπίπλησι τοὐπίκλην τὸ σὸν ὡς εὐθυμοποιὸν φάρμακον προϊσχόμενον +.

L 108β

2.

Τῷ αὐτῷ.

+ Ἀγαθὰ πολλὰ γένοιτο τἀνδρὶ τουτῳῖ, οἷς παρά σου πρὸς ἡμᾶς καὶ πρός σε παρ' ἡμῶν κεκόμικε γράμματα τὰς ἀντιφώνους προσρήσεις μεταφέρων πολλῷ τῆς ἠχοῦς ἐναργέστερον καὶ τελεώτερον· ἐκείνη μὲν γὰρ ἄκροις καὶ φειδωλοῖς φωνήμασι τὰς προσλαλιὰς ἀντιδίδωσιν, οὗτοσὶ δὲ παντελεῖς καὶ ὁλοφώνους ἀντικομίζει τὰς προσηγόρους ἐπιστολάς· εἰ δὲ καὶ νῦν αὖθις ἑτέρας ὑπάρξει ἀντιστρόφου γραμμάτων κομιδῆς, πάλιν καὶ αὐτὸς μισθὸν τῆς εὐχῆς ἀντικομίσεται καὶ μᾶλλον, εἰ ἀδελφὴν τῆς προτέρας ἐπιστολῆς ἐπανήξει μοι φέρων ἰσομήκη τε καὶ τὸν αὐτὸν πολυτελῆ περικειμένην κόσμον καὶ ὡς ἄλλην παρὰ τῷ Δαυὶδ θυγατέρα βασιλέως πᾶσαν τὴν δόξαν οὐχ ὅπως ἔσωθεν περιβεβλημένην, ἔν τε δηλαδὴ σεμνώμασιν ἐννοιῶν καὶ πυκνώσεσιν ἐνθυμημάτων καὶ μεθόδων δεινότησιν, ἀλλὰ καὶ ἔξω χρυσέοις θυσάνοις τῆς διαλεκτικῆς παρηρτημένην καὶ ποικιλλομένην εἰς κάλλος ἀμήχανον ἑκατέ-

4 ἀναφαίνεται L, ἀναφαίνεσθαι Λάμπρος. 10 Σταγειρίτην] πρβλ. Ἀριστοτ. σ. 83α 33· «τερετίσματα γάρ ἐστι, καὶ εἰ ἔστιν, οὐδὲν πρὸς τὸν λόγον ἐστίν». 13 λέγοντα] Ἱερεμ. ιζ', 16. 26 Δαυὶδ] πρβλ. Ψαλμ. μδ', 11, 14. 28 χρυσέοις θυσάνοις] Ἰλ. Β 448.

ρωθεν. ἀλλὰ τοῦτο μὲν οὐδὲ ἀμφιβάλλειν τὴν ἀρχὴν ἐχρῆν· εἰ γὰρ τοῦ αὐτοῦ ἐκείνου πατρὸς ἐκφυήσεται, εὔδηλον ὡς καὶ χάρισιν ἀδελφαῖς ὡραΐσεται· οὐ γὰρ ἐξ αἱμάτων ταύταις ἡ γένεσις, οὐδὲ φύσις ἡ πλάττουσα, ἵνα τὸ ἄτακτον τῆς ὕλης βιάζηται παραφθείρειν τῆς μορφῆς τὴν εὐγένειαν, ἀλλ' ἐκ νοερῶν ὠδίνων ὁ τοκετὸς καὶ καθ' ἕξιν τεχνικὴν ἀκίνητον ἐκλοχεύονται. ἐκεῖνο δὲ μᾶλλον εὐχῆς ἄξιον, ἵνα μὴ πανείκελος οὖσα τῇ ἀδελφῇ τὰ αὐτὰ καὶ αὐτὴ μονῳδῇ καὶ γοερὸν ᾄδῃ καὶ καθέλκῃ πρὸς δάκρυα, ἀλλ' ἄλλον κόσμον ἀείδουσα μεταβῇ πρὸς τὸ καί τι καθ' ἡδονὴν ἡμῖν ἁρμόσασθαι· εἰ γὰρ καὶ τὰ δυσχερῆ τοῦ καιροῦ καὶ ὁ τοῦ καθ' ἡμᾶς βίου πλημμελὴς δῖνος οὐδὲν ὑπαγορεύει σοι πρὸς διήγησιν χάριεν, ὅμως οἶδεν ὁ κρατὴρ τῆς σῆς σοφίας πολλῷ ἄμεινον τοῦ τῆς Ἑλένης μεταβαλεῖν τὸν πεπωκότα φαρμάκοις ἀρρήτοις ἐπὶ σχῆμα νηπενθὲς καὶ κακῶν ἁπάντων ἐπίληθες. εἰ δὲ καὶ τῇ βρυωνίᾳ ἀμπέλῳ τοιοῦτόν τι πρὸς τῆς φύσεως ὁ λόγος κεχάρισται, πολλῷ μᾶλλόν σοι τῇ κατὰ Χριστὸν ἀληθινῇ καὶ καρποφόρῳ ἀμπέλῳ καὶ πολλῷ βρυούσῃ καρπῷ πρὸς θεοῦ δεδώρηται. ἀπόθλιψον τοίνυν ἡμῖν τοῖς ἐν λύπαις οἶνον Σολομῶντι πειθόμενος καὶ στρέψον εἰς χαρὰν τὸν κοπετὸν ἡμῶν καὶ ψυχὴν ὀδυνωμένην παρακάλεσον ὡς ἐκ γειτόνων ἡμῖν ἔτι παροικεῖς καὶ οὐδέπω πορρωτέρω ἐκτετόπισαι· ὅπερ καιρός, οἶμαι, ὑποστῆναί σε δεδρακότα μᾶλλον ἢ πεπονθότα· ἰδοὺ γὰρ ὁ βασιλεὺς ὁ Λάσκαρις ἀπέσταλκε διὰ τοῦ πανευγενεστάτου Στειριώνου ὁρισμὸν πρὸς ἡμᾶς μετακαλούμενον πρὸς ἑαυτὸν καὶ τιμὴν ἐπαγγελόμενος καὶ ἀνάπαυσιν. κἀγὼ μὲν ἤδη παρῃτησάμην ἀν-
L 109α ελθεῖν, || φύσει μὲν ὢν ἀεὶ μισαπόδημος καὶ νωθής, νῦν δὲ καὶ μᾶλλον ναρκώδης ἅτε ἀποκλίνων ἤδη ἐς τὸ πρεσβυτικὸν καὶ πρός γε ἀποκναίσας τοῖς περιστατικοῖς καὶ βαρὺς γεγονὼς καὶ ψυχὴν καὶ σῶμα, ἅτε παρ' οὐδεμιᾶς χρηστοτέρας ἐλπίδος ὑπανεχόμενος, ἀγαπῶν δὲ μόνον, εἰ παραχωρηθείην δεῦρο ἐρημάζων ἐκμετρῆσαι τοῦ πολυαμαρτήτου βίου μοι τὸ λειπόμενον, σοὶ δὲ τῷ στερρῷ καὶ γενναίῳ τὰ πάντα οὐδέν τι ἐργῶδες προσελθεῖν τῷ καλοῦντι καὶ εἴσω γενέσθαι λιμένος τῶν τῆς φυγῆς ναυαγίων ἀπαλλαγέντι. τί

7/8 κόσμον ἀείδουσα] πρβλ. Ὀδ. θ 489. 11/12 Ἑλένης—ἐπίληθες] πρβλ. Ὀδυσ. δ 219—221 || πεπωκότα] L, πεπτωκότα Λ ά μ π ρ ο ς. 13 βρυωνίᾳ ἀμπέλῳ] πρβλ. Παῦλον Αἰγινήτην 7, σ. 233, 45. 14 τῇ κατὰ Χριστὸν ἀληθινῇ καρποφόρῳ ἀμπέλῳ] πρβλ. Ἰωάν ιε', 1—3. 20 Στειριώτης] οὕτω γραπτέον ὡς ἐκ τοὐνόματος τῆς νῦν ὑφισταμένης παλαιᾶς βυζαντινῆς μονῆς τοῦ ὁσίου Λουκᾶ «τοῦ ἐν τῷ Στειρίῳ ὄρει»· ἡ δὲ περὶ τοῦτο χώρα δῆμος ἦν Ἀττικὸς λεγόμενος Στειρία ἢ Στεῖρις (ἐθν. Στειρίτης, ῥῖται, ῥῖτις, ῥίτιδος) ἢ Στειριεύς (Φ ώ τ ι ο ς ἐν λ). Περὶ τῆς μονῆς ὅρα Γ ε ω ρ γ ί ο υ Π. Κ ρ έ μ ο υ, Φωκαϊκά. Προσκυνητάριον τῆς ἐν τῇ Φωκίδι μονῆς τοῦ ὁσίου Λουκᾶ τοὐπίκλην Στειριώτου. Ἀθήνησιν 1874—1882, τόμ. 1—3, εἰς φύλλον || στειριόνης L.

οὖν λοιπόν ἐστι; σὲ μὲν συντακτήρια γράμματα πέμψαι, ἡμᾶς δὲ προπεμπτήρια, τίς δὲ οἶδεν, εἰ μὴ καὶ Πύθια κατὰ τὴν παροιμίαν καὶ Δήλια +.

3.

L 121[3] ***Τῷ Τορνίκῃ κῦρι Εὐθυμίῳ.***

+ Γράμμα μοι ἐγκεχείρισται, πανεντιμότατε καὶ λογιώτατε δέσποτα, οὐκ ἐπιγεγραμμένον ἔξωθεν τὸ τοῦ ἀπεσταλκότος ὄνομα, ἐντὸς δὲ τὴν αἰτίαν τῆς ἀνωνυμίας ὑπογρύζον οἷς παρελάλει πολλὴν ἑαυτοῦ δουλοπρέπειαν καὶ φόβον μέγαν καὶ κοινὸν ἀπείργοντα ἐλευθεροστομῆσαι, ὅσα καὶ βούλεται. τοῦτο ἐπελθὼν οὐ τὸν τυχόντα ὑπέστην ἀγῶνα ζητῶν εὑρηκέναι τὸν γεγραφότα· ὅτε μὲν γὰρ τὸ ἐπίχαρι τῶν νοημάτων καὶ τὴν ἁβρότητα τῶν ὀνομάτων κατεθεώμην, τὸν χαρακτῆρα τῆς σῆς λογιότητος ἀνέφερον, ἄλλως τε οἷς καὶ πρόσρησιν πρὸς ἡμᾶς περιεῖχεν ἐνίων συνήθων ἐν τῇ κατ' Εὔβοιαν Χαλκίδι διατριβόντων. καὶ τὸ ἔτι πλέον ἁπάντων πεῖθόν με σὸν εἶναι
L 122α τὸ ἐπιστόλιον ἐμέμνητο καὶ τῶν καθωμιλημένων οὐκ ὀ||λίγοις χρησμῳδημάτων, ἐμοὶ δὲ δοκούντων παραληρημάτων καὶ μετέωρος χρηστοτέραις διὰ τούτων ἐλπίσιν ἔλεγε φέρεσθαι, ὅστις ποτ' ἦν ὁ ταῦτα ἐπεσταλκώς, ὁποίας ἐλπίδας ἐγὼ παρὰ τῶν παλαιῶν ἐκδεξάμενος ἐγρηγορότων ὀνομάζω ἐνύπνια, καίτοι εὐξαίμην εἴπερ τις ἀληθῆ ἀποβῆναι, ὅσα χρησμολογοῦνται εἰς ἀγαθὸν τῷ καθ' ἡμᾶς πολιτεύματι, ἀλλ' οὐ παρὰ τοῦτο εἴποιμ' ἂν προφητικῆς ἐπιπνοίας ἀποθεσπίσματα τὰ Σφιγγὸς κελαινῆς γῆρυν ἐκμιμούμενα φοιβάσματα. οὔτε μὴν ἀληθείας ὀνομάσω σοφοὺς ἐξηγητὰς τοὺς ὀνειροκριτικῶς καταμαντευομένους αὐτῶν χρησμολύτας καὶ πρὸς ὃ βούλονται στρεβλοῦντας βιαιότερον καὶ οὐ λίθον ποτὶ σπάρταν φασίν, ἀλλὰ σπάρταν ποτὶ λίθον ἕλκοντας, ὅτι μηδὲ τὸ πνεῦμα τοῦ Πύθωνος οἱ περὶ τὸν μέγαν Παῦλον εἴασαν κηρύττειν αὐτοὺς δούλους τοῦ θεοῦ τοῦ ὑψίστου καὶ σωτηρίας ὁδὸν καταγγέλλοντας, ἀλλὰ σιγὴν αὐτῶν κατεψηφίσαντο. ἃ μὲν οὖν ἐπήγετό με πιστεύειν σὸν εἶναι τὸ γράμμα, ταῦτά εἰσιν· ἡνίκα δὲ πάλιν ἀνελογιζόμην

1/2 προπεμπτήρια] L, προσπεμπτήρια Λ ά μ π ρ ο ς || προπεμπτήρια] πρβλ. Φιλόστρ. τ. 1, σ. 121, 202 Kayser· «προπεμπτηρίους ὕμνους αὐτῷ ᾄδειν». Γρηγ. Ναζ. (τ. 2, σ. 469 A. Migne)· «τοὺς προπεμπτηρίους ἡμῶν μελετήσατε λόγους». τ. 3, σ. 261 B· «ὅσον ἐφ' ὑμῖν τὰ προπεμπτήρια φθέγξασθαι». Γρηγόριος πρεσβ. ἐν βίῳ Γρηγ. Ναζ. τ. 1 σ. 297 A· «γίνεται αὐτῷ τιμὴ προπεμπτήριος». Θεόδωρος Στουδίτης (σ. 892 C Migne)· «ἐξιτήριοι λόγοι καὶ προπεμπτήριοι». Γενέσιος σ. 103 Bonn. «ὡς δὲ παρεστήκει τοῖς τοῦ ἱλαστηρίου προθύροις λαμπαδουχῶν ἀφιερῶν τε προπεμπτηρίους φωνάς» κτλ. 2 παροιμίαν] πρβλ. Μενάνδρου ἀπόσπ. 295 Meinek. Σουΐδας λ. Πύθια. Ζηνοβ. ς', 15. Διογ. η', 35. Corp. paroem. gr. τ. 1, σ. 165, 311. 22 ποτὶ σπάρταν λίθον] πρβλ. Βασιλείου Καισαρείας πρὸς τοὺς νέους, § 3. Migne, τ. 31, σ. 569 D. 23 πνεῦμα τοῦ Πύθωνος] πρβλ. Πράξ. ις', 16.

τὴν τοσήνδε δειλίαν καὶ ὅπως ἑαυτὸν ἐπικρυπτόμενος ἀνωνυμίᾳ οὐ τεθάρρηκε τὸ πρὸς ἡμᾶς ἐπιστέλλειν ὁ τοῦ γράμματος πατήρ, "ἄρα", ὑπεφώνουν κατ' ἐμαυτόν, "τοῦ γενναίου καὶ ἀκαταπλήκτου Εὐθυμίου τὸ ἐπιστόλιόν ἐστι καὶ τί παθὼν ὁ ἐπὶ παρρησίᾳ ὀνομαστὸς αἴφνης οὕτως ὑπὸ δειλίας νώνυμος γέγονεν; οὐχ οὗτος ὑπὲρ ἐκκλησιαστικῶν καὶ πατρίων θεσμῶν μὴ ὅτι γε ὁμοφύλους πατριάρχας καὶ βασιλεῖς ὑπέστη μεγαλοφρόνως, ἀλλὰ καὶ ἀλλογενέσιν ὁμόσε χωρῆσαι πρός με πολλάκις ἀπισχυρίσατο; καὶ νῦν πῶς τὴν πρὸς ἡμᾶς διαπόντιον πρόσρησιν πέφρικε; μῶν εὐλαβεῖται μὴ καὶ γράψαιτό τις αὐτὸν Ἀθηναϊσμοῦ, ὡς ἔνιοι τῶν πάλαι τινὰς Μηδισμοῦ ἢ Φιλιππισμοῦ"; τοιοῦτοί μοι λογισμοὶ ἀνθεῖλκον ἑτέρωθεν καὶ πείθειν ἐπειρῶντο, μὴ ἂν τὸν γεννάδαν Εὐθύμιον ἀνασχέσθαι ὑπ' ἀνωνυμίας κρύπτεσθαι κατὰ τοὺς δειλοὺς τῶν ὁπλιτῶν, οἳ ὑπαναχωροῦντες ἐκ τῶν προμαχούντων ἐς τὴν ξύγκλυδα πληθὺν καταδύοντες λανθάνουσιν. ὅμως πεφυκὼς ἀεὶ πρὸς τὸ ἐπιεικέστερον ῥέπειν καὶ συγγνωμονικὸν μᾶλλον ἢ ἀκριβοδίκαιον ἀνθυπέφερον αὖθις, ὡς οὐδὲν καινόν, εἰ καὶ ὁ ἀπτόμενος οὗτος ἀνὴρ εὐλαβεῖται νῦν καὶ ὑποπτήσσει τὴν βαρβαρικὴν ὠμότητα, ὁπότε πᾶσιν ἡμῖν πνεῦμα δειλίας, γραφικῶς εἰπεῖν, ἐπιπέπτωκεν. εἶτα καὶ τῶν μακαρίων ἐκείνων ἀνδρῶν ἀπεμνημόνευον, τοῦ Ἀβραάμ, τοῦ Ἰσαάκ, τοῦ Δαυίδ, τοῦ Ἠλία, τοῦ σκεύους τῆς ἐκλογῆς, ὧν οἱ μὲν ἀδελφὰς τὰς γυναῖκας ἑαυτῶν ὠνόμαζον, δεδιότες μὴ καὶ αὐτὰς ἀφαιρεθῶσι καὶ προσαπόλωνται. ὁ Θεσβίτης δὲ οὕτως ὑπὸ δέους κατέπτηχε, μόνον οὐ κρυσταλλωθείς, καίπερ πυρίπνους ὢν καὶ πῦρ ἐξ οὐρανοῦ κατάγων καὶ φλόγεον ἅρμα ἐλαύνων εὐθὺ τοῦ οὐρανοῦ, ὥστε φεύγων γυναικαρίου ἀπειλὴν τεσσαράκοντα ἡμερῶν ὁδὸν ἀπέθρεξεν. "οὔκουν θαυμαστόν", ἔφην, "εἰ καὶ ὁ σοφὸς Εὐθύμιος, ὡς ἔν τινι σπηλαίῳ τῇ κατ' Εὔβοιαν Χαλκίδι συγκαθειργμένος πολλοῖς, οὐχ ἑνὶ ἀνθρωποφάγῳ Κύκλωπι, τὸν πολύτροπον καὶ πολύφρονα μεμίμηται ἥρωα, καὶ ὡς ἐκεῖνος ὑπὸ τὸν Οὔτιν τὸν Ὀδυσσέα ἔκρυψεν, οὕτω καὶ οὗτος ὑπὸ τὸν ἀνώνυμον τὸν Εὐθύμιον· ταὐτὸν γὰρ δύναται τό τε Οὔτις καὶ τὸ ἀνώνυμον καὶ ἀγαθὸν ἑκάτερον πρόβλημα εἰς ἀνθρωποφάγων ὀδόντων ἀπόφευξιν. ὡς εἴθε καὶ τὰ ἑξῆς τοῦ Λαερτιάδου μηχανήματα ἠδυνήθη μιμήσασθαι ἐπὶ σωτηρίᾳ πολλῶν, ναὶ μέντοι καὶ ἑαυτοῦ προκειμένων εἰς θείνην ἀτεχνῶς || Κυκλώπειον. οὕτως ἐγὼ τοὺς ἑκατέρωθεν λογισμοὺς ταλαντεύσας καὶ διακωδωνίσας ἀπεφηνάμην

122B

9 Μηδισμοῦ] πρβλ. Ἡρόδ. δ' 165 || μηδιασμοῦ L || Φιλιππισμοῦ] πρβλ. Αἰσχίν. γ', 130. Δημοσθ. 287, 1. Πλουτ. Ἠθ. 844 F. 16 πνεῦμα δειλίας] πρβλ. Τιμ. 2, α', 7. 18 σκεύους τῆς ἐκλογῆς] πρβλ. Πράξ. θ', 15. 21/22 πῦρ — κατάγων] πρβλ. Βασ. 4 α', 12. 22 φλόγεον — ἐλαύνων] πρβλ. Βασ. 4, γ', 11, 12. 22/23 φεύγων — ἀπέθρεξεν] πρβλ. Βασ. 3, ιθ', 1—8. 27 Οὔτιν — ἔκρυψεν] πρβλ. Ὀδ. I 364—370, 502—505.

οὐκ ἄλλου εἶναι, ἀλλὰ σοῦ αὐτοῦ τὴν ἐπιστολήν, καὶ εἰ μὲν εὐεπηβόλως τῷ ἀμφιβόλῳ διήτησα, σὸν οὐκ ἐμὸν τὸ κατόρθωμα· σὺ γὰρ καὶ πατὴρ ἀγαθὸς λόγων καὶ γραφεὺς δεξιός, ἀμέλει καὶ γεννᾷς τέκνα σοφίας πατρῴζοντα καὶ οἷα καταμηνύειν τὸν γεγεννηκότα καὶ μόνον βλεπόμενα· καὶ γράφεις δὲ παντοδαπῶν λόγων ἀγάλματα οὕτως ἀκριβῶς, ὡς μὴ δεῖσθαι ἐπιγραμμάτων, ἀλλ' αὐτόθεν ἐπιγινώσκεσθαι πρὸς τίνα ἀρχέτυπα ἐξειργάσθησαν. οὕτω καὶ τοῖς παλαιοῖς ἐνομίζετο ζωγράφοις ἀρίστοις, ὡς τό γ' ἐπιγράφειν τεκμήριον ἦν τοῦ μὴ ἀκριβοῦσθαι τὰ γεγραμμένα. εἰ δὲ τἀληθοῦς διήμαρτον καί σοι ὀθνεῖον εἰσεποίησα γέννημα, τάχ' ἂν ὁ τὰ πάντα μέτριος καὶ φιλάνθρωπος αἰτιάσαιο δυοῖν θάτερον ἢ τὸ παρὰ τῆς κοινῆς συγχύσεως ἐπισκοτεῖσθαί μοι τὸ τῆς διανοίας ὄμμα καὶ παρὰ τοῦτο μὴ οἷόν τε ⟨εἶναι⟩ εἰδέναι τό τε γνήσιον καὶ ἀλλότριον (αἱ ταραχαὶ γάρ φησι παρέπλαγξαν καὶ τὸν σοφόν, πολλῷ γε μᾶλλον τὸν κατ' ἐμέ), ἢ τὸ οἴεσθαι φιλεῖσθαι παρὰ σοῦ μόνου σφόδρα καὶ ἀληθῶς καί σοι μόνῳ μέλλειν ἡμῶν καὶ ἀξιοῦν προσρήσεως. ἀλλὰ τὰ μὲν περὶ τούτου ἀπόχρη, προσειρήσθω δὲ παρ' ἡμῶν ὁ περὶ σὲ φίλιος καὶ λόγιος ὅμιλος, πρὸς δὲ καὶ ὁ ἄριστος ἀρχιητρός, ὃν ἐπὶ βραχὺ γνωρίσας καὶ τῆς φιλολογίας θαυμάσας, εἶτα παραχρῆμα διαστὰς ἠνιάθην καὶ νῦν δὲ ἀνιῶμαι τῆς ἀναγνώσεως τῶν Γαληνείων στερούμενος· διεκομίσθη γὰρ ἄλλα τε βιβλία τοῦ θαυμαστοῦ Γαληνοῦ καὶ τὸ περὶ μεθόδων ἀνατομικῶν καὶ τὸ περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων, ἃ συναναγνόντες οὐ μικρὰ ἂν ἀλλήλοις συνεβαλόμεθα, ἐγὼ μὲν αὐτῷ εἰς τὴν περὶ τῶν δογμάτων πραγματείαν, αὐτὸς δ' ἐμοὶ πρὸς τὴν ἀνατομικὴν θεωρίαν, καὶ ἐπεὶ σχασάμενος τὸ πολιτεύεσθαι οὐχ ἑκὼν πολλὴν ἄγω σχολήν, κατώπτευσα ἂν ἔργα φύσεως θαυμαστὰ ἐναργέστερον καὶ διὰ τῆς φύσεως ἐπὶ τὸν δημιουργὸν αὐτῆς ἀνεπτερώθην θερμότερον· ἅμα δὲ οὐδὲ Ἀριστοτέλους ἂν εἴημεν ἀνήκοοι ἐς τέλος, ἐν πολλοῖς τῶν περὶ τῶν ζῴων μορίων γεγραμμένων αὐτῷ παραπέμποντος ἡμᾶς ἐς τὴν ἀνατομικὴν θεωρίαν κἀκεῖθεν ἀξιοῦντος μανθάνειν αἰσθητῶς τὰ ἐν λόγοις φιλοσοφούμενα καὶ μᾶλλον ὅτι οὐ σχολῆς μόνον ἡμῖν ἀφθονία, ἀλλὰ καὶ ζῴων τῶν ἀνατμηθησομένων, οὐ Σατύρων, λέγω, οὐ κυνοκεφάλων, οὐ πιθήκων, ἀλλ' οὐδὲ ἄρκτων· καὶ αὗται γὰρ σπάνιαι καὶ δυσθήρατοι καὶ μάλιστα νῦν, ὅτε, καὶ εἴ που θηραθεῖεν, ταῖς Λατινικαῖς δωροφοροῦνται τραπέζαις ὡς ἥδιστον αὐτοῖς ὄψον καὶ εὐκταιότερον ἢ τοῖς

12 ⟨εἶναι⟩] ἡμετέρα προσθήκη. 16/17 ἄριστος ἀρχιητρὸς] νοητέος Γεώργιος Κάλλιστος, πρὸς ὃν ὑπάρχει τοῦ γράφοντος ὧδε ἐπιστολή. Μιχ. Ἀκ. Χωνιάτου τὰ σωζόμενα, τ. 2, σ. 201—203. 28/29 ἀξιοῦντος — φιλοσοφούμενα] πρβλ. Ἀριστ. 1105B 13.

Ἰουδαίοις ὁ παρ' αὐτῶν προσδοκώμενος Λευιάθαν. οἶδας δήπου τὸν ἐν τῷ Ἰὼβ διαγραφόμενον, ὃν οἱ κατάρατοι καὶ πάντα πρὸς αἴσθησιν ἕλκοντες αὐτοῖς ἐν τῇ θαλάσσῃ ταμιεύεσθαί φασι σιτευόμενον, κῆτος παμμέγεθες καὶ οἷον ἐξαρκέσαι ⟨ἐς⟩ αὐτῶν τε καὶ ἑτέρων πολλῶν ἐθνῶν τράπεζαν. οὐκοῦν τοιούτων ζῴων εὐπορία ἡμῖν, ἀλλὰ ὑῶν, οὓς οἱ νησιῶται οὗτοι ὁσημέραι κατασφάττουσιν ὡς λυμαινομένους δῆθεν λήια καὶ φέροντες ἐφ' ἡμᾶς προτίθενται διαμαρτυρόμενοι. ἀλλ' ἔλαθον τοὺς ὅρους τῶν ἐπιστολιμαίων νόμων ὑπεραλάμενος μικροῦ· ὑπὸ γὰρ τοῦ σφόδρα ἐθέλειν ὁμιλεῖν σοι διὰ γραμμάτων ἐξέτεινα πέρα τοῦ συμμέτρου τὴν ἐπιστολὴν καὶ τὸ πάθος συγγνωστόν· πότε γὰρ ἄλλοτε στελῶ γράμμα ἢ δέξομαι, τοσούτου χάσματος μέσον ἀμφοῖν διερρωγότος; τὸ δὲ καὶ αὐτοπροσώπου θέας καὶ ὁμιλίας ἀξιωθῆναι τοῦτο ἤδη καὶ ὑπὲρ εὐχὴν καὶ ἐλπίδα. ἐρρωμένος διατηροῖο, λογιώτατε ἀνδρῶν καὶ φιλίας ἀληθοῦς ἔμψυχον ἄγαλμα +.

4.

L 123α

Τῷ αὐτῷ.

+ Ὡς εἰς καιρὸν ἡμῖν, λογιώτατε δέσποτα, γράμμα σὸν τοῦτο ἤδη τρίτον ἀπέσταλται· ἅμα γὰρ ἀπελάβομεν καὶ νυκτομαχίας πολλῶν λογισμῶν ἀπηλλάγμεθα· οἷα γὰρ καθ' ἑαυτοὺς ἀνετυπούμεθα μὴ πλείω δεδεγμένοι γραμμάτων δυοῖν, ἀμέλει καὶ διαπορούμενοι καὶ οἷον καταμαντευόμενοι τὰς αἰτίας τούτου τοιάδε ἀνεπλαττόμεθα, πότερον τολμήσας δὶς ἐπιστεῖλαι, εἶτα ὡς ἂν παρακινδυνεύσας εἰς ἑαυτὸν ὑπεστάλη πάλιν καὶ σεσίγηκεν, ἢ τῷ παροιμιακῷ νόμῳ πειθόμενος δὶς τὰ καλὰ θεσπίζοντι διττά μοι καὶ μόνα τὰ καλὰ ἐκεῖνα γράμματα ἐνεχάραξε, τοῦ λοιποῦ δὲ ἐκπεφρόντικεν, ἐπεὶ τὸ φιλικὸν καθῆκον ἤδη ἐξωσιώσατο; ἀλλ' ἐκεῖνο μὲν θρασυδείλου ἂν εἴη πάθος καὶ γνώρισμα καὶ τίς κοινωνία τῷ βεβηκότι ἐπὶ συμμέτρου μεσότητος πρὸς τὸν δι' ἔκπτωσιν ἀρετῆς εἰς τὰ παρ' ἑκάτερα κακίας μετολισθαίνοντα; τοῦτο δὲ πῶς ἂν καὶ τὴν ἀρχὴν ἐπὶ νοῦν ἐβάλετο ἀνὴρ εἴπερ τις ἀγχίνους καὶ εἰδώς, ὡς εἴπερ ἐπισταλτέον ἔστι δὶς μόνον ἀποῦσι τοῖς φίλοις καὶ προσρητέον ἂν εἴη τοσαυτάκις παρόντας· ὃ γὰρ ἔστι πρὸς ἐπιδημοῦντας πρόσρησις, τοῦτο πρὸς ἀποδήμους ἐπιστολή. καὶ τίς οὕτως ἀρχαῖος κατὰ τοὺς μυθευομένους προσελήνους ὡς ἅπαξ ἢ δὶς ἀξιοῦν προσ-

1 Λευιάθαν = δράκων ο ἐν τῇ θαλάσσῃ, δράκων ὄφις, ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι] πρβλ. Ἰεζ. λβ', 2. Ἡσ. κζ', 1. Ψαλμ. ογ', 14. Ἰὼβ γ', 8. μ', 10—27. 4 ⟨ἐς⟩] προσθ. ἡμετέρα. 27 ἔστι] Λάμπρος ἔστιν. 30 προσελήνους] πρβλ. Ἀπολλών. Ῥοδ. δ 264· «Ἀρκάδες, οἳ καὶ πρόσθε σεληναίοις ὑδέονται». Scholia in Apollonii Argon. ex rec. H. Keilii (Apoll. Arg. ex rec. R. Merkel. Lipsiae 1854), σ. 495· «Μνασέας δέ φησι Προσέληνον Ἀρκάδων βασι-

ειπεῖν τοὺς συνήθεις, εἶτα σιγῇ παρατρέχειν μὴ προσεννέποντας, ὅπερ μισούντων νομίζεται τεκμήριον καὶ μὴ φρονούντων φίλα τε καὶ προσήγορα; οὐκοῦν οὐδὲ τῇ παροιμίᾳ προσέσχε τὸν νοῦν, παραληρούσῃ, οἶμαι ὑπ' ἀρχαιότητος· πῶς γὰρ δὶς τὰ καλά, ἀλλ' οὐ τρὶς καὶ πολλάκις αὐτίκα, ἵνα μὴ λέγω τόδε ἢ τόδε τὸ καλόν, τὰ τῆς περιοχῆς ἁπάντων τῆς εὐδαιμονίας φημί, εἶτ' οὖν καθ' ἡμᾶς μακαριότητος, οὐδὲ πολλάκις πρακτέον ἐστίν, εἶτα παυστέον, εἴπερ ἐνέργειά ἐστι κατ' ἀρετὴν τελείαν, καὶ εἰ παύσεται, ἀποβαλεῖται καὶ τὸ μακάριον δήπου· ὅθεν καὶ ἐν βίῳ τελείῳ τελειοῦσθαι ταύτην, προστίθησιν ὁ Σταγειρόθεν φιλόσοφος· ὁ δέ γε Σόλων καὶ ὁ Σειρὰχ οὐδὲ τὸν ἐν βίῳ τελείῳ εὐδαιμονοῦντα μακαριστὸν οἴονται, εἰ μὴ καὶ πέρατι βίου εὐδαίμονι ὥσπερ τινὶ λιμένι ἀσφαλεῖ ἐγκαθορμίσονται ὄλβιοι. ἐπιζυγώσας τοίνυν τὸ τῆς ἀκοῆς θύρετρον ὡς οὐκ ἀκριβεῖ τῷ παροδίῳ τούτῳ ῥήματι, ἐκεῖνο μᾶλλον ἀναπετάσαι κατὰ θύραν, ὅ φασιν, οὐ παρὰ θύραν ἥκοντι, ὅ φησιν ὡς πολλῶν φιλίας ἀπροσηγορία ἔλυσεν (εἶδος δέ που προσηγορίας καὶ τὸ ἐπιστολιμαῖον πρόσφθεγμα)· οὐ γὰρ δὴ πάσῃ παροιμίᾳ πειστέον, εἰ καὶ παλαιᾶς φιλοσοφίας λέγονται λείψανα, διὰ βραχυλογίαν εὐμνημόνευτον τὴν ὁσημέραι πραγματειώδη ἀνανέωσιν ἀθανατιζόμενα, ἐπεὶ κἀκεῖνο ἑάλω μοι τανῦν ψευδόμενον παροιμιακὸν ἀπόφθεγμα· ἀνεπίφθονον δέ σοι καὶ διηγήσασθαι· εἰ γὰρ καὶ νόμος ἐπιστολῆς ἐπικελεύεται μὴ τῶν κειμένων ὅρων βαίνειν μακρότερα μήτε μὴν τὰ ἐσκαμμένα ὑπεράλλεσθαι, ἀλλ' ἔγωγε ἥδιστα ἂν ὑποσταίην παρανομίας γραφήν, εἰ μόνον τὸ ἐπιθυμοῦν μοι ἀπλήστως τὴν ὁμιλίαν τῶν πρὸς σὲ γραμμάτων, ὅτ' ἔξεστιν, ἀποπλήσαιμι.

λεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησίν, ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν Ἀρκάδων ἐπιθεμένων αὐτοῖς πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην· διὸ κατωνομάσθησαν προσέληνοι»· Αἰσχύλ. Προμ. 438· «ὁρῶν ἐμαυτὸν ὧδε προσελούμενον». Σχόλ. εἰς Αἰσχύλ. Προμ. 438· «προσελούμενον—ὑβριζόμενον· ἔνθα καὶ οἱ Ἀρκάσι πρόσελοι ἄνδρες ὑβρισταί· λέγουσι δὲ εἶναι τοὺς Ἀρκάδας, ἐξ ὧν χρῆσις προσελούμενον». Λουκιανοῦ Ἀστρολογ. 26· «ἀλλὰ μοῦνοι Ἀρκάδες ταῦτα οὐκ ἐδέξαντο οὐδὲ ἐτίμησαν ἀστρολογίην, ἀνοίῃ δὲ καὶ ἀσοφίῃ λέγουσι καὶ τῆς σεληναίης ἔμμεναι προγενέστεροι». Πρβλ. Alex. Humbold, Kosmos. Stuttgart 1845—50, τ 3, σ. 480—81. 4 δὶς — τρὶς]πρβλ. Γοργ 498Ε. Φίληβ. 60Α. Νόμ. ς', 754C. ιβ', 956Ε. Πλουτ. Ἠθ., τ. 2, σ. 508 καὶ τ. 6, σ. 411 Βερν. Corp. par. Gr. τ. 1, σ. 66. 2, 97. Θεόδ. Πρόδρ. ἐν *Cramer*, Anecd. gr. Oxon. τ. 3, σ. 205. 9 Σταγειρόθεν] πρβλ. Ἀριστοτ. 1021β, 20—28. 13 ἀναπετάσαι κατὰ θύραν] πρβλ. Πλάτωνα ἐν Φιλήβῳ 62Β, «ἀναπετάσας τὰς θύρας». Τίμωνα 122 «τὰς θύρας ἀναπετάσας». Ξενοφ. Ἀναβ. ecl. Gemoll, σ. 256, 718 «ἀναπετανύασι τὰ πύλας. Ἡρόδ. γ', 146· «ἀναπετάσας τὰς πύλας». 20 ὑπὲρ τὰ ἐσκαμμένα ὑπεράλλεσθαι] πρβλ. Πλάτ. Κρατ. 413Α. Λουκιανὸς ἐν ὀνείρῳ «καὶ ὄρον ἔχων τῆς πτήσεως τὸν ὕπνον ὑπὲρ τὰ ἐσκαμμένα ἤδη πηδᾷ». Eustath. ad Hom. Il, Θ 197, σ. 1591, 52· «ἰστέον, ὅτι τὸ ὑπερήσει καὶ τὸ ὑπερέπτατο πάντα τὰ σήματα οὐ μακρὰν ἐσχημάτισται τοῦ ὑπὲρ τὰ ἐσκαμμένα, κεῖται παρὰ τοῖς ὕστερον, ἤγουν ὑπέρμετρα, παροιμιαζόμενον μὲν ἐπὶ τῶν ὑπερβαλόντων ἢ πλεονεκτούντων, μετενεχθὲν δὲ ἀπὸ πεντάθλων ἤρξατο ἀπὸ Φαῦλου» κτλ. Βασίλειος εἰς τὸ Ἑξαήμερον, ὁμιλία 6-η, 5 (Migne, Patr. Gr. τ. 29, σ. 128Α)· «ἀλλ' οἱ ὑπὲρ τὰ ἐσκαμμένα πηδῶντες τὴν συνηγορίαν τῆς γενεθλιαλογίας τὸν λόγον ἕλκουσι». Corpus Paroem. Gr. τ. 1, σ. 224, τ. 2, 375

τίς δὲ ἡ παροιμία; ἀλλ' ὅπως ἐπίσχες τὸν γέλωτα εἶτ' οὖν τῆς διηγήσεως καταγέλωτα " δίς " φησι " κράμβη θάνατος ". τοῦτο πάλαι σεβαζόμενος ὥσπερ τι Δελφικὸν γράμμα οἶδας ὁήπου τὸ γνῶθι σαυτὸν καὶ μηδὲν ἄγαν καὶ ἐγγύη πάρα δ' ἄτα καὶ εἴ τι τούτων ἀδελφὸν ἕτερον, μᾶλλον δὲ ὡς ὑγιεινόν τι παράγγελμα Ἱπποκράτειον ἢ Γαλήνειον διὰ μνήμης ἔχων ἐφυλαττόμην (πῶς εἴποις;) τὴν κράμβην παρατιθεμένην ἐπιτραπέζιον, καὶ τὰ πολλὰ μὲν ἀπειχόμην ὑφορώμενος, ὡς τὴν ἐν τῷ λέβητι
L 123[3] τολύπην ἦν, ὅτε οἱ περὶ τὸν Ἐλισσαῖον υἱοὶ τῶν || προφητῶν, ἐνίοτε δὲ καὶ προσηπτόμην ἐκ διαλειμμάτων μακροτέρων καὶ σφόδρα ἐγκρατῶς προνοῶν, ὡς εἰ καὶ βλάψει τυχόν, ἀλλ' οὐχὶ καὶ ἐς κίνδυνον ἀποσκήψει διὰ τὴν βραχύτητα· ὅτε καί τις γραῦς Ἀττικὴ κωνείου κατὰ βραχὺ γευομένη ἔλαθε καὶ εἰς ἕξιν ἐλθοῦσα τοῦ πίμπλασθαι τῆς δηλητηριώδους πόας καὶ μὴ ἀπόλλυσθαι. ταῦτα μὲν πρότερον, νῦν δὲ (πολλὰ γὰρ γηρῶν μανθάνω) ἔργοις διδάσκομαι, ὡς εἰς ψεῦδος κεκόμψευται ἡ παροιμία καὶ μάτην διαβέβληταί οἱ ἀγαθὸν φαγεῖν λάχανον· ἡμεῖς γάρ, καίτοι ἐν καρδίᾳ θαλάσσης παροικοῦντες ὅμως οὐκ ἰχθυώμεθα, ὥσπερ οἱ τὸ Ἴλιον πολιορκοῦντες Ἕλληνες καὶ ταῦτα τὸν ναύσταθμον πεποιημένοι ἐν Ἑλλησπόντῳ ἐπὶ τοσούτοις ἔτεσιν, ὃν ἰχθυόεντα καλεῖ Ὅμηρος. ἀλλ' εἴ ποτε τῶν ἐνταῦθα πυθοίμεθα εὐαγγελικῶν " παῖδες, μή τι προσφάγιον ἔχετε "; τοῦτο γὰρ καὶ μόνον νησιῶται οἶδε καλοῦσι προσφάγιον, ὥσπερ καὶ τὰ θρέμματα κτήματα λέγουσιν, ὡς καί τις τῶν παλαιῶν τὸν Μέροπα εἰς ὄνομα ἑαυτοῦ ἰδιώσατο. οὕτω γοῦν αὐχμηρὰν καὶ ἄνοψον παρατιθέμενοι τράπεζαν, ἐπείπερ Ἀθήνηθεν ἡμῖν κράμβαι κομίζονται· ἐνταῦθα γὰρ οὐ μόνον ἀκροδρύων σπάνις πολλή, ἅτε τῶν ἐγχωρίων ὡς ἄλλοις Διὸς βαλάνοις μόνοις τοῖς καρποῖς τῆς φηγοῦ χρωμένων κατὰ τοὺς πάλαι βαλανηφαγοῦντας Ἀρκάδας, ἀλλὰ καὶ λα-

2 δίς φησι κράμβη θάνατος] πρβλ. Βασιλ. Καισ. ἐπιστ. ρπς', ρπζ'. 3/4 γνῶθι σαυτὸν—πάρα δ'ἄτα] πρβλ. Διόδωρον ἐν τ. 2, σ. 174, 24 ἐκδ. Vogel. 7/8 ἐν τῷ λέβητι—προφητῶν] πρβλ. Βασ. 4, δ',38—39. 13 πολλὰ γὰρ γηρῶν μανθάνω] πρβλ. Σόλων. ἀπόσπ. 9. Πλούτ. ἐν βίῳ Σόλωνος β' 3 (τ. 1, σ. 154 Sint.)· «σοφίας μὲν γὰρ ἦν (= Σόλων) ὁμολογουμένως ἐραστής, ὅς γε καὶ πρεσβύτερος ὢν ἔλεγε γηράσκειν αἰεὶ πολλὰ διδασκόμενος». Σχόλ. εἰς Πλάτ. 384 Βεκ. Σουῖδας ἐν λ. «γηρᾶναι· γηράσαι καὶ παροιμία: «γηράσκω δ' ἀεὶ πολλὰ διδασκόμενος». 14/15 μάτην—ἀγαθὸν φαγεῖν λάχανον] πρβλ. Σουῖδαν ἐν λ. ἐν τῇ σημ. Bernh. «ὅτι πολλὴν εὐορκίας ἐπιδεικνύμενοι πρὸς λάχανα ὀμνύουσι· Μὰ τὰ λάχανα καὶ μὰ τὰ καλὰ λέγοντες». 18 Ὅμηρος] πρβλ. Ἰλ. Ι 360—361 «ἤρι μαλ' Ἑλλήσποντον ἐπ' ἰχθύοντα πλεούσας νῆας ἐμάς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας». 9 εὐαγγελικῶν] Ἰωάν. κα', 5. 21 Μέροπα] πρβλ. Ἰλ. 830. Λ 329. 22 γοῦν] L, δὲ Λάμπρος. 24 Διὸς βαλάνοις] πρβλ. Διοσκ. α' 145 Sprengel· «αἱ δὲ Σαρδιαναὶ βάλανοι, ἄστινας λόπιμα ἢ κάστανα καλοῦσιν ἢ μότα ἢ Διὸς βαλάνους στύφουσαι καὶ αὐταὶ τῶν ὁμοίων εἰσὶ δραστικαὶ μάλιστα οἱ μεταξὺ τῆς σαρκὸς καὶ τοῦ λέπους φλοιοί· ἡ δὲ σὰρξ καὶ τοῖς ἐφήμερον πεπωκόσιν ἁρμόζει».

χανεία ἠγνόηται, κραμβοφαγοῦμεν συνεχῶς καὶ πολλάκις οὐ θνήσκομεν, ὅτι μὴ καὶ μᾶλλον ζῶμεν ἐσθίοντες οὐ μόνον ἐφθήν, ἀλλὰ καὶ ἁλμάδα ταμιευομένην ἐς νέωτα καὶ καταχρεμπτόμεθα γενναῖον τῆς λήρου παροιμίας καὶ κατὰ τὸν εἰπόντα ἁλμυρὸν προσπτύομεν ἀπὸ στόματος κραμβοφάγου, τρόπον ἄλλον ἤπερ ὁ κωμικὸς εἴρηκεν. ἀλλ' ὅπερ ἐλέγομεν, οὔτε παροιμίᾳ δουλεύων οὔτε δειλαινόμενος ἐπέσχεν ἂν τὸ γράφειν ὁ σοφὸς καὶ γενναῖος Εὐθύμιος. ταῦτ' ἄρα καὶ τοῖς λογισμοῖς ἀδολεσχῶν ἔτι καὶ σκάλλων τῷ πνεύματι καὶ διερευνώμενος τῆς ὀλιγογραφίας τὸ αἴτιον, ἕτερα ἐξ ἑτέρων ἀνελογιζόμην καὶ μή ποτε ἔφασκον σκήψαιτο τὸ ἀποκεκλεῖσθαι τὴν πρὸς ἡμᾶς φέρουσαν· πρὸς ὃ καὶ παρεσκευαζόμην (οὐ γάρ σε ἀποκρύψωμαι τάληθές) ἀντιπροτείνειν τὰς λύσεις, μᾶλλον δὲ ὡς πρὸς ὑποφορὰν ἐξηρτημένην παρά σου εἶχον ἐν ἑτοίμῳ ἀντεξάγειν εἰς ἀντίπρωρον ἀνθυποφορὰν τὰς αὐτόθεν δεῦρο πλεούσας ἄλλας ἐπ' ἄλλαις λέμβους οἷα συμμαχίδας χαλκεμβόλους τριήρεις τινάς, δι' ὧν καὶ καταναυμαχῆσαι καὶ εἰς ἀχανὲς καταδῦσαι τὴν σκῆψιν ἤλπιζον, ὡς μηκέτι τὰς αἰτίας μεταφέρειν εἰς τὰ μεταξὺ πολλὰ " οὔρεά τε καὶ σκιόεντα, θάλασσάν τε ἠχήεσσαν ". ἀλλ' ἀνακρουστέον ἐπὶ πρύμναν τὰ ἐκ τῶν ἀρχεκάκων τριήρεων καὶ πρωτουργῶν ἡμῖν τῆς κοινῆς συμφορᾶς τροπολογούμενα, μὴ καὶ φορτικῶς σοι διαλέγωμαι. ἐδόκει μοι τὰ οὐκ ὄντα φανταζομένῳ ῥᾳδίως ἂν καὶ ἐκ πολλοῦ τοῦ περιόντος ἀποδεῖξαι μὴ διατετειχίσθαι τὴν πρὸς ἡμᾶς πάροδον, ἀλλ' ἀνεῳγέναι πολυσχιδῶς πῇ μὲν ὡς ἐπὶ διαμέτρου κατ' εὐθυωρίαν Χαλκιδόθεν ἐς δεῦρο φέρουσαν διὰ τοῦ μεταξὺ καὶ Ἐρετριέων καὶ τοῦ καλοῦ Ἀρτεμισίου πελάγους, ἔνθα κατὰ Πίνδαρον φαινὴν ἐλευθερίας κρηπῖδα ἐβάλλοντο Ἕλληνες (αὐτοῦ γάρ που ταῖς Περσικαῖς τριήρεσιν οἱ περὶ τὸν Θεμιστοκλέα πρῶτον προσήραξαν, ὅπερ
L 124[a] ἑξῆς δια τῆς Μαραθωνίου Κυνοσουρίδος ἀναχεόμενον ἐπὶ τὰς περὶ ἡμᾶς Κυκλάδας ταυτασὶ νήσους ἐκδίδωσι), πῇ δὲ ὡς ἐπὶ δύο ἡμικυκλίων, τοῦ μὲν δεξιοῦ τοῦ διὰ τῆς Ἀττικῆς, τοῦ δὲ ἀριστεροῦ τοῦ διὰ τῶν Καρυστίων ἄκρων εἰς ἡμέτερον περιάγουσαν || καταγώγιον. ἀλλὰ τί ποτε εὐθυφορικὰς ὁδοὺς ἐπεισκυκλῶ, ἐξὸν εἰπεῖν ὡς Ἔρωτι πάντα βάσιμα, καὶ πῦρ καὶ ὄρος

4/5 κραμβοφάγου — κωμικὸς εἴρηκεν] πρβλ. *Ar. Ludwich*, Die homer. Batrachom. Leipzig 1896, σ. 178, στ. 218 ἐν ὑποσημ. 10 ἀποκρύψωμαι] L, ἀποκρύψομαι Λάμπρος. 11 ἐξηρτημένην] διόρθωσις ἡμετέρα— Λάμπρος κατὰ τὸν κώδικα ἐξαρτυομένην. 16 οὔρεα — ἠχήεσσαν] Ἰλ. Α 157 || σκιόεντα] L καὶ Λάμπρ. βησσήεντα || θάλασσά τε ἠχήεσσα] L καὶ Λάμπρος θάλασσάν τε καὶ ἠχήεσσαν. 22/24 Ἀρτεμισίου — Θεμιστ. προσήραξαν] πρβλ. Ἡροδ. ζ', 175—177, 183, 192. η', 2, 4, 5, 21, 22, 23, 41—3, 45—6, 66, 76, 77, 82. 25 Μαραθωνίου Κυνοσούριδος] πρβλ. Ἡροδ. η', 76. Ἡσυχ. ἐν λ. «Κυνόσουρα, φυλὴ Λακωνικὴ καὶ ἄκρα τοῦ Μαραθῶνος, πρὸς τὴν Εὔβοιαν τετραμμένη». 26 τοῦ δὲ] L, τε Λαμπ.

καὶ Σκυθικὴ χιὼν καὶ πέλαγος Ἄτλαντος; εἰ δὲ τηλικαῦτα τῷ περὶ τὰ αἰσθητὰ πτερυγιζομένῳ Ἔρωτι δέδοται, ἡλίκα τῷ κατὰ πνεῦμα καὶ οὐρανίῳ δοίημεν δύνασθαι, οὔπερ τὰ πτερὰ καὶ τὸ πῦρ οὐχ οἷα μῦθος τῷ περὶ τὰ δεῦρο ἐπτοημένῳ περιτίθησιν, ἵν' ἐμφήνῃ τὸ διάφορον καὶ πανταχοῦ φέρεσθαι ἄνετα καὶ τῶν ἀπειργόντων ἀνώτερον; ἀλλ' εἰ βουλομένῳ σοι ἔστι μαθεῖν ὁποῖα ταυτί, ἄκουε τῆς ἐν Ἄσμασιν ἐρώσης καὶ ἐρωμένης ψυχῆς, ὅπως τῆς κατὰ θεὸν ἀγάπης τὴν πτέρωσιν ὕμνησε· "περίπτερά" φησιν, "αὐτῇ φλόγες πυρός". ποῦ γοῦν οὐ διαπτήσεται τῷ φλογερῷ πτερῷ καὶ οὐκ αὐτὴ μόνη ἀλλὰ καὶ τὰ αὐτῆς ἔπεα πτερόεντα; οὐκ ἔστι τις ἐν τῷ παντὶ χῶρος, εἰς ὃν οὐ ῥᾳδίως διαπτερύξεται, κἂν τὰ παρὰ τῷ Δαυὶδ ἔσχατα τῆς θαλάσσης ἐρεῖς, μὴ ὅτι γε τὸ ξεναγὸν ἡμῶν τουτὶ νησύδριον τὸ κατὰ τῆς σὲ Εὐβοίας ἀντίπορθμον. τοιαῦτα, ὦ φίλη μοι κεφαλή, ἐν διακένοις ἀναπλασμοῖς διανοίας φαντασιούμενος ὠνείρωττον· ἐπεὶ δὲ τῷ τέως ἐν οὐκ ἐλπίσιν ἡμῖν σὸν γράμμα ἐπέλαμψεν, ἐκεῖνα μὲν "ὡσεὶ ἐνύπνια ἐξεγειρομένου" παραχρῆμα φροῦδα πάντα, ἡμεῖς δὲ τὰς πολυπλανοῦς εἰκοτολογίας τῶν λογισμῶν ἀνεπαυσάμεθα. καὶ εἴης μοι, χαριέστατε ἀνδρῶν, ἄλλα ἐπ' ἄλλοις μὴ τρὶς ἢ δεκάκις, ἀλλὰ πολλάκις ἐπιστέλλων μοι καὶ τὸν τῆς ἀκηδίας νυσταγμὸν διαλύοις βεβαιῶν ἡμᾶς ἐν οἷς γράφεις πρὸς τὸ φέρειν εὐχαρίστως μετρίαν ταυτηνὶ τὴν παιδείαν κυρίου, μᾶλλον δὲ δεσποτικὴν μαστίγωσιν· δικαίων γὰρ καὶ υἱῶν ἀγαπωμένων αἱ παιδευτικαὶ τῶν θλίψεων ἐπαγωγαί, τῶν δὲ κατ' ἐμὲ πονηρῶν καὶ ὀκνηρῶν δούλων αἱ τιμωρητικαὶ μάστιγες. προσειρήσθω μοι ὁ περὶ σὲ κορυφαῖον καὶ χορολέκτην σοφὸν κύκλος ὁ λόγιος καὶ μουσηγετῶν ταῖς ἐννέα ξυνῳδὰ καὶ ἀντίφθογγα +

5.

L 124 *Τῷ αὐτῷ.*

+ Οὔτε τοῦ ἐπιστέλλειν ἡμῖν, ἀνδρῶν λογιώτατε, οὔτε τοῦ δέχεσθαι τὰ παρ' ἡμῶν ἀντεπιστελλόμενα γένοιτο ἄν σοί ποτε κόρος, ὡς ἔοικεν, δυεῖν αἰτίων κατ' ἐμὴν δόκησιν ἕνεκα, ἑνὸς μὲν καὶ πρώτου, ὅτι διαπύρως καὶ ἀνοθεύτως φιλεῖς καὶ ταῦτα δὴ τὰ τῶν μανικῶν ἐραστῶν· ἐπεὶ ⟨δὲ⟩ τοῦ φιλουμένου ἀπόντος ὑπερεκκέκαυσαι, ὡς ἐξόν σοι παραπολαύεις τοῖς τῶν γραμμάτων ἰνδάλμασι καὶ δοκῶν οὑτωσὶ συλλαλεῖν καὶ ὡς μὲν φωνεῖν ὡς δὲ φωνῆς ἐν τῷ μέρει ἀκούων καὶ παμψυχήν τινα ταύτην ἔγνως σοφίζεσθαι.

1 Σκυθικὴ χιὼν] πρβλ. Λογγίνου ποιμ. 3,5. 6 Ἄσμασιν] πρβλ. Ἄσμα ε', 6. 7 τῆς κατα θεὸν ἀγάπης] L, τῇ—ἀγάπῃ Λάμπρος 9 ἔπεα πτερόεντα] Ὀδ. δ 550 κέ. 10 Δαυὶδ] Ψαλμ. ρλη', 9. 11 ἡμῶν] L, ἡμῖν Λάμπρ. 14 ὡσεὶ ἐνύπνια ἐξεγειρομένου] Ψαλμ. οβ', 20. 19 παιδείαν κυρίου] πρβλ. Παροιμ. γ', 11. 27 ⟨δὲ⟩] προσθ. ἡμετέρα 19.

ἤπου, ὦ φιλίας ἀκραιφνοῦς γνῶμον, καὶ ἐν τοῖς μεθημερινοῖς φαντάσμασιν εἰδωλοποιεῖς ἀεὶ τὴν καινὴν ἡμῶν ἔντευξιν καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ καθεύδων ὀνειροπολεῖς ταυτηνί, εἴπερ οὐ φαύλως ὁρίζονται τὰ ὀνείρατα τῶν μεθ' ἡμέραν ἀκουσμάτων καὶ φαντασμάτων ἀπηχήματα. ἓν μὲν δὴ τοῦτο αἴτιον λογίζομαι τῆς περὶ τὰ γράμματα ἀπλήστου ἐφέσεως, δεύτερον δὲ ἐκεῖνο· τῶν ἐπὶ σοφίᾳ κλεινῶν ἀνδρῶν ἄλλου ἄλλο τι ἐζήλωσας, τῶν δ' ἐξ ἀτυχημάτων εὐτυχησάντων εἰς ἄκρον βατῆρα φιλοσοφίας ἀφικέσθαι, ἐκείνους ὧν ὁ μὲν πειραταῖς περιπεσὼν καὶ καταπλεύσας Ἀθήναζε, εἶτα προσφοιτῶν τοῖς ἐκεῖσε μαθηματικοῖς οὕτω γεωμετρίαν ἠκριβώσατο, ὥστε καὶ τετραγωνίσαι τὸν κύκλον ὑπεβάλετο, ὁ δὲ ναυαγήσας "εὖ γε", εἶπεν, "ὦ τύχη, ὅτι με εἰς τὸ τριβώνιον τοῦτο συνέστειλας" καὶ φιλοσοφήσας τὰ κράτιστα τῶν Στωϊκῶν ἀναπέφηνεν. οὔπερ καὶ τοῖς περὶ τοῦ μὴ εἶναι κίνησιν ἐπιχειρήμασιν ἐντυχὼν ἔγνως δήπου, ὡς οὐκ ἀκόμψως εἶπεν αὐτὸν ὁ εἰπὼν ἀμφίγλωττον καὶ οὗ τὸ σθένος οὐκ ἀλαπαδνὸν" || διὰ τὴν L 124³ ἐφ' ἑκάτερα τῶν ἐναντίων ἐπιχειρηματικὴν τοῦ ἀνδρὸς δριμύτητα. κατὰ ζῆλον τοίνυν τούτων καὶ σὺ δυσπραγοῦντι καιρῷ χρησάμενος τὴν πᾶσαν σχολὴν ἐχαρίσω τοῖς τῶν παλαιῶν συγγράμμασι καὶ δὴ σοφαῖς βίβλοις συγγινόμενος τὸ τῆς ψυχῆς ἐπέρρωσας γόνιμον, ἡ δὲ τὰς ὠδῖνας οὐκ ἔχουσα στέγειν οὔτε μὴν λυθῆναι τούτων οἵα τε οὖσα καὶ τοὺς εὐγενεῖς τόκους ἐξάγειν εἰς φῶς διὰ τὴν Ἰταλικὴν καὶ μισολόγον τυραννίδα πρὸς ἡμᾶς ὑπεκτίθεται, ὅσα καὶ βραχυτάτοις σπαργάνοις ταῖς ἐπιστολικαῖς δέλτοις περιελίττουσα καὶ συμπτύσσουσα, ἢ καὶ ὡς τὸν μέγαν Μωσῆν οἱ τεκόντες λαρνακιδίῳ ἐγκλεισάμενοι κάθῆκαν εἰς ποταμόν, οὕτω καὶ σὺ διὰ πορθμίδων στέλλεις τὰ σὰ τέκνα πελάγια. καὶ τοιαῦτα μὲν ἡμεῖς καταμαντευόμεθα ἴσως παρὰ θύραν καὶ οὐδ' ἴκταρ τὸ τοῦ λόγου βάλλοντες, σὺ δ' ἂν εἰδείης τὸ ὄντως ὄν. πλὴν ὅπως ἂν ἔχοι τὰ τοῦ πράγματος, ἔντειναι καὶ κατευοδοῦ καὶ συνεχῶς ἐπίστελλε οὕτω γονίμως ἔχων περὶ τὸ γράμμα, κἂν ἡμεῖς ἀφιλοτίμως ἔχωμεν πρὸς τὸ ἴσα σοι ἀντιφθέγγεσθαι +

6.

L 125³ *Τῷ Τορνίκῃ κῦρι Εὐθυμίῳ.*

+ Οὐκ ἀναμενῶ καὶ αὖθις τὸ σὸν πρόσφθεγμα, σοφὴ καὶ φίλη μοι κεφαλή, ἵν' οὕτως ἀντιπροσφθέγξωμαι δεύτερος, ἀλλ' ὑπάρξω καὶ αὐτὸς πε-

10 ὑπερβάλετο] διόρθωσις ἡμετέρα, Λάμπρος ἐπεβάλλετο. 14 ἀμφίγλωττον] πρβλ Συνέσ. σ. 1269,B Migne. Εὐστάθίου εἰς Ἰλ. 489,20. 489,32 || οὗ τὸ σθένος οὐκ ἀλαπαδνὸν] πρβλ. Ὀδ. σ. 373 «τῶν τε σθένος οὐκ ἀλαπαδνόν». 22 Μωσῆν] πρβλ. Ἐξόδ. β, 1—3. 25 οὐδ' ἴκταρ — βάλλοντες] πρβλ. Πλάτ. π. πολ. γ' 575 C· "τὸ λεγόμενον, οὐδ' ἴκταρ βάλλει".

ριόδου τινὸς ἀποδήμων προσρήσεων δυοῖν ἕνεκα, ἑνὸς μὲν καὶ πρώτου τοῦ μὴ δοκεῖν ἑτεροκινήτως ἔχειν ἀεὶ καὶ ἢ κατὰ τὰς ἠχοῦς ὑστεροφωνεῖν ἢ
L 126α ὑπηχεῖν ὡς τὰ || ἐντατὰ τῶν ὀργάνων καὶ ἐμπνευστά, ἃ οὐκ ἄλλως λαλεῖ ἢ παρὰ τῶν τεχνιτῶν κρουόμενα καὶ ἐμπνεόμενα, ἀλλά γε καὶ ἐν τῷ μέρει κἀμὲ ἐνδιδόναι προσφωνήσεων σύνθημα, δεύτερον δὲ τοῦ ὑπομνῆσαι τὴν σὴν λογιότητα, ὡς οὐκ ἀποχρώντως ἔχομεν τῶν προσηγόρων γραμμάτων, ὥστε καὶ σιωπᾶν τοῦ λοιποῦ· σὺ μὲν γὰρ δὶς ἤδη καὶ τρὶς ἐπιστείλας τὸ πᾶν ἐξειργάσασθαί σοι καὶ τέλος ἔχειν ἴσως νομίζεις, καθότι καὶ τοῖς παλαιοῖς ἐδόκει " τὰ τρία πάντα εἶναι καὶ τὸ τρὶς πάντῃ καὶ τοῖς τρισὶν ὡρίσθαι τόποις καὶ τὰ πάντα, ἀρχὴ δὲ καὶ μέσον καὶ τελευτὴ τὸν τοῦ παντὸς ἀριθμὸν ἔχειν, οἳ καὶ πρὸς τὰς ἁγιστείας τῷ ἀριθμῷ τούτῳ ἐχρῶντο καὶ πάντας ⟨μὲν⟩ τοὺς τρεῖς προσαγορεύουσι καὶ τρία πάντα, τοὺς δύο δὲ οὐ πάντας, ἀλλ' ἀμφοτέρους καὶ τὰ δύο ἀμφότερα φύσεως νόμοις καὶ μαθηματικοῖς ὅροις ἑπόμενοι, καθ' οὓς τὸ μὲν ἐφ' ἓν διεστηκὸς μέγεθος γραμμή ἐστι, τὸ δ' ἐπὶ δύο ἐπίπεδον, τὸ δ' ἐπὶ τρία σῶμα καὶ παρὰ ταῦτα οὐδέν ἐστιν μέγεθος, ὥστε τὰ πάντα καὶ τὸ πᾶν καὶ τὸ τέλειον εἶναι τὰ τρία ". σὺ μὲν οὖν, ὅπερ ἔφην, ταῦτ' εἰδώς, τριάδα ἐπιστολῶν πεπομφὼς τὸ πᾶν καὶ τὸ τέλειον τοῦ φιλικοῦ καθήκοντος ἀποτῖσαι ἴσως δοκεῖς καὶ παρὰ τοῦτο τὴν γραφίδα ἐπέσχες τοῦ λοιποῦ καὶ σεσίγηκας· ἐγὼ δὲ καὶ αὐτὸς φύσεως μὲν ἀδιαστρόφου καὶ μαθήσεως ἀληθοῦς θεσμοῖς οἶδα πείθεσθαι, οὐ μὴν διὰ ταῦτα τὸ τρὶς μόνον προσειπεῖν διὰ γραμμάτων πάντῃ καὶ τελείως προσειπεῖν εἴποιμι, οὐδὲ τρισσὴν πρόσρησιν πᾶσαν καὶ τελείαν καὶ οὐκ ἐνδέουσαν· εἰ γὰρ τοῖς ἀποδήμοις τὸ τρὶς προσερεῖν ἀπόχρη, ἀπόχρη πολὺ πρότερον ὁρῶσί τε καὶ ὁρωμένοις τὸ τοσόνδε πρόσφθεγμα, ὅπερ οὔτε τῷ πολιτικῷ ἀνθρώπῳ καὶ ἡμέρῳ φύσει ζῴῳ νενόμισται, οὔτε μὴν τῇ ἀποστολικῇ δοκιμασίᾳ δοκεῖ, ἢ μηδὲν ὄφλειν ἀλλήλοις διορίζεται, εἰ μὴ τὸ ἀγαπᾶν μόνον· τούτου δέ ἐστι δήπου καὶ τὸ ἀσπάζεσθαι, ὥσπερ τοὐναντίον τὸ μηδὲ προσεννέπειν. αἰώνιον ἄρα καὶ ἀδιάλυτον χρέος οὐ μόνον τὸ ἀγαπᾶν, ἀλλὰ καὶ τὸ προσφθέγγεσθαι φιλικῶς· μὴ γοῦν τοῦ ἀπεράντου τούτου χρέους κατόκνει τὴν ἀεὶ ὀφειλομένην ἀπότισιν, ἀλλὰ βραχείαις συλλαβαῖς ἀφοσιοῦσθαι προθυμοῦ, ἡνίκα ἂν αἴσθοιο πλοίου Χαλκιδικοῦ εὐθὺ τῆς καθ' ἡμᾶς ξεναγοῦ νήσου πλέοντος· οὐ μικρῶς γὰρ ἐντεῦθεν ψυχαγωγούμεθα. ὁ θεὸς τῆς ἀγάπης καὶ ἡ αὐτοαγάπη διατηροίη σε πειρασμοῦ παντὸς ὑψηλότερον. προσειρήσθωσαν ὁ περὶ σὲ λόγιος χορός +.

9/16 τὰ τρία — τέλειον εἶναι τὰ τρία] πρβλ. Ἀριστ. 268, 6—15.

7.

B 154β || *Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ καὶ τοῖς λοιποῖς Ἁγιοσοφίταις, ἤγουν τῷ Πιστοφίλῳ κῦρ Νικολάῳ καὶ τῷ Βεριβόῃ κῦρ Μανουήλ.*

L 130α || + Ἐγὼ τὸ μὲν ἐπιστέλλειν ὑμῖν, ὦ σοφαὶ καὶ φίλαι μοι κεφαλαί, καὶ παρ' ὑμῖν αὖθις ἀμοιβαῖα τοῦ παντὸς ἂν ἀλλαξαίμην πολλῶν τε ἕνεκα, μάλιστα δ' ὅτι παρ' ὅσον ἂν χρόνον ἢ τὰ παρ' ὑμῖν ἐπιὼν ἢ τὰ πρὸς ὑμᾶς γράφων τύχοιμι δοκῶ συνεῖναί πως ὑμῖν καὶ οἷον ἐναδολεσχεῖν οὐ γράμμασιν, ἀλλ' ὑμῖν αὐτοῖς, ἀφ' ὧν καὶ πρὸς οὓς τὰ λεγόμενα. ὀνειρώττω γὰρ ἐγρηγορότων ὁμιλίαν τινὰ καὶ φαντασιοῦμαι εἰδωλοποιίαν ἐντεύξεως καὶ ὕπαρ ἀτεχνῶς οὐκ ὄναρ τὴν κοινολογίαν ποιεῖσθαι δοκῶ, ὡς ἂν ἢ προσδιαλεγομένων καταφανῶς ἀκροώμενος ἢ προσδιαλεγόμενος ἐναργῶς ἐπαΐουσιν· ὑπὸ ⟨γὰρ⟩ τοῦ ἄγαν ἐθέλειν, ὡς οἶμαι, καὶ γλίχεσθαι τὴν ἐντυχίαν παρακλέπτομαι τὸ ἀπόδημον καὶ γίνομαι ὑμῶν καὶ μεθ' ὑμῶν ὅλως. ὅσην οὖν καὶ οἵαν ψυχαγωγίαν οἴεσθέ με καρποῦσθαι καὶ ἡλίκην παραμυθίαν δρέπεσθαι, ἐφ' ὅσον χρόνον κοινοῖς ἐνευκαιρῶ γράμμασι, καὶ τῆς μὲν κατ' αἴσθησιν ζωῆς ἁρπαζόμενος, τῆς δὲ φανταστικῆς ἐπιβαίνων δοκῶ μοι συνεῖναι τοῖς φιλτάτοις ὑμῖν; οὐ γὰρ ὡς ⟨οἱ⟩ παλαιοὶ τὰς θείας ἐπαγγελίας, οὕτω καὶ αὐτὸς τὰς ἱερὰς καὶ ποθεινὰς ὑμῶν ὄψεις τε καὶ φωνὰς πόρρωθεν ὁρῶν καὶ ἀκούων ἀσπάζομαι, ἀλλ' ὡς ἄγχιστα παρὼν καὶ οἷον αὐτόπτης γινόμενος καὶ αὐτήκοος. οὕτω καὶ ἀπὼν ἀποῦσι κατὰ σῶμα συνάπτομαι πνεύματι καὶ ὡς παρόντων κατεμφοροῦμαι κατ' ἐξουσίαν πολλὴν καὶ τῆς ὑπερορίου διαστάσεως ἀπαλλάττομαι, ἕως τὴν ἐν γράμμασιν ὁμιλίαν σχασάμενος καὶ τῆς ἐντεῦθεν ἐκστάσεως ἐπανιὼν ἐν ἐμαυτῷ γένωμαι καὶ τῆς ὀνειρώδους προσλαλιᾶς καὶ φαντασιώδους ἁρπαγῆς αἰσθήσομαι καὶ γνώσομαι, ὡς οὐκ ἐν Χαλκίδι καὶ τοῖς ἐκεῖ που φιλτάτοις σύνειμι ἀληθῶς, ὀνειροπολῶν δὲ ἄλλως ἔτι που κατερύκομαι εὑρεῖ πόντῳ, καί με τις τῶν κατ' Αἰγαῖον Κυκλάδων νήσων ὑγραῖς, τὸ ποιητικόν, ἀγκάλαις ὀχμάσασα πολλῷ τῷ μεταξὺ τῶν φιλτάτων διΐστησι. τούτου μὲν δὴ ἕνεκα, ὡς εἶπον ἀρχόμενος, πολλοῦ μοι τὰ ἐπισταλτικὰ γράμματα κρίνεται ἄξια, καὶ ηὐξάμην ἂν ἐνδελεχῶς ἑκάστῳ ὑμῶν ἀνὰ μέρος καὶ ἰδίᾳ γράφειν οἷός τε εἶναι καὶ οὗ παρ' ἑκάστου ὑμῶν ἀμοιβαδὸν τὰ ἴσα δέχεσθαι· οὕτω γὰρ ἂν ἑκατέρωθεν πληθυνομένης τῆς ὁμιλίας καὶ

B = Κῶδ. Barrocianus 131, φ. 154β—155α. Ἐκ φωτογραφίας. Laur. φ. 130α—131β. Ἐπιγραφὴ τῇ ἐπιστολῇ ἐν τῷ L «Τῷ Τορνίκη κῦρ Εὐθυμίῳ καὶ τοῖς ὑπ' αὐτὸν Ἁγιοσοφίταις». ὑμῖν B, ὑμᾶς L. 11 ⟨γὰρ⟩] προσθ. Παπαγ. 16 οὐ γὰρ] B, L καὶ Λάμπρος καὶ || ⟨οἱ⟩ προσθήκη ἡμετέρα. 22 ἐν ἐμαυτῷ] B, L ἐμαυτοῦ 23 αἰσθήσωμαι καὶ γνώσομαι] B, L καὶ Λάμπρος αἰσθήσομαι καὶ γνώσομαι. 25 κατερύκομαι εὑρεῖ πόντῳ] πρβλ. Ὀδ. Α 197, Δ 198. 26 ὑγραῖς, τὸ ποιητικόν, ἀγκάλαις] πρβλ. Εὐριπ. ἀπόσπ. 941 Nauck.

αὐξομένης, καὶ ἡ ἀπ' αὐτῆς μοι ψυχαγωγία ἐς ἀνάλογον μέγεθος προὔβαι-
νεν. ἀλλ' ὤ, τί πάθω; οὐδὲ τὸ χρηστὸν ῥᾷστον ἐμοὶ καὶ ἄλλως εὐπόριστον·
ἵνα γὰρ τὰς ἄλλας τῷ τέως ἐργωδίας ἐάσω, ὑμεῖς, ὦ θαυμάσιοι, περιλα-
λοῦντες ὑπερφωνεῖτε ἕνα με πολλοὶ καὶ γέροντα, νεανίαι, καὶ πάλαι σχασά-
μενον τὸ φιλότιμον ἐπακμάζοντες τῷ τοιούτῳ καὶ θερμότερον ἐλλαμπόμε- 5
νον. καὶ χαίρω μὲν ταῖς πολλαῖς ὑμῶν φωναῖς καταυλούμενος, οὐκ ἔχων
δὲ ἀντᾴδειν πρὸς ἕκαστον φωνῇ μιᾷ, λειπόμενος ἄχθομαι καί ποτε χειρο-
πληθὲς φορτίον γραμμάτων ὑμετέρων ὡς τὰ πολλὰ δεχόμενος πρῶτα μὲν
τῷ εὐόγκῳ τούτῳ ἐπεντρανίζων ἀναψύχω (πῶς εἴποιτε;) καὶ πλέον ἢ οἱ δι-
ψῶντες ταῖς μεγαλειότησι τῶν προαφερομένων ἐκπωμάτων ἐπιγαννύμενοι καὶ 10
L 131ᵃ τοῖς ὀφθαλμοῖς οἷον προσπίνουσι ψυχαγωγούμενοι. εἶτ' ἀνα||πτύξας ἐπέρχομαι
ἀνὰ μέρος ἕκαστον καὶ δοκῶ καθῆσθαί που ἐν ἁλσώδει μουσικῶν ὀρνίθων
καταγωγῇ καὶ νῦν μὲν κύκνων, νῦν δ' ἀηδόνων εἴτ ἄλλων καλῶς ἀειδόντων
ἐπακροᾶσθαι, ὅτε καὶ τὸ τοῦ κωμικοῦ ὡς ἥδομαι καὶ τέρπομαι καὶ μόνον
οὐ χορεῦσαι βούλομαι, ὥσπερ ἄρα καὶ τὸν Ἀλέξανδρον ἀνέπειθον πυρριχί- 15
ζειν οἱ Τιμοθέου αὐλοί. οὕτω καὶ ὦτα γοητεύομαι καὶ ψυχὴν κατεπᾴδομαι
καὶ ὅλως, ὅπερ ἔφην, πρὸς ὑμᾶς ὡς ἀμέσως ὁμιλοῦντας ἐπέστραμμαι καὶ
τῶν παρόντων ἐκπίπτων τοῖς ἀποῦσι φανταστικῶς προΐπταμαι· καὶ παρὰ μὲν
τῶν ὑμετέρων φωνῶν οὕτως ἀγαθυνόμενος διατίθεμαι, δεῆσαν δὲ κἀμὲ τοῖς
ἴσοις ἀντιχαρίσασθαι ἡ μὲν ἄγαν προθυμία καὶ ἡ τοῦ ἐντυγχάνειν ὑμῖν διὰ 20
γραμμάτων γοῦν ἔφεσις θερμή τις καὶ νεανική, τὸ δὲ ναρκῶδες τοῦ γήρως
ἄλλως τε καὶ οὕτω δυσπραγοῦντος θᾶττον ἐλέγχεται καὶ τὸ τῆς ψυχῆς ἐξ-
αλλόμενον σβέννυσιν ἐμποδοστατοῦσα ἡ φύσει παρεπομένη ὀλιγοδράνεια. εἶ-
τα τὸν παρ' Ὁμήρῳ μὲν γέροντα Νέστορα νέοι τρύχουσι μαχηταί, πρὸς δὲ
τοὺς ἐν παροιμίᾳ δύο οὐδ' Ἡρακλῆς ὁ καλλίνικος, καὶ πῶς ἐγὼ βραχὺ μὲν 25
ἐμπνέων, βραχὺ δ' ἀναστένων πρὸς οὕτω σφριγῶντας ἐν λόγοις καὶ τοσούσ-
δε ἀτρύτως ἀρκέσαιμι; ἢ πῶς τοιῷδε συστήματι συμπαρεκτεινόμενος πλου-
σίῳ περὶ λόγους αὐτὸς καὶ βιβλίων ἐψιλωμένος αἰτῶν οὐκ ὀφλήσαιμι γέ-
λωτα, ἀντιταλαντευόντων ὑμῶν τὴν ὁλκὴν τῆς σοφίας καὶ μεταγωγούντων
κατὰ πολὺ τὰ ἡμέτερα; ταῦθ' ὁ πρεσβυτικὸς ὄκνος ὑπαγορεύων σιωπᾶν ὑπο- 30

3 ὑμεῖς] ἡμετέρα διόρθωσις, LB ὑμῖν Λ ά μ π ρ ο ς. 7 φωνῇ μιᾷ] BL Λ ά μ π ρ ο ς μιᾷ φωνῇ. 6 ὑμῶν] B ἡμῶν 10 ἐπιγαννύμενοι] LB, ἐπιγαννύμενος Λ ά μ π ρ ο ς. 11 προσπίνουσι ψυχαγωγούμενοι] LB, ψυχαγωγούμενος Λ ά μ π ρ ο ς. 12 ἁλσώδει] LB, ἁλοώδει Λ ά μ π ρ ο ς 13 ἀειδόντων] B ἀηδόντων. 14 κωμικοῦ] πρβλ. Ἀριστοφ. Εἰρ. 291 || B κομικοῦ. 15/16 Ἀλέξανδρον—Τιμοθέου αὐλοί] πρβλ. Ἀθην. ιβ' 538 f. 18 κἀμὲ] LB, καμοῖς Λ ά μ π ρ ο ς. 24 B ἐξαλλώμενον. 25 παροιμίᾳ] πρβλ. σχόλ. εἰς Ἀριστείδ. τ. 3, σ. 429 Dind. Σουῖδ. ἐν λ. Οὐδὲν Ἡ ρ α κ λ ῆ ς. Ζηνοβ. ε', 49. Διογεν. ζ', 2. Corp. par. 2, σ. 140, 287.

B 155ᵃ τίθεται· || πάλιν δ' οὐ φοβεῖ με τὸ προσέρπον ἑτέρωθεν πρὸς βίαν ἕλκον ἐπὶ
τὸ γράφειν διανίστησι· κίνδυνος γὰρ ἐπικρέμαται σιωπῶν τε καὶ τὴν ἀπὸ
τῶν ὑμετέρων γραμμάτων ψυχαγωγίαν ἐπιλιπεῖν με· οὐ γὰρ δικαιώσετε δή-
που προσφθέγγεσθαι τοῦ λοιποῦ τὸν μηκέτι τοῖς αὐτοῖς δεξιούμενον. τοιᾷδε
5 γοῦν ἀμφικρήμνῳ δυσχερείᾳ στενούμενος σκέψασθε, ὦ μακάριοι, ὅτί ποτε
μεμηχάνημαι· εὑρετικὸν γάρ τι χρῆμα τὴν ἀνάγκην φασί. πολλοὺς ἀνελίξας
λογισμοὺς ἔγνων τελευτῶν μέσην τινὰ τῆς τε πολυγραφίας καὶ τῆς ἀνεπιστάλ-
του σιωπῆς τεμεῖν ἀτραπόν, ὅ ἐστι μὴ τὸν καθ' ἕνα ὑμῶν ἀνὰ μέρος τῷ τέως
ἐπιστεῖλαι, ὡς τὸ παλαιὸν Ἀθηναῖοι τὸ θεωρικὸν κατ' ἄνδρα διένεμον, ἀλ-
10 λὰ τὰ πολλὰ συνελεῖν εἰς ἓν γράμμα πᾶσι ξυνόν, δι' οὗ καὶ πάντας ὁμοῦ
προσφθέγγομαι καὶ τὸ καθῆκον ἑκάστῳ ἐν μέρει ἐξοσιώσομαι, αὐτός τε οὐ
πράγματα παρέξω ἐμαυτῷ ἰδίᾳ ἑκάστῳ ἐπιστέλλειν ἐκβιαζόμενος. οὕτω μὲν
οὖν ἐγὼ καὶ διὰ ταῦτα τὸ γράμμα τοῦτο ἓν κοινὸν πᾶσιν ὑμῖν ἐνεχάραξα,
ὑμεῖς δ' ἄξια τῆς ἐπιεικίας ὑμῶν πράττοιτ' ἂν μὴ παρὰ τοῦτο μικρολόγους
15 ἡμᾶς ἢ καινοτόμους νομίσαντες, εἴπερ ἑκάστου· ὑμῶν ἐπιστέλλοντος ἰδίᾳ
ὑμεῖς κοινῶς ἅμα πᾶσιν ἐπεστάλκαμεν· πάντας γὰρ ὑμᾶς ἕνα χορὸν ἐν Χρι-
στῷ ἡρμοσμένον λογίζομαι καὶ μίαν παρεμβολὴν καὶ ἄλλον ἑρμαϊκὸν κατά-
λογον καὶ τάγμα μουσόληπτον, οἷς ἐναπέχρησεν ὡς τὰ πολλὰ ξύνθημα,
ὅπερ ἐνδίδωσί τις χορολέκτης εἴτε πολέμαρχος, εἰ καὶ ταῖς ἐννέα Μούσαις
20 μίαν Ἀπόλλων ἀντιψάλλει φόρμιγγα. παρίημι τἆλλα. ἡ σάλπιγξ τοῦ εὐαγ-
γελικοῦ κηρύγματος ἐνηχεῖ μὲν τὰ ἐπιστολιμαῖα καὶ κατ' ἄνδρα Τίτῳ Τι-
μοθέῳ τε καὶ Φιλήμονι, τὰ πλεῖστα δὲ κατὰ πόλεις καὶ ἐκκλησίας καὶ
L 131ᵇ ἔθνη πολυανδρούμενα. οὔκουν καινοτόμος ἐγώ, οἷς ἰδίᾳ καὶ ἀνὰ μέρος || ἔγρα-
φον πρώην νῦν ἐπιστέλλων κοινῶς ὡς ἑνὶ μουσοπόλῳ χορῷ ὡς Ἐκκλησίᾳ
25 μιᾷ Χριστοῦ, ὡς πλειάδι σοφῶν, εἴ καὶ μὴ ἰσαρίθμῳ τῇ τῶν θρυλου-
μένων, ἀλλὰ εἰ πολλῷ ἐκείνης πυρσευούσῃ πολυαυγέστερον καί, ὡς ἔπος
εἰπεῖν, οἷς ἑνὶ, κόσμῳ ἐμῷ διὰ φιλίας σφαιρουμένῳ τοῦ Ἐμπεδοκλέους
πολὺ μονιμώτερον, παρ' ὅσον οὐχ ὑπὸ τοῦ νείκους ἐς πολλὰ μεταβάλ-
λον ἀναλύεται. οὕτως οὖν ἑνιζομένων ὑμῶν καὶ ὁτῳοῦν τῶν ἀναπλη-
30 ρούντων τὸν κύκλον ἢ τὸν σφαῖρον γράφων ὅλῳ καὶ παντὶ γράφοιμ' ἄν,
καὶ νῦν τὸ ἐπεσταλμένον ὑμῖν κοινὸν πᾶσιν ἐν μέρει οὐχ ἕκαστος ἀνὰ μέ-

1 προσέρπον] B, L προσσέρπων. 5 B σκέψασθαι. 6 B φησί. 16/17 ἕνα χορὸν ἐν Χριστῷ ἡρμοσμένον] πρβλ. Κορ. 2, ια', 2 || Λ ά μ π ρ ο ς ἡνωμένον. 24 μουσοπόλῳ] B, L μουσιπόλω. 26/27 ὡς ἔπος εἰπεῖν] πρβλ. Ἡροδ. γ', 82. Εὐριπ. Ἱππόλ. 1162. Ἡρακλ. 167. Πλάτ. 345 B. Πλουτ. τ. 4, σ. 153, 23 Βερν. Αἰλ.ΝΑ. 4, 36. 26/28 σφαιρομένῳ τοῦ Ἐμπεδοκλέους] πρβλ. Ἐμπεδ. 138 (Fragm. Philos. Gr. 1, σ. 5) || Ἐμπεδοκλέους] LB καὶ Λ ά μ π ρ ο ς ἐμπεδοκλείου 28 ἐς] L Λ ά μ π ρ ο ς εἰς. 29 τῶν] BL Λ ά μ π ρ ο ς ὁτῳοῦν ἀναπληρούντων.

ρος ἰδιώσασθε· ξυμφήσετε δήπου. χαῖρε τοίνυν τὸ σύνταγμα τὸ ἱερόν, τὸ μελιχρὸν σμῆνος καὶ ἄκεντρον, ἡ Ἑρμαϊκὴ χέλυς, ἡ φιλίας ἀρίστη ἁρμονία καὶ τοῖς ἐμοῖς ὡσὶν εὔηχος. ναί, χαῖρε, καὶ μὴ λήγοις προσᾴδουσα καὶ κατεπᾴδουσα τῆς ἀλγυνομένης μου ψυχῆς +.

8.

B 164 + *Τῷ Τορνίκῃ κυρίῳ Εὐθυμίῳ καὶ τοῖς λοιποῖς Ἁγιοσοφίταις.*

+ " Ἠπάτησάς με, κύριε, καὶ ἠπατήθην ", ὁ θεῖος Ἱερεμίας φησί που πρὸς τὸν θεόν, οὗ καθ' ὁμοιότητα δή τινα ἔπεισί μοι καὶ αὐτῷ πρὸς ὑμᾶς εἰπεῖν· " ἠπατήσατέ με, φίλοι, καὶ ἠπατήθην ". ἀλλὰ τὴν μὲν προφητικήν, ἤν τινα δὴ ὑποληπτέον ἀπάτην εἰδεῖεν ἂν καὶ λέγοιεν. ὅσοι τοὺς χρησμοὺς διερευνοῦσι τοῦ πνεύματος, ἐγὼ δ' ὅπως παρ' ὑμῶν ἐξηπάτημαι, αὐτόθεν ἐπιτροχάζων ὡς οἷόν τε διηγήσομαι. ᾤμην ὑμᾶς, ἀδελφοί, ὁμοπάτριδας εἰδὼς διὰ τῆς αὐτῆς ἐληλυθότας παιδεύσεως, τῷ αὐτῷ συγκεκληρωμένους μεγίστῳ βήματι, ἵνα μὴ τἆλλα καταριθμῶμαι πάντα, ἐν τῷ αὐτῷ νοῖ καὶ τῇ αὐτῇ γνώμῃ κατηρτῖσθαι κατὰ τὸ ἀποστολικὸν παράγγελμα καί που καὶ ἐμακάριζον ὡς ἐν κάκοῖς ἄμεινον ἔχοντας, οἷς ἐκ τῆς Βασιλίδος τῶν πόλεων ἁλούσης κατ' ἄκρας ἀπαναστάντες οὐκ ἐπ' ἀλλοδαπὴν ἄλλος ἄλλην σποράδες πεπλανησθε, ἀλλ' ἐπὶ τὴν ἐνεγκαμένην κατιόντες ἀνεκάμψατε καὶ ὡς εἰς ἓν σμῆνος κατὰ Χριστὸν συνεστραμμένοι τὴν τοῦ τυραννικοῦ καιροῦ χαλεπότητα συνδιαφέρετε ἀλλήλοις καὶ διάγετε εὐθυμότερον καὶ ξυμπονεῖτε κοινῶς ἑαυτοῖς μελιχρὰν βιοτήν. οὕτω μακαρίους ἡγούμην ὡς διὰ ποικίλης μὲν κοινωνίας περιπτώσεων εἰς ἄκρον μυελὸν ψυχῆς συντακέντας, εἰς ἕνα δὲ κραθέντας κατὰ Χριστὸν ἄνθρωπον· ἔνθεν τοι καὶ τὸ κατ' ἄνδρα καὶ ἀνὰ μέρος ἐπιστέλλειν ὑμῖν οὕτως ἐνιζομένοις σχασάμενος ὡς περίεργον καὶ ἄλλως ἐμοὶ ἐργωδέστερον ναρκωδέστερον διακειμένῳ περὶ τὸ λέγειν καὶ γράφειν διὰ τὸν πρεσβυτικὸν μαρασμὸν καὶ τὸν συνεπιθέμενον ἀβουλήτων ἐσμόν, ἅπερ συμπάσχειν τε ἅμα καὶ ἰδιοπαθεῖν ἐκβιάζονται, ἔγνων εἰς ἓν γράμμα τὰ πολλὰ συναλείφειν καὶ δι' αὐτοῦ προσλαλεῖν ἅμα τὴν ὁμόπνουν, ὡς ἐδόκουν, φιλότητα. ἀλλ' ἀπατηλόν τι χρῆμα ἄγνοια καὶ μέθης οὐδὲν ἧττον καὶ ζόφου τοῖς λογισμοῖς ἐπισκοτεῖ. ἀμέλει τοι καὶ ἡμεῖς ἀγνοοῦντες ὡς ἐν τῇ αὐτῇ μὲν πόλει, τάχα δὲ καὶ ἐν τῇ αὐτῇ ῥυμοτομίᾳ τῶν

2 Ἑρμαϊκὴ χέλυς] Ὅμ. εἰς Ἑρμῆν 33. 5 L καὶ Λάμπρος τοῖς αὐτοῖς. 6 Ἱερεμίας] Ἱερ. κ', 7. 10 διερευνῶνται L Λάμπρος, τύπος ἄγνωστος. 14 ἀποστολικὸν] πρβλ. Κορ. 1, α', 10. 16 ἀπαναστάντες] B, ἐπαναστάντες L καὶ Λάμπρος.

στενωπῶν συνῴκισθε, ἑκαστάτῳ δὲ καὶ πορρωτέρον ὑμεῖς ταῖς γνωμικαῖς διαθέσεσιν ἀφεστήκατε ἀλλήλων καὶ ταῖς τοπικαῖς διαστάσεσιν Ἰνδοί τε καὶ Βρεττανοί, Ὑπερβόρεοί τε καὶ οἱ τῆς Διακεκαυμένης γείτονες (φεῦ τῆς ἀπάτης) ἑνὶ μὲν σώματι κατὰ Χριστὸν ἡρμοσμένῳ γράφειν ἐδόξαμεν,
L 132a ἐλάθομεν δὲ ἀπ' ἀλλήλων διεσπασμένοις || καὶ νεκροῖς μέλεσιν ἐγκεκραγότες διὰ κενῆς. ὅθεν οὐδὲ τοῦ κοινοῦ γράμματος κοινῶς ἠκροάσασθε, ὡς αὐτὸς
B 164a ἐπέσταλκας, ἀλλ' ἄλλος ἐπ' ἄλλῳ ῥιπτάζοντες ἀνομοίως τοῖς λεγομένοις || τῆς Πλειάδος σοφοῖς ὡμοιώθητε· ἐκεῖνοι μὲν γάρ, ἐπεὶ χρησμὸς ἐξέπεσε τῷ σοφωτάτῳ δοθῆναι τὸν περιμάχητον τρίποδα, ἕκαστος ἑαυτοῦ σοφωτέρους τοὺς ἄλλους κρίνων διὰ φιλόσοφον ἐπιείκειαν ἐς ἀλλήλους διὰ πάντων ἀνακυκλούμενον περιοδικῶς παρέπεμπον. ὑμεῖς δὲ ὡς ἰαμβισμόν τινα παλαιὸν ἢ σιλλον ἄλλον ἢ Ἰταλικὸν φάμουσον ἀποτριβόμενοι ἀλλήλοις, οἷον ἐνεπλάσσετε καὶ τὸ καλοῦν ὑμῶν γράμμα μέγαν ἐμὸν κόσμον, ὃν ἐτορνεύσατο φιλία, Πλατωνικῶς φάναι, τοῦ Ἐμπεδοκλείου σφαίρου καινότερον εἰς ἀλλήλους ἀκόσμους διαστάντες κατὰ νεῖκος σφαιρηδὸν ἠκοντίζετε, ὡς εἴθε γε καὶ προσαθύροντες· ἐνοποιὸν γὰρ τὸ οὕτω σφαιρίζειν εἴτε μηλοβολεῖν ἢ καὶ παιδιῶδες ἄλλως· νῦν δὲ ἀλλ' οὐ βούλομαι σφόδρα λυπεῖν, δέος μέντοι οὐ

2 ἀφεστήκατε ἀλλήλων καὶ ταῖς] κατὰ τὸ B, L καὶ Λάμπρος ἀφεστηκότες ἀλλήλων ἤ. 4 ἑνὶ μὲν σώματι κατὰ Χρ. ἡρμοσμένῳ] πρβλ. Κορ. 2, ια', 2. 11 τοῖς λεγ. τῆς Πλειάδος σοφοῖς] πρβλ. Κοΐντου ιγ', 554—555· «ἀποιχομένην χοροῦ ἄλλων Πληιάδων, αἳ δὴ οἱ ἀδελφειαὶ γεγάασιν». 12 Ἰταλικὸν φάμουσον] Ἰταλικὸν = λατινικὸν famosum νοοῦν ἐν γένει σάτυραν, σίλλον ἀτιμοποιόν. Ἴδε Duc. Gloss. graec.-barb., σ. 1663· «Φάμωσον, φάμουσον, famosus libellus». Ἰωάννης Ἀντιοχεὺς παρὰ Σουΐδᾳ ἐν ὀν. Ἰοβιανός, τ. 1, σ. 999 Bernh.. «ἀπέσκαπτον οὖν αὐτὸν (= Ἰοβιανὸν) ᾠδαῖς καὶ παρῳδίαις καὶ τοῖς καλουμένοις φαμώσσοις διὰ τὴν τῆς Νισίβιος προδοσίαν». Ἰω. Τζέτζης (Hist. v. Chil. ed. Kiessl., σ. 501, ιγ', 486—491)· «Φάμουσα δέ μοι λέγεσθαι τοῖς νομογράφοις νοεῖ | τὰ ἔγγραφα ληρήματα κατὰ τῶν ὑπερόχων, | ἅπερ λαθραίως καὶ κρυφῇ ταῖς ἀγοραῖς ῥιπτοῦνται, | εἴτε καὶ μέσοις τοῖς ναοῖς, εἴτ' οὖν ἑτέρυις τόποις· | οἱ νόμοι τιμωροῦνται δὲ τοὺς ταῦτα γεγραφότας». Ἄννα Κομνηνὴ ἐν Ἀλεξιάδι (ἐκδ. Reiff., σ. 176)· «ἐκκακήσαντες φάμουσά τινα γράφοντες κατὰ τὴν τοῦ βασιλέως σκῆνήν (οἱ δὲ ταῦτα ῥίπτοντες ἔκδηλοι τέως οὐκ ἦσαν· δηλοῖ δὲ ἡ λέξις τὰ φάμουσα, λοιδορήματά τινα ἔγγραφα) τῷ αὐτοκράτορι τὴν πρόσω πορείαν ξυμβουλεύοντα, τῇ δέ γε αὐγούστῃ τὴν πρὸς τὸ Βυζάντιον». Παχυμέρης, τ. 1, σ. 491· «Ἐκκεκομμένης τοίνυν τῆς παρρησίας τοῖς ἐλευθέροις ὑπὸ σκότον φάμουσα ἐρριπτοῦντο τὴν τῆς ἀρχῆς παραβασίας ἐλέγχοντα». Τ. 2, σ. 245· «φάκελος γὰρ γραμμάτων καὶ τόμος, ὃ δὴ λέγεται φάμουσον, εἰς χεῖρας τῷ βασιλεῖ γίνεται». Αὐτόθι σ. 520· «ἐπεὶ δὲ καὶ φάμουσ' ἄττα ῥιφέντα ἄχρι καὶ ἐς αὐτοῦ χεῖρας δεῖν' ἄττα λέγοντα καὶ ἀᾴδοντα» κτλ. 14 Πλατωνικῶς φάναι] πρβλ. Πλατ. Τιμ. 33B || Ἐμπεδοκλείου σφαίρου] πρβλ. Ἐμπεδ. 168, 176. 14/15 εἰς ἄλλ. ἀκόσμους — ἠκοντίζετε] πρβλ. Ἀριστοτ. 334a6 «καὶ τὸν κόσμον φησὶν (= Ἐμπεδοκλῆς) ἐπί τε τοῦ νείκους νῦν καὶ πρότερον ἐπὶ τῆς φιλίας". 16 προσαθύροντες] πρβλ. Φίλοστρ. τ. 2, σ. 342, 7—8 Kays. «ἔοικε γὰρ προσαθύρων ὁ ζέφυρος μετατάττειν αὐτήν» (= τὴν κνήμην, παρὰ δὲ τῷ Μιχ. Χωνιάτῃ τὴν φιλίαν). 16/17 τὸ οὕτω σφαιρίζειν — καὶ παιδιῶδες ἄλλως] πρβλ. Πλάτ. Θεαίτ. 146A· « ὁ δὲ ἁμαρτὼν καὶ ὃς ἂν ἀεὶ ἁμαρτὼν καὶ ὃς ἂν ἀεὶ ἁμαρτάνῃ, καθεδεῖται, ὥσπερ φασὶν οἱ παῖδες οἱ σφαιρίζοντες ».

μικρόν, μὴ καὶ τῇ καθ' ἡμᾶς γενεᾷ τὸ προφητικὸν πνεῦμα κατὰ καιρὸν ἐγκελεύσεται πάλιν " συνάχθητε καὶ συνδέθητε τὸ ἔθνος τὸ ἀπαίδευτον ". τοιοῦτον ὦ σοφὴ καὶ φίλη μοι κεφαλή, τὸ ἐμὸν ἀγνόημα εἴτε ἀτύχημα, ὑμῶν δὲ κοινὸν ἁμάρτημα· οὐ γὰρ ἂν ὑποστείλωμαι τὸ μὴ οὐκ ἐλέγχειν τοὺς φίλους τοῦ δέοντος ἀποπίπτοντας (κολάκων γὰρ τὸν πάντ' ἐπαινεῖν φιλίας πρόσχήματι)· οὐκ ἀπέχρη δὲ ἄρα τὸ κοινῶς ὑμᾶς δυσαρεστηθῆναι πάντας τῷ γράμματι, ἀλλὰ καὶ ἰδίαν αὐτὸς μέμψιν προσεπετρίψω δριμύτερον τὴν ἐπιγραφὴν γραψάμενος, ἥπερ εἶχε μὲν ἐπὶ λέξως οὕτω· " τοῖς περὶ τὸν λογιώτατον κῦριν Εὐθύμιον τὸν Τορνίκην λογιωτάτοις διακόνοις. σὺ δ' ὁ γενναῖος ὑπὸ βαρείας εὐθύνας ἤγαγες, ὡς Ἴωνές ποτε τὸ ἐπιβώμιον ἐπίγραμμα, τὸ " Ἡρακλείτῳ ⟨τῷ⟩ Ἐφεσίῳ ". ἀλλ' ἐκεῖ μὲν παρὰ τὴν προσῳδίαν τὸ ἀμφίβολον εἴτε τῷ φιλοσόφῳ Ἡρακλείτῳ ἀνατεθείη ὁ βωμὸς εἴτε τῷ Ἡρακλεῖ, ἐνταῦθα δέ, ὡς αὐτὸς ἔφης, εἰς διττὰς ἐννοίας, ἤδη δὲ καὶ ἐναντίας τὰ ῥητὰ μερίζων καὶ μεριζόμενος ἀμφιβόλως μὲν εἶχες, οὐδετέραν δὲ καθ' ἡδονὴν προσίεσο, παρ' ὅσον καὶ ἀμφοτέρας θυμοδακεῖς ἐνόμιζες. δυεῖν γὰρ θάτερον ἔλεγες τοὐπίγραμμα βούλεσθαι, ἤτοι τὸ καὶ σὲ τοῖς περὶ σὲ περιφέρεσθαι· οὕτω γὰρ ὠνόμαζες τὸ συνάπτεσθαι καὶ ὡς μηδὲν ὂν σοί τε κἀκείνοις ξυνὸν ἤλγεις τὴν καρδίαν, ὡς ἂν ἐθνικοῖς ἢ τελώναις συγκαταλεγόμενος ἢ μόνοις ἐκείνοις ἐγκεχαράχθαι τὸ γράμμα, οὐ μὴν καὶ αὐτῷ σοί, ὥστ' οὐδ' ἀναπτύσσειν ἠξίους τὸ μηδέν σοι προσῆκον, ἀλλ' εἰς ἐκείνους παραπέμπειν, οἷς καὶ ἀπέσταλται· ὃ καὶ τεκμήριον τίθεμαι τοῦ μὴ ἐρωτικῶς ἔχειν περὶ αὐτό. εἰ γὰρ ἦρας καὶ ἄλλων παρανοούντων τοὐπίγραμμα καὶ τοῦ γράμματος ἀλλοτριούντων σε, οὐδ' οὕτως ἂν αὐτὸς ἀπέσχου τοῦ ἀντιποιεῖσθαι καί σοι μᾶλλον προσήκειν αὐτὸ διϊσχυρίζεσθαι, ὥσπερ καὶ τὸ μῆλον τῆς μυθικῆς Ἔριδος ἑκάστη τῶν ἐπ' αὐτῷ κρινομένων ἐξιδιοῦτο αὐτῷ ἐπιγράμματι καὶ πρὸς ἑαυτὴν εἵλκεν ὡς τῶν λοιπῶν καλλιστεύουσα. σὺ δὲ ἀλλὰ καθ' ἑαυτοῦ παρεξηγούμενος τὸ ἐπίγραμμα ἑκὼν ἐξέπιπτες τοῦ κοινοῦ γράμματος καὶ ἤλγεις, ὡς φῄς, ὑπεροφθεὶς ἀπροσαύδητος, ὀδύνας αὐτὸς σαυ-

2 συνάχθητε — ἀπαίδευτον] Σοφον. β' 1. 6 δυσαρεστηθῆναι] B δυσαεστη⟨θῆ⟩ναι, Λ ά μ π ρ ο ς δυσαρεστῆσαι. 9/10 ὡς Ἴωνές ποτε — Ἡρακλείτῳ ⟨τῷ⟩ Ἐφεσίῳ] πρβλ. Ἡρακλ. ἐπισ. Ἑρμοδώρῳ (Epistologr. Gr., σ. 281 Herscher)· «Ἡρακλεῖ ἐπέγραψα τῶ Ἐφεσίῳ τὸν βωμὸν πολιτογραφῶν ὑμῖν τὸν θεόν, οὐχ Ἡρακλείτῳ». Σελ. 282· «κατελάβετε ἂν Ἡράκλειτον ἔτι ζῶντα, ὑμῶν δὲ οὐδ' ἴχνος ὀνόματος. ἰσοχρονήσω πόλεσι καὶ χώραις διὰ παιδείαν οὐδέποτε σιγώμενος. κἂν ἡ Ἐφεσίων ἀναρπασθῇ πόλις καὶ οἱ βωμοὶ διαλυθῶσι πάντες, αἱ ἀνθρώπων ψυχαὶ τῆς ἐμῆς ἔσονται χωρία μνήμης» ‖ ⟨τῷ⟩] ἡμετέρα προσθήκη. 10 περὶ] B, παρὰ L. 17 ὀνόμαζες B. 22 παρανοούντων] B, L καὶ Λάμπρος π α ρ α γ ο μ ο ύ ν τ ω ν. 25 ἑκάστη] ἐν τῷ κώδ. B οὕτως, οὐχὶ ὡς ὁ Λάμπρος λέγει ἐ κ ε ί ν η.

τῷ προστιθείς, μᾶλλον δὲ δίκας ἐμοὶ διδοὺς τῆς ἀδίκου τῶν γεγραμμένων
L 132β ἐκδοχῆς. ἡμεῖς ⟨μὲν⟩ γάρ, ὡς τὰ πλείω γράμματα, ‖ καθὼς εἴρηται, εἰς ἓν συνείλομεν, ἀκολούθως καὶ τοὐπίγραμμα συνάγοντες πάντας μὲν πρὸς ὄνομα καταλέγειν παρήκαμεν, σχήματος δὲ λόγου γοργότητος συλληπτικῶς καὶ κατ' ἄθροισιν ἀνώνυμον ὡς εἴς τινα κορυφαῖον διαφανῆ καὶ ἔξοχον ὄντα σε τοὺς ἄνδρας περιεγράψαμεν, σοὶ τιμὴν ἐντεῦθεν ἀρνύμενος, ὦ θαυμάσιε, ὡς ἂν καθ' ὑπεροχὴν ὠνομασμένῳ καὶ διὰ τοῦ γενεῆθεν ἐπωνύμου κλεϊζομένῳ ἐπισημότερον, παρὰ τῶν παλαιῶν μεμνημένοι καὶ ταῦτα. σὺ δὲ ἀλλὰ δεινὸς ὢν περὶ λόγους ἀνὴρ κατ' ἐκεῖνον, ὃς τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο, τὸ ἐξαῖρον τὰ κατὰ σὲ σέμνωμα σοφιστικώτερον στρεβλώσας εἰς ἐννοίας ἀτόπους καὶ ἀλγεινάς σοι περιηγκώνισας, δι' ἃς οὐκέτι ἔτλης, ὡς δεδήλωκας, ἄντην εἰσιδέειν τοὐπίγραμμα ὡς ἔχθιστόν σοι μᾶλλον ἢ τοῖς σταυρωταῖς ὁ τίτλος τοῦ σωτηρίου σταυροῦ, πολλοῦ γε ἔδει ἀναπτύξαι κἀπὶ τὰ ἔνδον παρακύψαι ὡς εἰς ἄλλο χάσμα Χαρώνειον, οὕτω ῥιγίστης ἀποφορᾶς ἐν προθύροις εὐθὺς ὀσφραινόμενον καὶ οἷον ἀποπνιγόμενον· ὅτε μὲν γὰρ ὡς συνάπτον σε τοῖς σοῖς πολίταις καὶ σὺν διακόνοις ἱεροῖς ὑπεβλέπου τοὐπίγραμμα, ἄλλην συμφορὰν οὐκ ἀνασχετὴν τὴν περιφορὰν ἐνόμιζες, ὅτε δ' αὖ ὡς οὐχὶ καί σοι ἀλλὰ τοῖς περὶ σὲ μόνοις γεγράφθαι τὸ γράμμα δῆλον ἐφαντάζου. ἅτε παρὰ θύρας ἧκον ἀπερρίπτεις θύραζε καὶ οὐ χειρὶ κατὰ τὸν εἰπόντα διπάλτῳ, ἀλλὰ διπλόῃ πεπανουργευμένης ἐκδοχῆς αὐτὸς σαυτὸν κεντῶν ἐβασάνιζες. ἀλλ' ἵνα γνοίης, ὅτι μάτην τετάραξαι, λογισμῶν οὐκ ἀγαθῶν ἀναβεβηκότων ἐν τῇ καρδίᾳ σου καὶ ὡς οὐδέν ἐστιν ὑγιὲς ὧν δοκεῖς σάφ' εἰδέναι ἄλλους μὲν λόγου τέκτονας ἀγαθοὺς χρωμένους τῷ τοιῷδε σχήματι οὐχὶ κατὰ τὴν διπλόην τῆς σῆς ἐκδοχῆς, ἀλλὰ κατὰ τὴν ἐμὴν τὴν ἁπλῆν τε καὶ ἀληθῆ παρήσω τῷ τέως, μὴ καὶ ἐπ' ἄπειρον μῆκος ἐπεκταθῇ μοι τὸ γράμμα τὸν ποιητὴν δὲ παραστήσομαι πρῶτον, ὃς πολλαχοῦ μὲν τὰ ἔπη κοσμεῖ τῷ τοιούτῳ σχήματι, μᾶλλον δὲ τοὺς διαφανεστέρους τῶν

2 ⟨μὲν⟩] προσθήκη ἡμετέρα. 5 εἰς] B, L καὶ Λ ά μ π ρ ο ς ε ἰ. 7 γενεῆθεν] πρβλ. Ἄρατον Φαινομ. 260. Ἐπίγραμμα Πέρσου Θηβαίου 1864, τόμ. 1, σ. 356, c. 445 (Anthol. Palatinae rec. Fr. Dübner. Parisiis «ἄγραυλοι γεῆθεν ὀροιτύπος». 11/12 οὐκέτι ἔτλης — ἄντην εἰσιδέειν] πρβλ. Ἰλ. Τ 14—15. 12/13 ἢ τοῖς σταυρωταῖς ὁ τίτλος τοῦ σωτηρίου σταυροῦ] πρβλ. Ἰωάννου ιθ', 19—20 «Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλᾶτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένος. Ἰησοῦς ὁ Ναζωραιος, ὁ βασιλεὺς τῶν Ἰουδαίων τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος ὅπου ἐσταυρώθη Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ἑλληνιστί, Ῥωμαϊστί ». 14/15 ῥιγίστης ἀποφορᾶς ἐν προθύροις] πρβλ. Πλουτ. Ἠθ. 2, 55 A. « ἢ πόλιον βαρύοσμον, ὃ δὴ ῥίγιστον ὄδωδεν ». 17 ὡς] B, ἐλλείπει L καὶ Λ ά μ π ρ ῳ. 19/20 οὐ χειρὶ κατὰ τὸν εἰπόντα διπάλτῳ] πρβλ. Σοφ. Αἴ. 408—9· «πᾶς δὲ στρατὸς διάπαλτος ἄν με χειρὶ φονεύοι». 23 λόγου] B, L καὶ Λ ά μ π ρ ο ς λόγους. 25 ἐπ'] B, L καὶ Λ ά μ π ρ ο ς ε ἰ ς.

ἡρώων σεμνύνει διὰ τῶν οὕτω σχηματιζομένων ἐπῶν, οὐ μὴν δὲ ἀλλὰ καὶ ἐν τῇ πρώτῃ παρατάξει τῆς συμβολῆς οὕτω γράφων·

οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἡγείροντο μᾶλ' ὦκα,
οἱ δ' ἀμφ' Ἀτρεΐωνα διοτρεφέες βασιλῆες
θῦνον κρίνοντες. 5

Καὶ αὖθις·

οἱ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον Μηριόνην τε, Μέγην τ', ἀτάλαντον Ἄρηι,
ὁσμίνην ἤρτυνον.

B 165a τί πρὸς ταῦτα ἐρεῖς; ‖ πότερον Ὅμηρος Ἀγαμέμνονα Αἴαντάς τε καὶ τοὺς 10 ἄλλους τῶν Ἑλλήνων ἡγεμόνας τῇ περιλήψει τῶν ἀμφ' αὐτοὺς κοινώσας εἰς τὴν σὴν δακνηρὰν συμπεριφορὰν κατήνεγκεν, ἢ τοὺς μὲν περὶ αὐτοὺς ὁρμᾶν καὶ ἀρτύειν τὴν μάχην φησίν, αὐτοὺς δ' ἀπομάχους ποιεῖ σχολὴν ἄγοντας κατ' ἴσον τῷ Ἀχιλλεῖ; τάχα δ' ἂν Ὅμηρον παραγράψαιο ἀφέτῳ γλώττῃ καί αὐτονόμῳ τὰ πολλὰ τερθρευόμενον κατ' ἐξουσίαν ἀνεύθυνον καὶ μουσόληπτον, ἀλλ' ἐκεῖνο τὸ Θεολογικόν, ὅτι "καὶ φατρία τις περὶ ἡμᾶς οὐκ ἀγενὴς ἦν ὑπ' ἐκείνῳ καθηγεμόνι παιδευομένη; μῶν καὶ ὁ πάνσοφος οὗτος πατὴρ περὶ ἑαυτὸν καὶ τὸν ἑταῖρον Βασίλειον φήσας φατρίαν τινὰ Ἑλληνίδα τάχα καὶ πολύθεον, ἢ τῇ συμπεριφορᾷ ἤσχυνεν ἄμφω ἢ τῆς ὑπὸ καθηγεμόνι τῷ θείῳ Βασιλείῳ φατρίας ἠλλοτρίωσεν; ἄπαγε. ἄπαγε. παραγέσθω καὶ τρίτος μάρτυς ὁ τῶν θείων εὐαγγελιστῶν ἑλληνικώτερος τὴν γλῶτ-

L 133x ταν ‖ καὶ ῥητορικώτερος, ἵνα σταθῇ τὸ παρ' ἡμῶν λεγόμενον ῥῆμα· γράφει καὶ οὗτος ἐν ταῖς Ἀποστολικαῖς Πράξεσιν ὧδε· "ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας" καὶ "διελθόντες ἀπὸ τῆς Πέργης ἦλθον εἰς Ἀντιόχειαν τῆς Πισιδίας". ὅρα κἀνταῦθα τὸν σοφὸν τοῦτον ἀπόστολον, οὗ τὰ χείλη κατὰ τὸ Ἆσμα τῶν Ἀσμάτων σπαρτίον κόκκινον καὶ εἴ σοι βουλομένῳ ἐστὶν ἐπενέγκωμεν ποτὶ σπάρταν ταύτην τοὺς τῆς ἐπιγραφῆς λίθους, τόν τ' ἐμὸν τὸν ἀποδοκιμασθέντα παρὰ σοῦ καὶ τὸν σὸν τὸν τοῦ σκανδάλου, τὸν τοῦ προσκόμματος· πρὸς τοῦτον γὰρ ἀπευθύναντες ὀψόμεθα πότερον αὐτῶν ἐνδιαστρόφως ἔχει, ὀψόμεθα δὲ οὕτως. εἰ μὲν Παῦλον ὁ Λουκᾶς τῇ συμπεριφορᾷ τῶν περὶ αὐτὸν καταβάλλει ἢ τοὺς μὲν περὶ αὐτὸν ἀναχθέντας ἀπὸ τῆς Πάφου φησὶν ἐλθεῖν

2/4 οἱ μὲν—κρίνοντες] Ἰλ. B 444—46. 30 τοὶ δ' ἡγείροντο] LB καὶ Λάμπρος· οἱ δ' ἠγερέθοντο. 5 Ἰλ. O 301—303. 7 Αἴαντα κ. Ἰδομενῆα] LB καὶ Λάμπρος· Αἴαντε καὶ Ἰδομενῆ. 23/25 ἀναχθέντες—Πισιδίας] πρβλ. Πράξ. ἀποστ. ιγ', 13—14. 26 Ἆσμα] Ἆσμα Ἀσμάτων δ', 3. 27/28 ποτὶ σπάρταν — λίθους] Βασιλ. Καισαρ. Migne Patrol. Graeca, τ. 31, σ. 569D. 29 τὸν σὸν τοῦ σκανδάλου — προσκόμματος] πρβλ. Ῥωμ. θ', 33.

εἰς Πέργην κἀκεῖθεν εἰς Ἀντιόχειαν, αὐτὸν δὲ Παῦλον ἐν Κύπρῳ ἀπολελεῖφθαι, ἄριστα τὴν ἀμφίκρημνον ἐκδοχὴν τῇ ἐπιγραφῇ ἐφήρμοσας καὶ σὸς ἔσται ὁ πυραμοῦς καὶ περιγενόμενος ᾄσεις "τήνελλα καλλίνικος". εἰ δὲ μηδέτερον τούτων ἀληθές· τόν τε γὰρ Παῦλον ἐκθειάζων ἐξαίρει ὁ Λουκᾶς καὶ τοῖς ἐκ Πάφου καὶ Πέργης εἰς Ἀντιόχειαν ἐλθοῦσι συνέκδημον εὐθὺς ἱστορεῖ καὶ δημηγοροῦντα τοῖς ἐκεῖ. ἐπίγνωθι ὅπως ἐγὼ μὲν ἐπιστέλλων δεξιᾷ χειρὶ ἐπιγέγραφα, ἐξαίρων καὶ κυδαίνων σε τῷ καθ' ὑπεροχὴν σχήματι, ὁποίῳ Ὅμηρος μὲν Ἀτρείδην καὶ Αἴαντα, καὶ τοὺς λοιποὺς ἥρωας, Γρηγόριος ⟨δὲ⟩ ἑαυτὸν καὶ Βασίλειον καὶ Λουκᾶς Παῦλον, σὺ δ' οὐκ οἶδ' ἐν λαιᾷ τοῦτ' ἐδέξω καὶ ἐξεδέξω σοφιστικώτερον, μᾶλλον δὲ καὶ ἀμφοτέραις ἀπώσω ὡς μηδαμοῦ καταθύμιον. εἰ δὲ λέγων εὖ οὕτω πράγματ' ἔχω καὶ παραβιάζομαι ἀποδύεσθαι δι' ἀδολέσχου μακρηγορίας εἰς ἀπολογητικοὺς ἀγῶνας, πεφυλαγμένος μὴ παλαιᾶς ἐκπέσω φιλίας διὰ καχύποπτον ὑπόνοιαν, τί ποτ' ἂν πάθοιμι τλήμων ἐγώ, εἴ τι που ἐκμελὲς λάθω φθεγξάμενος; ἄμεινον οὖν σιωπᾶν, ὅπερ καὶ ἄλλως συμπῖπτον ἀνάγκη δήπου στέργειν, εἴπερ, ὡς διεμηνύσω μοι, εἰς Ἀσίαν μετάκλητος γεγονὼς δεῖν ἔγνως ἐκεῖ μεθορμίσασθαι, ἔνθα ἀνέφελος αἴθρη πέπταται, ἔνθα ὁ τῆς καθ' ἡμᾶς ἱερωσύνης ἥλιος, παρ' ᾧ βιοτεύων τῆς καθ' ἡμᾶς ἐσχατιᾶς καὶ τοῦ κότου καὶ ζοφεροῦ λειμῶνος τῆς ἄτης ἐπιλήσῃ τελέως καὶ οὐδ' ἐπιστέλλειν καὶ ἀντεπιστέλλειν ἐξέσται τοῦ λοιποῦ· μέγα γὰρ τὸ μεταξὺ χάσμα ἐστήρικται. τάχα δὲ καὶ αὐτὸς οὐκ εἰς μακρὰν ἐνθένδε μεταβὰς διαστήσομαί σου μείζονι πολλῷ χάσματι· τί γὰρ ἄλλο δι' ἐλπίδος ἡμῖν τῆς ἐπὶ γήραος οὐδῷ βραχύ τι καὶ τεθνηκὸς ἤδη πνέουσιν; ἀλλ' ὅποι ποτὲ καὶ διάγοις, ὦ φίλη ψυχή, τοῦ θεοῦ τὰ κατὰ σὲ διακυβερνῶντος εἴης εὐδαιμόνως ἔχων καὶ ἡμᾶς ἐν μέρει μνήμης ἀεὶ τιθέμενος καὶ μάλιστα ἐν ταῖς ἱεραῖς προσευχαῖς. προσειρήσθω παρ' ἡμῶν ὁ πανσέβαστος Δοξαπατρῆς +.

10.

L 143a ‖ ***Τῷ Τορνίκῃ κῦρι Εὐθυμίῳ.***

+ Ὡς τραγικώτατα τὴν Ἰταλικὴν τυραννίδα μεγαληγορεῖς οἷς ἐπιστέλεις, λογιώτατε καὶ πανεντιμώτατε δέσποτα, καὶ εἴπερ ὡς πρότερον καὶ

3 τήνελλα καλλίνικος] πρβλ. Ἀρχιλόχου ἀπόσπ. 106· «τήνελλα, ὦ Καλλίνικε, χαῖρ' ἄναξ Ἡράκλεες». Πρβλ. Σχόλ. εἰς Ἀριστοφάνους Ὄρνιθας 1764. Schol. gr. in Aristophanem, σ. 247 Dübn. «τήνελλα»· τὸ τήνελλα μίμησίς ἐστι φωνῆς κρούματος αὐλοῦ ποιᾶς ἀπὸ τοῦ ἐφυπνίου οὗ εἶπεν Ἀρχίλοχος εἰς τὸν Ἡρακλέα μετὰ τὸν ἆθλον Αὐγέου «τήνελλα ὦ Καλλίνικε, χαῖρε ἄναξ Ἡράκλεες, αὐτός τε κἰόλαος, αἰχμητὰ δύω». 17 ἀνέφ. αἴθρη πέπταται] πρβλ. Ὀδ. ζ 44—45. 22 ἐπὶ γήραος οὐδῷ] πρβλ. Ἰλ. X, 60.

L 143[3] νῦν ἑλληνικὰ θέατρα καὶ σκηνὴ διεσκεύαστο || καὶ θεαταὶ παρῆσαν καὶ ἀκροαταί, σφόδρα ἂν ἐθαυμάσθης τῆς περιπαθοῦς μεγαλοφωνίας. ἀλλὰ τοῦτο μὲν καὶ αὐτὸς θαυμάσας οὐ πάνυ τι θαυμάζοιμ' ἄν, εἰ γλῶττα οὕτω περὶ τὸ εὖ λέγειν γυμνασαμένη ὡς καὶ τὰ μικρὰ μεγαλοπρεπῶς ἑρμηνεύειν καὶ ὑπερσέμνως τὰ εὐτελῆ, εἶτα καὶ τὰ μεγάλα μεθ' ὅσης μεγαλειότητος λόγου καὶ ἀναλόγως ἀπήγγειλας. ἐκεῖνο δέ μοι μᾶλλον θαυμασιώτερον φαίνετα καὶ μωσαϊκὸν ἀτεχνῶς, ὅτι καὶ συγκακουχεῖσθαι μᾶλλον εἵλου ὁμοφύλῳ λαῷ ἐν ἐν Χαλκίδι ἢ κατὰ Βιθυνίαν ἔχειν ἀνέσεως ἀπόλαυσιν πρόσκαιρον. ἦπου καὶ ὡς Ξενοφῶν ὁ σωκρατικὸς μελέτην πολέμου μετὰ κινδύνων εἶναί φησι τὰ κυνηγέσια, οὕτω καὶ αὐτὸς μαρτυρίου γυμνάσιον οὐκ ἀκύνδυνον πεποίησαι τὸ παραβάλλεσθαι πρὸς βαρβάρους μισανθρώπους θηρίου παντός; Βάσανος γὰρ ἀρετῆς φιλοσόφου εἴπερ τι οἱ τυραννικοὶ καιροί, οἵπερ ἀκούεις τοῦ Ἀναξάρχου θύλακον ἐν ὅλμῳ πτισσόμενον καὶ τὸ σκέλος Ἐπικτήτου ἀδέτως δεσμούμενον. τάχα καὶ τὸν λογιώτατον Καλοκαιριὸν ταῦτά σοι φρονεῖν ἠρέθισας καὶ τοῦ μεθ' ἡμῶν ἡσύχως καὶ ἀκινδύνως σχολάζειν τὸ μετὰ σοῦ ἀνδρίζεσθαι φιλοσοφώτερον νομίζειν καὶ καιριώτατον καὶ παρὰ τοῦτο, οἶμαι, τῆς πρὸς τὰ δεῦρο ἐπναζεύξεως ἐπελάθετο. καὶ εἰ τοῦτο, οὐ πάνυ τι ἄχθομαι, εἰ μόνον μετὰ σοῦ τῷ χαλεπῷ καιρῷ ἀντιτάσσεται καὶ ἐνευκαιρεῖ μεθοδείᾳ πράξεων ὑψηλοτέρᾳ παντὸς σχολαστικοῦ θεωρήματος, εὖ μὲν εἰδὼς καιρὸν σχολῆς, εἶ δὲ καιρὸν πράξεως, καὶ πότε μὲν χρὴ πραῦνεσθαι ἀφ' ἡμερῶν πονηρῶν πότε δὲ τὸν πραῦν εἶναι μαχητὴν καὶ εἴπερ τοῖς μὲν βαρβάροις δι' αἰδοῦς ἔσεται καὶ σεβάσματος, τοῖς δ' αὖ ὁμογενέσι παρήγορος καὶ παρακλήτωρ εἰς μεγαλοψυχίαν εὐχάριστον +.

9/10 Ξενοφῶν—τὰ κηνηγέσια] παροιμία· πρβλ. Ξενοφ. Κυνηγετικῶν κεφ. α', 18· « Ἐγὼ μὲν οὖν παραινῶ τοῖς νέοις μὴ καταφρονεῖν κυνηγεσίων μηδὲ τῆς ἄλλης παιδείας· ἐκ τούτων γὰρ γίγνονται τὰ εἰς τὸν πόλεμον ἀγαθοί, εἴς τε τὰ ἄλλα ἐξ ὧν ἀνάγκη καλῶς νοεῖν καὶ λέγειν καὶ πράττειν». 13 τοῦ Ἀναξάρχου — πτισσόμενον] πρβλ. (Diog. Laertii recensuit C. G. Cobet. Parisiis 1862 Didot., σ. 241—242, 39—4[1], 1—8· « τὸν δ' οὐ φροντίσαντα τῆς τιμωρίας εἰπεῖν ἐκεῖνο δὴ τὸ περιφερόμενον, Πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον δ' οὐ πτίσσεις. κελεύσαντος δὲ τοῦ Νικοκρέοντος καὶ τὴν γλῶτταν αὐτοῦ ἐκτμηθῆναι, λόγος ἀποτραγόντα προσπτύσαι αὐτῷ· καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον·

Πτίσσετε, Νικοκρέων, ἔτι καὶ μάλα· θύλακός ἐστι·
πτίσσετ'· Ἀνάξαρχος δ' ἐν Διός ἐστι πάλαι.
καὶ σὲ διαστείλασα γνάφοις ὀλίγον τάδε λέξει
ῥήματα Φερσεφόνη, Ἔρρε, μυλωθρὲ κακέ.

Δίωνος Χρυσοστόμου τ. 2, σ. 306 Dind. « ἕτερος δέ τις ζῶν ἐμπνέων, αἰσθανόμενος, Πτίσσε πτίσσ', ἔφη, τὸν Ἀναξάρκου θύλακον ». Λουκιανοῦ περὶ παρασίτου 35 (Luc. opera ex recognitione C. Iacobitz. Lipsiae 1877—1878, τ. 3, σ. 39)· « Πολλοὶ μὲν καὶ ἄλλοι, Ἀριστόξενος δὲ ὁ μουσικός, πολλοῦ λόγου ἄξιος, καὶ αὐτὸς δὲ παράσυτος ἦν Νηλέως. Εὐριπίδης μὲν ὅτι Ἀρχελάῳ μέχρι τοῦ θανάτου παρεσίτει καὶ Ἀνάξαρχος Ἀλεξάνδρῳ πάντως ἐπίστασαι ».

11.

L 154[a] ***Τοῦ αὐτοῦ πρὸς τὸν κῦριν Εὐθύμιον.***

+ " Ὡς σπαρτίον ⟨τὸ⟩ κόκκινον χείλη σου καὶ ἡ λαλιά σου ὡραία ". τοῦτο, οἶμαι, Σολομῶν πρὸς τὴν ἐπιστημονικὴν ψυχήν, εἶτ' οὖν νύμφην, εἴρηκε, καθότι οἷόν τι σχοινίον φοινικοβαφὲς διὰ τῶν χειλέων ἡ φωνὴ τό τε ἐξέχον ἐλέγχουσα καὶ τὸ εἰσέχον εἰς ἰθυτενῆ γραμμὴν ἀποξέει· διὰ τοῦτο καὶ ἐπάγει εὐθὺς " καὶ ἡ λαλιά σου ὡραία ". Κατὰ καιρὸν δὲ πάντα φθέγγεται. ἐπεὶ γοῦν καὶ ἡμεῖς ἴχνεσιν ἀμυδροῖς τῶν τῆς ψυχῆς καὶ σώματος ἀντιθέσεων ἐπακολουθήσαντες φιλοτιμότερον ἐπετάθημεν εἰς τὸ ἀρχιτεκτόνημα τοῦτο, δέον ἐκρίναμεν ἐμφανίσαι τοῦτο τῇ σῇ λογιότητι καὶ ποτὶ σπάρτα τῇ σῇ παραθεῖναι καὶ γνωριεῖν ὅπως ἄρα καὶ ἔχει. καὶ εἰ μὲν κρίνεις ἄξιον ἀκοῆς διάδος καὶ τοῖς αὐτόθι φιλολόγοις, εἴ περ μὴ ἀπεβαρβαρώθησαν ὑπὸ τῆς κρατούσης Ἰταλικῆς τυραννίδος ἢ καὶ εἰς ἀλλοτρίαν ἀπωκίσθησαν, ὥσπερ Πυθαγόρας μὲν διὰ τὴν τυραννίδα τοῦ Πολυκράτους εἰς Ἰταλίαν μετῴκησεν, ἀφ' οὗ καὶ Μεγάλη Ἑλλὰς ἡ Ἰταλία ὠνόμαστο. Ἀριστοτέλης τὰς Ἀθήνας λιπὼν εἰς τὴν κατὰ σὲ Εὔβοιαν μετέβη τὴν τυραν-

5 Ὡς σπαρτίον—λαλιά σου] Ασμα Ἀσμάτων δ', 3. ς', 5 || ⟨τὸ⟩ προθήκη ἡμετέρα κατὰ τὸ κείμενον τοῦ Ἄσματος. 15/16 ὁ Πυθαγόρας—Μεγάλη Ἑλλὰς ἡ Ἰταλία ὠνόμαστο] πρβλ. Ἰαμβλίχου περὶ τοῦ Πυθαγορικοῦ βίου λόγος (Iamblichi de vita Pythagorica liber ad fidem codicis Florentii recensuit A. Nauck, Petropoli 1884. σ. 22, ς,, 9—18· «— — ἀπῆρεν εἰς τὴν Ἰταλίαν, πατρίδα ἡγησάμενος τὴν πλειόνων εὖ ἐχόντων πρὸς τὸ μανθάνειν οἰστικῶς ἔχουσαν χώραν. καὶ ἐν πρώτῃ Κρότωνι ἐπισημωτάτῃ πόλει προτρεψάμενος πολλοὺς ἔσχε ζηλωτάς, - - - ἐν μιᾷ μόνον ἀκροάσει, ὥς φασιν, ἣν πρωτίστην καὶ πάνδημον μόνον ἐπιβὰς τῆς Ἰταλίας ὁ ἄνθρωπος ἐποιήσατο, πλέονες ἢ δισχίλιοι τοῖς λόγοις ἐνεσχέθησαν αἱρεθέντας αὐτοὶ κατὰ κράτος οὕτως ὥστε οὐκέτι ἔτι οἴκαδε ἀπέστησαν, ἀλλὰ ὁμοῦ παισὶ καὶ γυναιξὶν ὁμακοεῖόν τι παμμέγεθες ἱδρυσάμενοι καὶ πολίσαντες αὐτοῖς τὴν πρὸς πάντων ἐπικληθεῖσαν Μεγάλην Ἑλλάδα, νόμους τε παρ' αὐτοῦ δεξάμενοι καὶ προστάγματα ὡσανεὶ θείας ὑποθήκας, ὧν ἐκτὸς οὐδὲν ἔπραττον, παρέμειναν ὁμονοοῦντες ὅλῳ τῷ τῶν ὁμιλητῶν ἀθροίσματι, εὐφημούμενοι καὶ παρὰ τῶν πέριξ μακαριζόμενοι τάς τε οὐσίας κοινὰς ἔθεντο, ὡς προελέχθη, καὶ μετὰ τῶν θεῶν τὸν Πυθαγόραν λοιπὸν κατηρίθμουν ὡς ἀγαθόν τινα δαίμονα καὶ φιλανθρωπότατον». Σελ. 122, 1—18· « ἀπὸ δὴ τούτων τῶν ἐπιτηδευμάτων συνέβη τὴν Ἰταλίαν πᾶσαν φιλοσόφων ἀνδρῶν ἐμπλησθῆναι καὶ πρότερον ἀγνοουμένης αὐτῆς ὕστερον διὰ Πυθαγόραν Μεγάλην Ἑλλάδα κληθῆναι καὶ πλείστους παρ' αὐτοῖς ἄνδρας φιλοσόφους καὶ ποιητὰς καὶ νομοθέτας γενέσθαι τάς τε γὰρ τέχνας τὰς ῥητορικὰς καὶ τοὺς λόγους τοὺς ἐπιδεικτικοὺς συνέβη κομισθῆναι καὶ περὶ τῶν φυσικῶν ὅσοι τινὰ μνείαν πεποίηνται» 16/17 Ἀριστοτέλης — Εὔβοιαν μετέβη] πρβλ. Διογ. Λαέρτ. (σ. 112 Cobet.)· «Ὁ δ' οὖν Ἀριστοτέλης ἐλθὼν εἰς τὰς Ἀθήνας καὶ τρία πρὸς τοῖς δέκα τῆς σχολῆς ἀφηγησάμενος ἔτι ὑπεξῆλθεν εἰς Χαλκίδα, Εὐρυμέδοντος αὐτοῦ τοῦ ἱεροφάντου δίκην ἀσεβείας γραψαμένου» κτλ.

L 154β νικὴν συκοφαντίαν περιϊστάμενος, ἄλλην ἐπ' ἄλλῃ ὡς ‖ ὄγχνῃ ἐπ' ὄγχνῃ γηράσκει σῦκον τ' ἐπὶ σύκῳ συνεχῶς ἐπανατέλλουσαν· εἶχε δὲ πρὸ ὀφθαλμῶν τὸ τοῦ Σωκράτους κώνειον. εἰ δ' ἄλλως σοι δόξει ἔχειν, ἀνάπεμψον αὖθις πρὸς τὸν πέμψαντα. ἔρρωσο ἡ τῶν καθ' ἡμᾶς φυλλολόγων ἐπιφυλλίς +.

12.

Τῷ Τορνίκῃ κύρι Εὐθυμίῳ.

+ Οὐδέν ἐσμεν οἱ σαπροί· τοῦτο ὅτῳ μὲν τῶν παλαιῶν εἴρηται, οὐδέπω εὗρον, ὅτι δ' ἀληθὲς πάλαι ἔγνων αὐτὸς παρ' ἐμαυτοῦ διδαχθείς. ἐπειδὴ L 157β δὲ τοιοίδε ἐσμέν, ὅποι ποτὲ ἄρα καὶ ‖ διατρίβομεν, εἴτε ἐν φαύλοις χωρίοις εἴτε ἐν φροντιστηρίοις ἱεροῖς, οὐδέν ἐσμεν ὡς οὐ μόνον σαπροὶ ἅτε ἐσχατογέροντες, ἀλλὰ καὶ ὡς πάλαι νεκροί, οἳ παρὰ μὲν τῷ ἀποστόλῳ ἐν ἀτιμίαις σπείρεσθαι λέγονται, ἐν μνήμασι δηλαδὴ κατορυττόμενοι, ἃ καὶ ἀκαθαρσίας γέμειν ὁ σωτὴρ εἴρηκεν, ὁ δέ γε Δημόκριτος "νέκυές" φησι "κοπρίων ἐκβλητότεροι". σὺ δ' ἀλλὰ δεινὸς ὢν λέγειν καὶ γράφειν, ὦ θεσπεσία μοι κεφαλή, τοὺς οὐδὲν ὄντας ὡς σαπροὺς καὶ νεκροὺς καὶ τῆς ἱερᾶς αὐλῆς μακρὰν ἐξωσθέντας ὡς βολβίτων ἐκβλητοτέρους τοῖς τιμιωτέροις τῶν ὄντων παραβάλλεις σεμνολογῶν· ὑπὸ γὰρ τοῦ σφόδρα φιλεῖν ἐπισκοτούμενος τὰ τῶν φιλουμένων οὐδὲν ὄντα ἢ μικρά τινα κομιδῇ μεγάλα φαντάζῃ καὶ ὀνομάζεις, ὁποῖόν τι καὶ ἡ ἐν φροντιστηρίῳ μετοίκησις, ἣν λόγοις ἐπαίρων ἐξύμνησας ὡς ἀτεχνῶς ὑπέργειον καὶ θείαν μετάθεσιν. ἐγὼ δὲ ἀλλὰ μὴ οὕτω παρὰ τῶν σῶν χαυνωθείην Σειρήνων, ὡς ἀφ' οἱουδήτινος τόπου βέλτιον ἐμαυτὸν φαντάσασθαι· ἐπέσκεμμαι γὰρ κατὰ λόγον, οἶμαι, ὡς οὔτε φαυλότης τόπου κακύνει τὸν σπουδαῖον, οὔτε σεμνότης τὸν φαῦλον ἠγάθυνε. τίς γὰρ τοῦ οὐρανοῦ καὶ τῆς Ἐδὲμ χῶρος ἄλλος ἱερώτερος; ἀλλὰ τοῦ μὲν ὁ Ἑωσφόρος ἑκὼν κακυνθεὶς ἐκκεκύλιστο, τῆς δὲ ὁ γενάρχης θύραζε πέπτωκεν· οὕτως οὐδὲν τῆς τῶν θείων χώρων σεμνότητος ἑκάτερος αὐτῶν ὤνατο. πάλιν Ἰωσὴφ δεσμωτήριον οἰκῶν οὐ παρὰ τοῦτο χείρων ἑαυτοῦ γέγονεν εἰς τὸ συγ-

10/11 ἀποστόλῳ] πρβλ. Κορ. 1, ιε', 43. 11/12 ἀκαθαρσίας — εἴρηκεν] πρβλ. Ματθ. κγ', 27. 5/6 νέκυες — ἐκβλητότεροι] πρβλ. Στράβ. ις', 26· « ἴσα κοπρίαις ἡγοῦνται τὰ νεκρὰ σώματα, καθάπερ Ἡράκλειτός φησι νέκυες κοπρίων ἐκβλητότεροι ». Πλουτ. Ἠθ. 669 A· « νέκυες γὰρ κοπρίων ἐκβλητότεροι καθ' Ἡράκλειτον, κρέας δὲ πᾶν νεκρόν ἐστι καὶ νεκροῦ μέρος ». Σουῖδ. ἐν ὀν. Ἡ ρ ά κ λ ε ι τ ο ς· « ὅτι Ἡράκλειτος ἔφη ὀλιγωρεῖν πάντῃ τοῦ σώματος καὶ νομίζειν αὐτὸ κοπρίων ἐκβλητότερον ». Ἴδε καὶ Fragm. Phil. Graec. τ. 3, σ. 321—22. 23 Ἑωσφόρος = ὄφις, δαίμων, δαιμόνιον διάβολος] Γεν. γ', 14. Δευτ. λβ', 17. 25 « πάλιν Ἰωσὴφ δεσμωτήριον οἰκῶν οὐ παρὰ τούτων γέγονεν εἰς τὸ συγκρίνειν προφητικῶς τὰ τῶν συνδεσμωτῶν ἐνύπνια] Γεν. λθ', 1—23, μ. 1—23.

κρίνειν προφητικῶς τὰ τῶν συνδεσμωτῶν ἐνύπνια· τί δὲ ὁ θεῖος Ἱερεμίας ἆρα ἐν τῷ λάκκῳ τυντλάζων τὴν προφητικὴν ἐσπίλωτο ἁγιότητα, ἢ ὁ μέγας Ἰὼβ ἐπὶ κοπρίας καθήμενος ἀνάξιος ἔδοξε διομιλεῖν τῷ διὰ λαίλαπος καὶ νεφῶν χρηματίζοντι; ὁρᾷς ὅπως ὡς οὐδὲν ὤνησεν ἐκείνους ἡ σεμνότης τῶν τόπων, οὕτως οὐδὲ τούτους ἡ φαυλότης ἔβλαψεν· οὐκοῦν μηδὲ ἡμᾶς τῆς εἰς τὸ σεμνεῖον μετοικίσεως μακάριζε, ἀλλ' ὑπερεύχου μᾶλλον, μὴ ἀναξίως τοῦ ἱεροῦ χώρου ἀναστρεφόμενοι πολὺν ὀφλήσωμεν τὸν κατάγελων. διαφυλάττοιο ἐρρωμένος ψυχῇ τε καὶ σώματι εἰς χρόνους μακροὺς ὡς μέγα πολλῶν ὄφελος καὶ λυπουμένων θεία παράκλησις.

13.

L 162α *Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ.*

Βαβαὶ τοῦ φθέγματος, βαβαὶ τῶν χαρίτων, ὅσας τὸ ἀνοιγμένον τοῦ λόγου εἰς ἕνα κεστὸν συνήρμοσε, πρὸς οὖν τοιαύτας χάριτας ἔδει με τὸ στόμα ἐκεῖνο ἀναλαβεῖν καὶ ἀντιφθέγξασθαι ὅμοια. ἀλλὰ ποῦ μοι τὰ τῆς φωνῆς, ποῦ μοι τὰ τῆς μνημοσύνης καὶ ἄλλο εἴ τι οἶδε συνεισφέρειν εἰς τὴν τοῦ λόγου συντέλειαν· πάντα ἀπόλωλε καὶ διέφθορεν· ὡς ἔοικε γὰρ ὁ θεὸς οὐκ εἰς ἀξίαν ποινήν μοι νενόμικε τὸ ἀπογυμνῶσαι ἱερωσύνης, τὸ ἐξῶσαι θείου ναοῦ καὶ τῶν θησαυρῶν τοῦ ἱεροῦ καὶ ἀποξενῶσαι κλήρου θεοῦ· ἀλλὰ καὶ τὰ λείποντά μοι φυσικῶς προσαφῄρηται, φθέγμα φημὶ πρέπον τῇ κατ' ἐμὲ ἡλικίᾳ καὶ κεκοσμημένον πολυπειρίᾳ, εἴασε δὲ μᾶλλον νηπιῶδες καὶ ψελλιζόμενον καὶ μηδ' ἔχειν εὐχερῶς στέλλειν τοῖς ἀγαπῶσι τὰ προσήγορα. τοιούτοις οὖν οὖσιν ἡμῖν σύγγνωτε, ὦ φίλοι, τῆς ἀγραφίας καὶ μόνον εὑρίσκοντες ⟨τινὰς⟩ ἐκ τῶν ὧδε πρὸς ἡμᾶς ἥκοντας πυνθάνεσθε πῶς ἄρ' ἔχω. καὶ ὁ κύριος εἴη μεθ' ὑμῶν.

14.

A 12α B 9α *Τοῦ παναγιωτάτου Ἀθηνῶν πρὸς τὸν Ναυπάκτου.*

+ "Καιρὸς τοῦ σιγᾶν καὶ καιρὸς τοῦ εἰπεῖν λόγον". ἐγὼ τοίνυν, ὦ θεσπέσιε δέσποτα, ὑπὸ τῆς νόσου καταποθεὶς "ἐκωφώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν" καὶ εἶπον "οὐκ ἀνοίξω τὸ στόμα" οὐδὲ λαλήσω παιδικὰ βαττα-

1/2 Ἱερεμίας — ἐν τῷ λάκκῳ] Ἱερ. μδ', 16. με', 6—13. 2 ἁγιότητα] λείπει τῷ Λ ά μ π ρ ῳ. 3/4 Ἰὼβ ἐπὶ κοπρίας — χρηματίζοντι] πρβλ. Ἰὼβ β', 8.

B = Κῶδ. Πετρουπ. 250.

A = Κῶδ. Πετρουπ. 251.

25 Καιρὸς — λόγον] Ἐκκλ. γ', 7 26/27 ἐκωφώθην — ἀγαθῶν] πρβλ. Ψαλμ. λη', 3. 27 οὐκ ἀν. τὸ στόμα] πρβλ. Ψαλμ. λη', 10.

ρίσματα μᾶλλον δὲ ἀσύνετα. καὶ τοῦτο ἦν τὸ αἴτιον τοῦ μὴ προσφθέγξασθαι τὴν σὴν σοφίαν ἐπὶ τοσούτοις ἔτεσι· μὴ γὰρ ὑπολαβέτω ἡ ἁγιότης σου ὡς ἄλλο τι ἦν τὸ κατέχον τὴν ἐμὴν φωνήν. ἀλλὰ νῦν λόγον φθέγξομαι, ὃν ἡ φύσις ἀναγκάζει με καὶ ἡ διάθεσις τοῦ πνευματικοῦ μου υἱοῦ κῦρ Γεωργίου τοῦ χαρτοφύλακος, ὅστι ἐμὸς γέγονε ταῖς κατὰ λόγον καὶ μαθημάτων ἀνεμάξατο ὅσα εἰκός· καὶ νῦν, ἐπεὶ τὸν μακαρίτην Κερκύρας ὁ θεὸς προσελάβετο καὶ ἔδει τὸν τούτου θρόνον διαδέξασθαι ἕτερον, ἐποιήσασθε, ὡς ἔμαθον, ψῆφον καὶ ἐμνήσθης τοῦ κῦρ Γεωργίου, ὡς ἤκουσα, ⟨καὶ⟩ προέκρινας. ἀξιῶ γοῦν καὶ αὐτὸς τὴν ἁγιωσύνην σου, ὡς ἂν ἐμὴν χάριν καὶ διὰ τὴν τοῦ μεγαλουργοῦ Δούκα θέλησιν (ἀγαθὸν γὰρ θέλημα ἔχει εἰς τὸν τοιοῦτον) κατανεύσῃς ὁλοσχερῶς εἰς τὴν αὐτοῦ χειροθεσίαν καὶ οὕτως οὐ παυσομαι || ὑπερεύχεσθαι τῆς ἁγιωσύνης σου, ἣν διατηροίη ὁ θεὸς ἀνωτέραν παντὸς κακοῦ πολυχρόνιον.

Καὶ ὄπισθεν ἐπιγραφὴν ταύτην.

Τῷ ἁγιωτάτῳ μου δεσπότῃ καὶ ἐν κυρίῳ ἀγαπητῷ ἀδελφῷ, τῷ ὑπερτίμῳ κῦρ Ἰωάννῃ τῷ Ναυπάκτου ὁ Ἀθηνῶν Μιχαήλ.

15.

B 9α ***Ἀντίγραμμα πρὸς τὴν τοιαύτην γραφήν.***

+ Τὰ μὲν τῆς σῆς ἐμοὶ μακρᾶς ἀποσιωπήσεως οὕτως ἐχέτω, τιμία μοι κεφαλή, καὶ πείθομαι· βαρὺ γὰρ λόγους εὐωριάζειν τοιούτου πατρός. ἀλλ' ἐγὼ τὴν ἐπὶ τοσοῦτον σιγὴν τῆς σῆς γλώσσης καὶ κατὰ τοὺς ἀεννάους ῥεούσης τῶν ποταμῶν ἄντικρυς ἀποστροφὴν ἡγούμην θεοῦ καὶ βαρυτέραν τῆς ἐννάτης τῶν Αἰγυπτίων πληγῆς· ἐπεὶ δὲ ἐπεσκέψατο ἡμᾶς ὁ θεὸς καὶ ἐφθέγξω, ἀντιλαλῶ καὶ αὐτὸς ὀλίγα πάντῃ καὶ τὸ ὅλον λακωνικά, οὕτω με βιαζομένων τῶν ἀρρωστημάτων, ὑφ' ὧν καὶ ἐκτέτηκα. τό τε γάρ μοι εὐώνυμον οὗς ἔτος ἤδη δεύτερον παρελθὸν ἀδιάκοπον ἦχον ἠχεῖ καὶ βαρὺν καὶ τῷ αἰσθήτρῳ τούτῳ βαρέως ἀκούω καὶ ἠγανάκτησα κατηχούμενος, καὶ ἄν που χειρὶ ἐπιπωματίσω τὸ δεξιὸν ἢ ἐπιφράξω δακτύλῳ ὡς Ὀδυσσεύς ποτε κηρῷ τὰς ἀκοὰς τῶν ἑταίρων, ὅτε Σειρῆνας παρέπλεε, μένω κατὰ τοὺς ἀνδριάντας οὐκέτι μὲν δύσκωφος, τὸ δὲ σύμπαν ὡς ἐκεῖνοι κωφός, ἀλλὰ διὰ

19 βαρὺ — πατρός] πρβλ. Αἰσχ. Προμ. «εὐωριάζειν γὰρ πατρὸς λόγους βαρύ». 19 εὐωριάζειν] B Bac. ἐξωριάζειν 22 ἐννάτης πληγῆς] πρβλ. Γεν. ι', 1—29. 23 ἀντιλαλῶ] ὡς ὁ κ ῶ δ., Bac. ἀντιλαβῶ. 27/28 Ὀδυσσεύς — παρέπλεε] πρβλ. Ὀδ. μ 39—54. 29 κωφός] οὕτω B, Bac. κωφοί.

τὴν τῶν παθημάτων ἀπαγγελίαν τῆς βραχυλογίας τὴν ὑπόσχεσιν ἐψευσάμην. πάσχω δὲ καὶ ὠδί· χρόνιος περὶ τοὺς νεφροὺς ἐγένετό μοι λιθιασμὸς καὶ ἐκπέμπονται διὰ τῆς βαλάνου λίθοι ποτὲ μεγάλοι ἐρεβίνθῳ ἴσοι τὸ μέγεθος καὶ τὸ βαρύτερον ἑτερόσχημοι (εἰς γὰρ πολύγωνα καὶ τρίγωνα καὶ τετράγωνα), καὶ τὸ πολύσχημον τοῦτο τῷ τοῦ φαλλοῦ αὐλῶνι ἐμπίπτον καὶ ταῖς γωνίαις ἀφόρητον ποιεῖ μοι τῆς ὀδύνης τὴν αἴσθησιν. ἐνίοτε δὲ διὰ τὸ μέγεθος ὁ τὴν τῆς οὐρήθρας ἐπιφάσσων ὀπὴν τό τε ὑγρὸν συνόλως ἐπέχει καὶ τοῦτο δριμύσσον τὸν πόρον ῥιπτεῖ τε αὐτίκα εἰς γῆν καὶ πρὸ ὀφαλμῶν ἱστᾷ μοι τὸν θάνατον καὶ ἄζωτοι μὲν τὰς ἕδρας μὲν τὰς ἕδρας ἐπλήγη-
B 9β σαν ||, ἐγὼ δὲ τοῦτο τὸ μέρος εἰμὶ ἑλκεσίβρυτος καὶ ζῶν ὄζω καὶ γίνομαι φόρτος κλίνης μισούμενος· ποδαλγίας δὲ περὶ πάρεργον λέγειν, πλὴν ὅτι ἐνσκήπτουσά μοι καὶ αὐτὴ καιρικῶς ἐλαφρότερον εἰς ἀλγηδόνα δεικνύει καὶ τὸν σωματικὸν μελισμόν· ἐν τούτοις ὄντι μοι, δέσποτα, ὥς τι ἀφίκετο ἀκεσώδυνον φάρμακον τὸ τίμιον γράμμα σου καὶ ἐπέρρωσεν ὥσπερ πρὸς τὴν προκειμένην ὁδὸν καὶ τὴν τοῦ σοῦ κατὰ λόγον υἱοῦ εἰς ἱερωσύνην προβίβασιν, οὗ κλέος μὲν οἶον, ἀκούω, ὄψιν δὲ οὐκ ἀνελεξάμην, φιλῶ δὲ ὅμως τὸν ἄνδρα καὶ τῆς αὐτοῦ ἐξέχομαι σεμνοπρεποῦς βιοτῆς· οὐδὲ γὰρ ψεύδεται τὸν σὸν μαθητήν, ἀλλ' ἐξ ὧν ἐμοὶ ἐπιστέλλει, σός τε γενέσθαι ὁμιλητὴς παριστᾷ καὶ τῆς ἀρετῆς ἀπόζει πόρρω καὶ τῆς σεμνότητος, καὶ οὐκ οἶδα πότερον ἢ αὐτὸς δραμοῦμαι πρὸς τὴν ὀσμὴν τῆς εὐώδους τούτου ἀποφορᾶς ἢ αὐτὸς πρὸς ἡμᾶς διὰ χρῖσιν μύρου τοῦ νοητοῦ. αὐτὰ μὲν ὠδήγησαν καὶ ἤγαγόν με πρὸς τὴν αὐτοῦ ἐπιπόθησιν καὶ προτοῦ μὲν ἐν ψήφῳ τῆς τῶν Κερκύρων αὐτοῦ μὲν ἐπεμνήσθην σήν τε χάριν καὶ τῷ δικαίῳ τιθέμενος, νῦν δὲ καὶ χειροθεσία τελεία σαῖς εὐχαῖς τελεσθήσεται· οὐ γὰρ ὅλως πρέπει τὸν τοῦ τοιούτου τοιοῦτον δεύτερον τῶν ἄλλων ἐλθεῖν εἰς τὴν πνευματικὴν προκοπήν, ὅπου γε καὶ θαρρῶ ἐκ τῆς αὐτοῦ κεφαλῆς χριομένης μᾶλλον ἁγιασθήσεσθαι. ἐπίπεμπέ μοι εὐχὰς τῶν σωματικῶν ἐλαφρονούσας ἀρρωστιῶν καὶ ῥωννυούσας πρὸς ἐργασίαν τῶν δικαιωμάτων θεοῦ· πιστεύω καὶ γὰρ θεῖον εἶναι δικαίωμα καὶ τὴν τοῦ σεμνοβίου Βαρδάνου ἐπιλογὴν εἰς προχείριν καὶ τῆς ἐπισκοπικῆς ἀψῖδος ἐπίβασιν.

4 εἰς] B Bac. εἰσὶ. 6 γωνίαις] κ ῶ δ., Bac. ἀγωνίαις. 8 ῥιπτεῖ] B (ἐκ τοῦ ρ ι π τ έ ω), Bac. ῥίπτει. 9 ἄζωτοι] B, Bac. ἀζώτιοι. 10 ἑλκεσίβρυτος] B, Bac. ἑλκεσίβρωτος.

Ε.

ΜΟΝΩΔΙΑ

ΑΝΕΠΙΓΡΑΦΟΣ ΕΙΣ ΤΟΝ ΤΩΝ ΑΘΗΝΩΝ ΜΗΤΡΟΠΟΛΙΤΗΝ

ΜΙΧΑΗΛ ΤΟΝ ΧΩΝΙΑΤΗΝ

συντεθεῖσα ὑπό τινος τῶν αὐτοῦ ἀνεψιῶν, στίχοι εἰς τὴν Θεοτόκον

ΜΙΧΑΗΛ ΑΚΟΜΙΝΑΤΟΥ ΤΟΥ ΧΩΝΙΑΤΟΥ

ΚΑΙ ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΜΑΚΡΕΜΒΟΛΙΤΟΥ ΠΡΟΣ ΤΟΝ ΥΠΕΡΤΙΜΟΝ.

1.

1. Ἥλιε καὶ Σελήνη, Αἰθήρ τε καὶ θρέπτειρα Γῆ (ὑμᾶς γὰρ πρὸς θρῆνον ξυλλαμβάνομαι συνεργούς), ἡλίκος μοι ἀδόκητος λόγος αἴφνης βέβληκε τὴν ἀκοήν, πηλίκη μοι ἀγγελία ἄελπτος καταπτᾶσα τὴν καρδίαν συνέστρεψε καὶ ἐτάραξεν. εἶτα σὺ μέν, " ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν καὶ δίφροις χρυσοκολλήτοισι βεβηκώς " καὶ πάντ' ἐφορῶν καὶ πάντ' ἐπακούων, πῶς τοιάνδε ζημίαν ἰδεῖν ἐκαρτέρησας καὶ οὐ συνέσχες τὰς ἀκτῖνας αὐτίκα καὶ γνόφον ὑποδέδυκας, τὸ τῆς ἡμέρας φῶς εἰς νύκτα μεταβαλών; Σελήνη δέ, συγγενεστέρα οὖσα τῇ ἀνθρωπίνῃ φύσει, ἅτε δὴ καὶ προσγειοτέρα καὶ μόνοις τοῖς σοῖς σχηματισμοῖς τἀνθρώπινα προϋπογράφουσά τε καὶ τούτοις ἐναπομένουσα, πῶς οὐκ εἰς ἀλλόκοτον ἠλλοιώθης σχῆμα καὶ παρὰ τὰ ὁρώμενα, τῇ δὲ παρὰ σοῦ ἐξουσιαζομένῃ νυκτὶ νεκρὸν ἰδέσθαι τὸν τοσοῦτον ἐκαρτέρησας ἄνθρωπον; Αἰθήρ τε, πῶς ἀντὶ δρόσου ἑωθινῆς θρόμβους οὐκ ἀφῆκας αἱματόεντας; καὶ σὺ δέ, Γῆ, τίποτε οὐ κραδαινομένη

Κῶδ. Πετρουπ. 250, φ. 113β—116β.

4/6 ὦ τὴν ἐν — βεβηκώς] Εὐρ. Φοιν. 1—2 || πάντ' ἐφορῶν κ. π. ἐπακούων] πρβλ. Ὀδ. μ 312 " Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει ".

3 κ ῶ δ. πηλ·ήκη.

114α καὶ σειομένη διά τινος βαρὺ βρομέοντος μυκητίου ὑπεσημήνω τὴν συμφοράν, ἀλλὰ χανοῦσα μέγα ὡς ἕνα τῶν πολλῶν τὸν οἰκουμενικὸν θησαυρὸν καταπέπωκας; ὦ ἀμείλικτα στοιχεῖα καὶ ταῖς ἐμαῖς ὀδύναις μὴ ἐπικλώμενα, οἴμοι, οἴμοι, πῶς ἐνέγκω τὸν λόγον, πῶς τῶν χειλέων προήσομαι; τέθνηκεν (ἀλλὰ πῶς ἐπιθήσω τῷ λόγῳ τὸ ὄνομα; τέτλαθι, κραδίη, καὶ καρτέρησον τὴν διάρρηξιν), τέθνηκεν ὁ τῶν Ἀθηνῶν ἀρχιποίμην, ὁ τὴν κλῆσιν καὶ τὸ εἶδος ἀγγελικὸς καὶ τὸν βίον ἀξύμβλητος, τὸ γοργὸν ὄμμα καὶ προσηνές, ἡ ἡλιῶσα ὄψις καὶ ἥμερος, ὁ τοῖς οἰοισδήτισι πρακτέοις νοῦν πεπλουτηκὼς ἐπιστατοῦντα θεοῦ.

2. Ὦ ἄνερ θειότατε καὶ τῆς καθ' ἡμᾶς ἱερωσύνης φανότατε πυρσέ, ἢ οὐκ οἶδα τί σε ὀνομάσας καὶ προσειπὼν μᾶλλον ἂν τύχοιμι τοῦ προσήκοντος· ἐν σοὶ γὰρ δήπου τῆς ἀνθρωπικῆς τελειότητος κατὰ θεῖον τὸ πέρας ἀρχή τις γίγνεται καὶ προκάταρξις· οὗ γὰρ καταλήγουσιν ἄλλοι κατεπαρθέντες καὶ ὑψωθέντες καί τινες ἴσως εἶναι ἀναφανέντες, ἐντεῦθεν αὐτὸς προοιμιάζῃ καὶ λαμβάνεις ἀρχήν· τὴν γὰρ πνευματικὴν ἀεικινησίαν τῇ τῆς σαρκὸς καθάρσει προσθέμενος, ὅπουπερ ἂν ὀκλάσαντες ἕτεροι γούνατ' ἔκαμψαν, αὐτὸς ὡς μηδὲ τὴν ἀρχὴν κεκμηκὼς ἢ ἐκκακήσας τῷ δυσέργῳ τοῦ ἐγχειρήματος ἢ τῷ ἐπιπόνῳ τῆς ἀρετῆς ἀκάμας τοῖς πρόσω ἐχώρεις καὶ τὴν τῶν ἀρετῶν ἀνέβαινες κλίμακα, τὸ τῆς ἀναβάσεως τέλος ἑτέραν ὑποβάθραν ποιούμενος καὶ προκάταρξιν, οὐκ ὀλισθαίνων ἀλλ' ὀρθοπηδυτῶν καὶ διόλου τῆς ἀκρότητος ἐφιέμενος. μέλεος ἐγὼ καὶ ταλαίπωρος ἄνθρωπος καὶ τοῖς κακοῖς ἀεὶ πλουτιζόμενος, ποίαν λάβω φωνήν; πόθεν τὰ τοῦ στεναγμοῦ πορίσομαι, ὅθεν ἂν σχοίην ἰσομεγέθη τὸν ὀδυρμὸν καὶ δάκρυα ἰσοτάλαντα; οἵων δὲ πρῶτον κατορθωμάτων, τίνων δὲ μέσον καὶ ποίων τελευταῖον ἐφάψομαι; ὡς γὰρ ἐπὶ πελάγους ἀχανοῦς, ὡς ἄλλα μοι ἐπ' ἄλλοις ἐπεγείρονται κύματα· εἰ γὰρ ἀπίδοιμι πρὸς τὰ τῆς πρώτης ἀγωγῆς καὶ βίου τοῦ λιποπάτριδος καὶ ὅσα ἐν Λευίταις ταττόμενος καὶ τὸν μέγαν τῆς ἀρχιερωσύνης θρόνον ἀμφιπονῶν καὶ ἱερωσύνης ἐπιβὰς διετέλεσεν, ἄλλην ἂν Ἰλιάδα δόξαιμι γράφειν ἢ καὶ τῶν θρυλουμένων ἡρώων μεμνήμην ἄν· πολλοὶ γὰρ καὶ μεγάλοι οἱ ὑπὲρ ἀρετῆς καὶ λόγου ἱδρῶτες τοῦ μεγάλου καὶ κατορθώματα καὶ ἐξ αὐτῆς φασι τῆς πρώτης τριχὸς ἀσύγκριτοί τε καὶ ἀπαράμιλλοι καὶ μεγάλων

1 βαρὺ βρομέοντος] κ ῶ δ. βαρυβρυχέοντος || βαρυ βρομέοντος μυκητίου] πρβλ. Ἀριστοτέλους περὶ κόσμου, σ. 396a 11 " γίνονται καὶ μυκητίαι σεισμοὶ σείοντες τὴν γῆν μετὰ βρόμου ". 5 τετλαθι κραδίη] πρβλ. Ὀδ. υ, 18. 16 προσθέμενος] κ ῶ δ. προθέμενος || γούνατ' ἔκαμψαν] πρβλ. Ὀδ. ε 453 || ἔκαμψαν] κ ῶ δ. ἔκαψαν. 20 ὀρθοπηδυτῶν] κ ῶ δ. ὀρθοποδυτῶν. 21 μέλεος ἐγὼ] πρβλ. Σοφοκλ. Τρ. 972 " πάτερ, οἴμοι ἐγώ σου μέλεος ". 26 λιποπάτριδος] κ ῶ δ. λειποπάτριδος. 27 Λευίταις] κ ῶ δ. λεβίταις. 29 μεμνήμην] κ ῶ δ. μεμνοίμην.

καὶ λαμπρῶν καὶ γενναίων τῶν λόγων καὶ μακρὰς σχολῆς προσδεόμενοι καὶ παντοίας μαθημάτων καταλήψεως· ἐμοὶ δὲ καὶ ὁ νοῦς συγκέχυται ὑπὸ πάθους καὶ εἰς στήλην ἁλὸς παγεὶς διαπεφώνηκα ἄντικρυς καὶ οὐδέν τοι ἄλλο κατάγεται ἢ ποταμηδόν μοι τὰ δάκρυα· ἄλλως τε δὲ οὐδ' ἐγκωμιάζειν ἢ ἐπιτάφια γράφειν πλατυκώτερον κατὰ νόμους ῥητορικοὺς ἐνδίδωσιν ὁ καιρὸς οὐδὲ ἐν ὄνυχι ἢ καὶ σημείῳ, οὗπερ μέρος οὐθέν, περιγράφειν ἢ περιηγεῖσθαι τὸ πᾶν, μονῳδεῖν δὲ καὶ κωκύειν καὶ ἀπολύτως κατὰ τὰς μονωθείσας τρυγόνας περιτρύζειν ἐπίκλαυτα· τοιαῦτα γὰρ καὶ ποιοῦσι καὶ πάσχουσιν οἱ ἅπαξ ἐμπεσόντες εἰς βάθος τῶν θλίψεων. ποῦ γὰρ ἂν ἐφίκοιτο λόγος εἰς τόσων καὶ τοιῶνδε κατορθωμάτων τὸ μέγεθος; μὴ ὅτι γε (ὁ) ἐμὸς κατὰ στράγγα ῥέων ἀπροσδοκήτῳ τοῦ πάθους παγεὶς καὶ κρυσταλλωθείς, ἀλλ' οὐδὲ τῶν λίαν εὐδοκιμούντων καὶ εὐστομούντων αὐτῶν; καὶ ταῦτα κἀκεῖνος· ἔδει γάρ, ἔδει τὸν τὰ ἐκείνου διεξιέναι βουλόμενον τὴν τούτου μεγαλοφωνίαν λαβεῖν, εἴτουν ἄνθρακι προκαθαρθῆναι Σεραφικῷ καὶ ἁγνισθῆναι τῷ πνεύματι· τὸ γὰρ ὡς εἰς ἄλλο Σίναιον ἀνιέναι τῶν αὐτοῦ ἀρετῶν, ἐν ᾧ Μωσέως καὶ θεοῦ πόδες ἐπάτησαν, δέδοικα μὴ καὶ τοῖς πετροβόλοις βληθήσομαι· τῷ γὰρ καπνῷ τῷ ἐκ τῆς καμίνου τῶν θλίψεων ἀναθρωσκομένῳ τὰς ὄψεις μου δριμυχθεὶς καὶ ὅσα ἔτι δριμύξομαι, ἔστ' ἄν μοι καρδία στένουσά ἐστι κἀκ τῶν ἐγκάτων ἀνασκάλλεται πῦρ.

3. Ὦ, πῶς τὸ ἀπὸ τοῦδε τὸ τῆς ἱερωσύνης ἀπηχρείωται πρόσωπον,
114B || πόση ἀχλὺς ἢ σκότος ψηλαφητὸν κατεσκέδασται τοῦ τῆς Ἐκκλησίας πληρώματος ἢ μέγα χαιρήσεται τοῦ λοιποῦ, καὶ οἱ μὴ ἐκ τῆς ἡμετέρας αὐλῆς καὶ νῦν εἴπερ ποτὲ τοὺς σφῶν αὐτῶν αὐχένας ἐπορθιάσουσι, τοῦ προβόλου καὶ προμάχου τῶν ὀρθῶν δογμάτων πεπτωκότος εἰς γῆν· τίς γὰρ ἀμφισβητουμένων ζητημάτων ἐπιλύτης ἔσεται καὶ ὀρθῶν δογμάτων ὑφηγητὴς καὶ ὑπανέξει μὲν τὸ κἀταπῖπτον, ἐπικρατύνει δὲ καὶ τὸ ἰσχυρόν; οἴχεται πᾶν ἀγαθόν, ἀπῆει πᾶσα ἐπιστήμη καὶ μάθησις· ἔφθαρται ῥητορικὴ καὶ κατὰ Πλάτωνα νῦν καὶ μᾶλλον "πολιτικῆς μορίου" λογισθήσεται "εἴδωλον"· κεῖται γὰρ ὁ τεχνῶν καὶ ἐπιστημῶν καὶ πάντων καθηγητὴς καὶ διδάσκαλος.

2 μαθ. καταλήψεως] κ ω δ. μαθ. καὶ καταλ. 3 στήλην ἁλὸς] πρβλ. Γεν. ιθ', 26. 4 ποταμηδὸν] κ ω δ. ποταμιδὸν. 5 πλατυκώτερον] κ ω δ. πλατικώτερον || ῥητορικοὺς] κ ω δ. ῥητορικοῦ. 6 σημείῳ, οὗπερ μέρος οὐθέν] πρβλ. Εὐκλείδου τ. 1, σ. 10 Heib. 11 κατὰ στράγγα ῥέων] πρβλ. Ἀριστ. 829a, 6. 14 ἄνθρακι—Σεραφικῷ] πρβλ. Ἡσαΐου ς', 6—7. 15/16 Σίναιον—ἐπάτησαν] πρβλ. Ἐξόδ. ιθ', 3 κέ. 16 πετροβ. βληθήσομαι] πρβλ. Ἰεζ. ιγ', 11, 13. 18 τὰς ὄψεις μου δριμυχθεὶς] κ ω δ. δριμυθείς· πρβλ. Γρηγ. Νύσσης ἐν σ. 1012 Migne P. Gr. τ. 46, σ. 1019 "δριμυχθῆναι τὰς ὄψεις" || ἔτι] κ ω δ. ἔτη. 26 ἐπικρατύνειν] κ ω δ. ἐπικρατύνει. 27 ἀπῆει] κ ω δ. ἀπείη. 28 Πλάτωνα] πρβλ. Πλάτ. 463 C.

τίς συμβουλεύσει ἢ κατηχήσει καὶ ἐπιστρέψει δήπουθεν τὸ πλανώμενον; εἰ δέ τις ξενολογεῖν με δοκεῖ, μετερχέσθω τὴν πονηθεῖσαν βίβλον ἐκείνῳ καὶ οἷος ἀείσεται· "ἄειδε" μὲν γὰρ "κλέα ἀνδρῶν" καὶ βασιλέας ἐξύμνει μεγαλουργοὺς ὑπὲρ τοῦ ποιμνίου δεόμενος, ὅτι μηδὲ μονόγλωσσος ἦν ὁ ἀνὴρ ἀσυντελής, ἀλλὰ τοῖς πᾶσι τὰ πάντα κατὰ Παῦλον ἐγίνετο· καὶ ἄρχουσι μὲν διελέγετο ὡς ἀρχῆς τοὺς νόμους ἐξασκησάμενος καὶ ὡς ὁ Σταγειρόθεν τὰς τῶν ἠθῶν διαφορὰς ἠκριβωκώς τε καὶ ῥυθμισάμενος, πολιτικοῖς δὲ τὰ πολιτικά, ὡς οὐδὲ πάλαι Σόλων ἢ Δράκων καὶ ὁ ξυγκυκῶν τὴν Ἑλλάδα καὶ δημηγορῶν Περικλῆς· τούτου γὰρ καὶ ὁ περὶ τὴν σκαπάνην κυπτάζων ὑπήκουε, καὶ βουζύγης καὶ ἀγρότης καὶ σιδηρεὺς καὶ οὐ μόνον ὁπόσοι τοῦ σπουδαίου κόμματος, ἀλλὰ καὶ ὅσοι τοῦ συρφετώδους καὶ ξύγκλυδος καὶ εἶχον ἂν ἐκ τῆς ἐκείνου γλώσσης ὅ τι κομίσαιντο ἐπαναστρέψαντες οἴκαδε· μίαν γὰρ λαχὼν καὶ αὐτὸς γλῶσσαν τῶν ὡς ἐν εἴδει πυρὸς διαμερισθεισῶν πάλαι τοῖς Χριστοκήρυξιν ἔσχε καταμεριζομένην ἐφ' ἅπασι καὶ κατὰ τὸ τῶν ἁλιέων ἀμφίβληστρον ἀποτεινομένην ἐκ παντὸς γένους καὶ ἐπιτηδεύματος ἐσαγήνευσεν.

4. Ὦ γλώσσης οὐκ ἀπὸ ῥινός φασιν, ἀλλ' ἐκ τῶν ὤτων ἐπισυρομένης τοὺς ξύμπαντας. τί ποτ' ἂν εἴη ἡ τοῦ Πέτρου δημηγορία, ὡς ἐν ταῖς Πράξεσι διδασκόμεθα, πρὸς τὴν ἐκείνου διδασκαλίαν ὅλας καθ' ὥραν μυριάδας ζωγροῦντος καὶ ἐπιστρέφοντος; ταύτης ἔργον γέγονα καὶ αὐτός· εἰ καὶ μὴ χανδὸν ἐξέπιον τῆς σοφίας, ἀλλὰ κατ' ἐκείνους τοὺς τῇ ἱστορίᾳ ἐκπεριειλημμένους τοῦ Γεδεὼν ἀκροθιγῶς ἔλαψα ὅσα καὶ ἀνθολκῆς μοι ἐπιγενομένων τοῦ ἀδελφικοῦ θανάτου καὶ τῶν ἐκείνου παναφηλίκων παίδων τῆς κομιδῆς καὶ οὐκ ἀπὸ γνώμης τῷ μεγάλῳ κειμένης, ἀλλ' ἐπιπεσόντι (καὶ γὰρ προσῆκε) δριμύτερόν τε καὶ ἀρχικώτερον. καὶ τὸν ἐκείνου φόρτον, ὡς μὴ ὤφελε, καὶ γράμμασι καὶ αὐτογλώσσως ἐμοὶ ἀντεπέσαξεν, ὃν ὁ ἀδελφὸς ἐπὶ γραμματίῳ τεθνηκὼς ἐκείνῳ ἐπέθετο, οὐ μόνον οὐσίαν καὶ τέκνα, ἀλλὰ καὶ αὐτὴν ψυχὴν αὐτῷ παραθέμενος. εἰ γὰρ μὴ τοῦτο, τάχ' ἂν καὶ ἐνεφορήθη, ὅσον ἠβούλετο, τὸ ἐπιθυμοῦν κἀκ τῆς ἐναλλαγῆς μου τῆς γλώττης καὶ τῶν ἐκ τῆς καρδίας περισσευμάτων ξένην τινὰ μέθην ἴσως ἔχειν ἐδόκουν, ὡς οἱ ξυνοπαδοὶ τοῦ Χριστοῦ, καὶ ἑτέραις γλώσσαις καινοτέραις ἐλά-

3 ἀείσεται] κ ω δ. ἔσεται || ἄειδε — ἀνδρῶν] Ἰλ. Ι, 189. 5 Παῦλον] πρβλ. Κορ. 1, θ', 22. 8/9 ξυγκυκῶν—Περικλῆς] πρβλ. Ἀριστοφ. Ἀχαρ. 530 "Περικλέης οὐλόμπιος ἤστραπτ', ἐβρόντα, ξενεκύκα τὴν Ἑλλάδα". 10 βουζύγης] κ ω δ. κουζύγρης. 11 ξύκλιδος] κ ω δ. ξύγκλιδος. 13 ἐν εἴδει πυρὸς — Χριστοκήρυξεν] πρβλ. Πράξ. β', 2—4. 15 ἁλιέων ἀμφίβληστρον] πρβλ. Ματθ. δ', 18. Μαρκ. α', 16. 18 Πράξεσι] Πράξ. ι', 34—48. 22 Γεδεὼν — ἔλαψα] πρβλ. Κριτ. ζ', 5—7. 30 ξυνοπαδοὶ—ἐλάλουν] πρβλ. Πράξ. β', 1—12.

λουν, καθώς μοι ἡ τῆς διδασκαλίας χάρις ἐπεχορήγησεν. ἀλλ' ἐγὼ νωθρός τις πρὸς παιδείαν ἔφυν, ὡς ἔοικε, καὶ δυσμαθὴς καὶ (τὸ τοῦ Σολομῶντος) κακότεχνος. ταύτῃ τοι καὶ σοφία θεοῦ μοι οὐκ εἰσελήλυθε· σκληρίας γάρ, ὡς ἔφην, ἀλλοπροσάλλων ἐπεγερθέντων κυμάτων, οὐ ξυνετάκη μοι ἐς τὸ τηλαυγὲς καὶ τὸ ἐκμαγεῖον πρὸς τὰ μαθήματα κύμασι φθεγγομένῳ καὶ ἀγορανομοῦντι καὶ τὸ τῆς παροιμίας γράφοντι καθ' ὑγρῶν οὐδὲ ὅλην τὴν τοῦ Ἑρμοῦ εἰκόνα καὶ τὴν τῶν Μουσῶν ἐννεάδα εἰς κάλλος ἀποξεσάμενος ἀνεμόρφωσα παράκτια τὴν τῆς σοφίας διανηξάμενος θάλασσαν καὶ βραχυτάτην ῥανίδα ἢ καὶ τὰ παρὰ τὸ ταύτης χεῖλος ἀποπτυόμενα ψυκία ἀναλεξάμενος, καίτοι τοῦ διδασκάλου πεζεύειν κατὰ κυμάτων καὶ τὸν διὰ τούτων περίπα-
115α τον ἐσκελεύοντος. || ἀλλὰ γὰρ ἐμνήσθην διδασκάλου καὶ ἡ φωνὴ ἀνακόπτεται καί με λεπτὸς ἀμφικέχυται ἱδρὼς καὶ βιβλίον πάλιν ὑπὸ μάλην φέρειν δοκῶ καὶ ἀψόφῳ εἰσιέναι ποδὶ καὶ τὸ δεσποτικὸν περιπαπταίνειν οἰκίδιον, εἴτουν (προσφυῶς εἰπεῖν) ψυχῶν φροντιστήριον, καὶ ἀναπυνθάνεσθαι τὸν θεράποντα περίπου τὸν οὐδὸν τῆς κέλλης παρερριμμένον, τί ἂν ἄρα πράττει ὁ μέγας καὶ εἰ καθεύδει ἢ καὶ δέλτον διερευνᾷ καὶ εἰ διερευνῶν ἐστι διαναστῆναι καὶ ὑπανοῖξαι, μὴ καὶ τὰ τῆς ἑρμηνείας καθυστερήσαιμι. ὁρᾶτε, ὦ περιεστηκότες καὶ συλλήπτορές μου τῶν ὀδυρμῶν, πῇ παρεξέβην ὑπὸ τῆς ἐμπεσούσης μοι συμφορᾶς καὶ ὥσπερ τὰς φρένας παρακοπείς, ὡς τὸν τρυγίαν ὅλον τῆς ὀργῆς κυρίου πιών, οἷα ἐφαντασάμην κατὰ ἐνέργειαν, καὶ τοῦ οὐρανίου χώρου τῆς ἐλευθέρας πάλαι ἀποκυλισθείς, ὡς τὰ παιδαρίων σφαιρίδια ὁιαπεμπόμενα ταῦτ' ἐκεῖνα καὶ πάλιν τὰ παλαιὰ καὶ τὰ σαπρὰ ἀναπεμπάζω, καὶ ξυλλαμβάνω φρενὶ καὶ οἶδ' ὅτι σύγγνωσεσθέ μοι τῆς συμφορᾶς· εἰμὶ γὰρ ἤδη τοῦ πάθους ὑπέραντλος.

5. Ἀλλὰ γὰρ ῥυέσθω μοι ὁ λόγος τὸν καθ' ὁδὸν ὀχετὸν καὶ εἰ καὶ βραχύ τι παρένευσεν, ὥς τινος ψηφῖδος ἀφαιρεθείσης ἢ καὶ πεπονηκότος τοῦ διαφράγματος, οὐκ ἔφερε τὸν πολὺν ὄλβον ὁ φθόνος καὶ ὁ τούτου σπορεὺς πονηρὸς καὶ τὸν ὄγκον τῶν τοιούτων κατορθωμάτων οὐδὲ τὸ δίκαιον καὶ ἄμεμπτον ἠνέγκατο καὶ ἀληθινόν, καιρίαν δὲ πληγὴν δεχόμενος ταῦτα καὶ τὴν ἐπὶ τούτοις τοῦ καλοῦ παντὸς προκοπὴν ἐπὶ λαμπρῷ θεάτρῳ τῷ βίῳ τούτῳ, καὶ ὡς εἰς πένταθλον πειρασμῶν καταβιβάζει τὸν ἀθλητὴν πρὸς καρτερὰν καὶ φανερὰν μάχην ἀποδυσάμενος καὶ τοῦ καιροῦ λαβόμενος συν-

2 Σολομῶντος] πρβλ. Σοφ. α', 4 "εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία". 6 παροιμίας] πρβλ. παρ. "Καθ' ὕδατος γράφεις". Corp. par. gr. 2, σ. 27. 8 τὴν] κ ῶ δ. τὰ. 12 ὑπὸ μάλην] κ ῶ δ. ὑπ' ἀμάλην. 15 παρερριμμένον] κ ῶ δ. παρερυμμένον.

εργοῦ τῶν περὶ σῶμα πάντων καὶ περιθέτων ἐψίλωσε. τίνα ταυτα; πόλεώς φημι λαμπρᾶς τε καὶ ἀοιδίμου (κἂν νῦν μέγα καὶ λαμπρὸν ἐρείπιον ἢ σκιὰ πόλεως καὶ ὀδύνης οἰκόπεδον καὶ μόνοις ἀνέμοις περιπνεόμενον καὶ τούτοις πολλάκις λυμαντῆρσι καὶ βλαβεροῖς), ναοῦ περικλύτου καὶ οὐρανίου θαλάμου καὶ παρθενῶνος τῆς Θεομήτορος, κλήρου κρατίστου, ἑορτῶν συνεχῶν, συνόδων καὶ πανηγύρεων παμπληθῶν, ἀγρῶν, βοσκημάτων καὶ λοιπῆς ἁπάσης παραψυχῆς καὶ συλληπτικῶς εἰπεῖν τά τ' ἐντὸς τά τε θύραθεν· τῆς γὰρ αὐτοῦ ψυχῆς οὐχ ἥψατο. ἔρρε, βάσκανε Τελχὶν καὶ μισόκαλε, ὡς δὲ τὸν αὐτὸν εἶδεν εἶναι καὶ πάλιν ἀκλόνητόν τε καὶ ἀπερίτρεπτον (προείλετο γὰρ καὶ ταῦτα τῷ τοῦ θεοῦ παραρριπτεῖσθαι ναῷ ἢ τοῖς πονηρευομένοις καὶ τοῦ καιροῦ γενομένοις συμπονηρεύεσθαί τε καὶ παρεκκλίνεσθαι), βαρὺς ἦν αὐτῷ καὶ τοῖς αὐτοῦ συνεργάταις καὶ μόνον βλεπόμενος τοῦτο μὲν καὶ μὴ δυνάμενος κατεμβλέπειν, τοῦτο δὲ καὶ πλείονα πραγματευόμενος τὴν ἀπώλειαν ὡς τάχα γε τούτου φρούδου γενομένου ἀνυποστόλως ληΐζεσθαι.

6. Τοίνυν καὶ δευτέραν πεῖραν εἰσβάλλει καὶ ἐξορίαν αὐτῷ καὶ τὴν ἐκ τόπου εἰς τόπον μετάβασιν ἐψηφίσατο· καὶ τί ἂν λέγοιμι τοὺς ἐντεῦθεν πόνους καὶ κόπους, τῶν ἀναγκαίων τὴν ἔνδειαν καὶ τὴν στένωσιν τῆς γαστρὸς καὶ τἆλλα πάντα, ἃ δὴ τῶν ἐγκωμιαζόντων, ὡς εἶπον, οὐχὶ τῶν μονῳδούντων καθέστηκε; πλὴν οὐχ ὑπεκλάσθη τοῖς χαλεποῖς οὐδ' ὑπεκλίθη γοῦν πρὸς τόσας κυμάτων καὶ πνευμάτων ἐπεμβολάς, οὐδ' ἐχωρίσθη κατὰ Παῦλον τῆς ἀγάπης Χριστοῦ, κἂν καὶ ἡ θάλασσα τῶν κακῶν ἀγριαινομένη ἐφύβριζε καὶ ἡ ἔχιδνα, ἥτις ποτέ ἐστι αὕτη, ἐπιλαβομένη τῆς χειρὸς ἐξεκρέματο. καίτοι φρυγανιζομένῳ πολλάκις καὶ πειρωμένῳ θάλπειν τὸ ψῦχος κατὰ Παῦλον τῶν πειρασμῶν, ἀλλὰ καὶ οὕτως οὐ προὔδωκέ σε, μῆτερ εὐσέβεια, οὐ μὰ τὸν μέγαν ἀρχιερέα καὶ τοῦ ἄγνου ἀμνοῦ θύτην καὶ προσαγωγέα ἐπάξιον· ὑπὲρ δὲ τοῦ ὀρθοῦ λόγου μέχρι καὶ θανάτου προσεκαρτέρησεν, εἰ καὶ ἐν τούτοις οὐκ ἔσχασεν ὁ πειράσαι τοῦτον ἐξαιτησάμενος κατὰ τὸν Ἰώβ. μετὰ δὲ τὸ
115β ἀκταῖς καὶ λιμέσι καὶ || νήσοις καὶ τόποις δυσεμβόλοις καὶ δυσχειμέροις καὶ σκοπέλοις ἀγρίοις καὶ ἀπροόπτοις ἐπιρρίψασθαι πάντων ἔρημόν τε καὶ διάχυτον οὐκ ἴσχυσε παρατρίψασθαι. καὶ τρίτην ἄλλην πεῖραν ἐπάγει ὁ σοφιστής, ἐπεὶ καὶ πλέον αὐτῷ τὰ τῆς ἀρετῆς ἐπετείνετο καὶ τοὺς στεφάνους προσεπλέκετο μείζονας, καὶ τὸ τῆς συμπαθείας δάκρυον κατὰ Νειλῴας ἀναβάσεις ἢ βαθμιδώσεις ἐκχεόμενον τῶν βλεφάρων ὑπερεπλήμμυρε, καὶ τέλος

8 βάσκανε Τελχίν] πρβλ. Διοδώρου ε', 55. 19 ὑπεκλίθη γοῦν] κ ῶ δ. ὑπεκλίγοῦν (ἄνωθεν τοῦ ἔ χεὶρ νεωτ. ἔγραψεν εἐ). 20 Παῦλον] πρβλ. Ῥωμ. η' 39. 23 Παῦλον] πρβλ. Κορ. 2, ιβ', 7. 27 ὁ πειράσαι — Ἰώβ] πρβλ. Ἰώβ α', 5—12.

ὡς μίαν τῶν ἀφρόνων γυναικαρίων τὴν κάκιστ' ἀπολουμένην τῆς ἡμιπληξίας νόσον ἐπήγειρε, δεινὴν μὲν καὶ ἄκρου μυελοῦ ψυχῆς ἅψασθαι καὶ τὸ ἡγεμονικὸν συγχέασαν ἐπιθολώσασθαι καὶ τῆς ἡγιασμένης εὐαρμοστίας καὶ ὁλομελείας τοῦ σώματος τὸ μὲν ἀκίνητον ἐνδείξασθαι καὶ νεκρόν, τὸ δέ, εἰ καὶ ζῶον ἐδόκει, ἀλλ' ἐκ μέρους κἀκεῖνο νενεκρῶσθαι κατὰ συμπάθειαν καὶ ἦν ἰδεῖν ὥς τινα δᾳλὸν ἐξεσπασμένον ἡμίφλεκτον καὶ σῶμα ἡμίνεκρον καὶ ἡμίτομον.

7. Ὅμως καὶ οὕτως ἔχων καὶ τοιοῦτος ὁρώμενος οὐ κατεστέναξε τῆς προνοίας ἢ καὶ ῥυτὸν τουτοῖ περικείμενος σῶμα καὶ τὴν τούτου ἀσθένειαν παρεφθέγξατο, ἢ καὶ ὡς Παῦλος ὑπὲρ τοῦ σκόλοπος ἅπαξ γοῦν παρεκάλεσεν. οὔκουν οὐδὲ⟨ν⟩ ἐγένετο, πλείονος δὲ καὶ μᾶλλον φιλοσοφίας ἐλάμβανεν ἀφορμὴν καὶ συχνοτέρων καὶ ὀξυτέρων τῶν ὀδυνῶν ὑπαισθόμενος πρὸς τὸ ὑγιαῖνον μέρος τοῦ σώματος ἠρέμα πως τὸν λόγον ποιούμενος ὑπεφθέγγετο· " μέλος ἐμόν, μένε ἀτρεμοῦν καὶ συνάλγει τῷ κάμνοντι μέρει ὡς συμφυεῖ· φέρε πτιδείαν Κυρίου, ὅτι πρὸς τὰς ὁδοὺς αὐτοῦ ἐπλαγίασας ". πρὸς δὲ καὶ τὴν ἐπισχεθεῖσαν δεξιτερὴν χεῖρα ὑπελάλει μεταφερόμενος· " στέργε τὸν δεσμόν, ὦ χείρ· δικαίως γὰρ καὶ συνέσταλσαι, ὅτι ἀκρατῶς καὶ ἀπερισκέπτως τοῖς προσιοῦσι μετεδίδως τοῦ θύματος· ἐχρῆν γάρ, ἐχρῆν κατὰ Παῦλον δοκιμάζειν τὰ πρῶτα καὶ ἀκριβοῦν εἶτα κἀκ τοῦ ἄρτου καὶ τοῦ ποτηρίου μεταδιδόναι τοῖς χρῄζουσι· πολλοὶ γάρ εἰσιν ἐν ἡμῖν ἄρρωστοι, φησὶν ὁ αὐτός, καὶ κοιμῶνται ἱκανοί ". τί ταῦτα, ὦ ἄνθρωπε τοῦ θεοῦ καὶ τῆς ἄνω ἐπίσκοπε Ἱερουσαλήμ; ῥήγνυται γάρ μου τὸ σῶμα καὶ ἀναζέει τὸ περικάρδιον. συστέλλεταί σοι διὰ βάσανον χεὶρ ἡ πάντα τὰ προσόντα τοῖς πένησι χέουσα, ἣν ἄχραντον ταῖς χειροθεσίαις τῷ πνεύματι δέδωκας, ἥτις οὐδ' ἐπεγίνωσκέ ποτε τὴν Καίσαρος εἰκόνα καὶ τὴν ἐπιγραφήν, ἀλλ' ἀπένειμε πάντα τὰ τοῦ θεοῦ τῷ θεῷ καὶ τοῖς καθ' ἡντιναοῦντινα χρῆσιν δεομένοις τὰ τοῦ κοσμοκράτορος; ὦ οἷον ἄκουσμά τε καὶ λάλημα· εἰ ἐκεῖνος τοιαῦτα, ποίαν αὐτοὶ τὴν δίκην ὑφέξομεν; εἰ δίκαιοι τοιαῖσδε δοκιμαῖς ὑποβέβληνται, οἱ καθ' ἡμᾶς κατεγνωσμένοι καὶ διὰ πάσης ἁμαρτίας ἐλάσαντες τί ἂν ἄρα δράσοιμεν ἢ πάθοιμεν; εἰ τὸ φῶς ἐν τοιοῖσδε, τὸ σκότος ἐν τίσιν ἔσεται; εἰ τοιαῦτα πάσχουσι τὰ ἔμπρακτα τοῦ Εὐαγγελίου καὶ ἐνεργὰ διδασκάλια, ποίας ἀποτίσουσι δίκας οἱ μηδ' ὁσονοῦν τῶν ἐντολῶν θεοῦ ἐπαΐοντες; οὐ βάσανος δὲ ἦν ταῦτα, ἀλλὰ δοκιμή, ὅπως καὶ αὐτὸς ἀναφανῇς δίκαιος καὶ πολλὰς κατὰ κόρρης ἐπιτρίψῃς τῷ δυσμενεῖ.

16 ἐπισχεθεῖσαν] κ ῶ δ. ἐπεσχεθεῖσαν. 19 Παῦλον] πρβλ. Ἐφ. ε', 10—11. Κορ. 1, ια', 28—29. 25 ἐπεγίνωσκέ] κ ῶ δ. ἐπιγινώσκει. 32 ἐπαΐοντες] κ ῶ δ. ἐπαΐοντα.

8. Ἀλλ', ὦ πάτερ, πάτερ καὶ θεῖε ἐμὲ καὶ σῶτερ καὶ δέσποτα (μήτηρ μὲν ἐμὴ ἀδελφὴ δὲ σὴ γεγέννηκε σαρκικῶς, σὺ δὲ καὶ σὸς ἀδελφός, ὃν ὕστερον ὄντα σου πρῶτον ἐθρήνησα, ἀναγεννησάμενοι λογικῶς ἐς τόδε μέτρον ἠγάγετε), δέχοιο τὴν παροῦσαν χοὴν καὶ δρέπου τῶν μακρῶν σου καμάτων βραχυτάτην τὴν ἀπαρχήν, πενιχρὰν καὶ τῶν σῶν κατορθωμάτων ἐκπίπτουσαν· πολλὰ γὰρ μεγάλα παρὰ σοῦ λαβών τε καὶ δανεισάμενος καὶ νῦν ὧνπερ εἴληφα βραχύ τι ἀποδιδούς, οὐχ ὧν ἔσχον διαλύομαι παρ' ἀληθέσι κριταῖς καὶ ἰσηχορηγουμένοις τοῦ δικαίου τὴν πλάστιγγα, ἀλλ' εὐθύνομαι καὶ μᾶλλον τῷ ἀπαραποιήτῳ κριτηρίῳ τῆς συνειδήσεως καὶ κατακέκριμαι ὑπὲρ ὧν σοι τῆς ἀξίας ἐνδέω καὶ μάλιστα. τί γὰρ τῶν σῶν ἰσόμετρον, οὗ καὶ ὁ κόσμος ὅλος οὐκ ἔστιν ἄξιος; τέως δ' οὖν ὅμως τὴν κατὰ || δύναμίν τε καὶ σὴν καὶ ὡς τὸν Δία φησὶν αὐτὸν ἐξ αὐτοῦ κυίσκειν τὴν Ἀθηνᾶν, κατὰ ταὐτὰ καὶ αὐτὸς τὰ σὰ ἐναγίζω σοι· τὸ γὰρ διὰ τὴν ἀξίαν σιγὴν φέρειν τελείαν καὶ τοῦ παντὸς ἀπολείπεσθαι ἄτεγκτον καὶ ἀνάλγητον καὶ τὰ τοιάδε εἰς ἀναίσθητον φύσιν ἀποκρημνίζουσι καὶ ἀχάριστον. ἀλλ' ὡς φιλόστοργος ὢν μοι καὶ τοῦ φιλανθρώπου θεοῦ ζηλωτὴς καὶ πεσὼν ἐπανόρθου καὶ πάλιν. ἂν τοῦ προσήκοντος παρασφάλλοιμι, κἂν ταῖς καθ' ὕπνον φαντασίαις διύπνιζε ἐπιπλήττων ἐμβριθέστερόν τε καὶ πατρικώτερον· πέποιθα γὰρ ὡς τόδε γέρας ἔχεις λαβὼν ἐκ θεοῦ διὰ τὸ τῆς ἱερωσύνης παναγές τε καὶ ἀνεπίληπτον καὶ τὸ τοῦ βίου εἰλικρινὲς καὶ καθάρειον. καὶ λιτάζομαί σε, ὦ ἱερὰ κεφαλή, ὡς καὶ τοῖς ἐνταῦθα παρὼν οὐκ ἀφίστασο τῆς ἡμετέρας ὅλως κηδεμονίας, κἀκεῖθεν μεταστὰς καὶ τοῖς ἰσαποστόλοις πατράσι καὶ συνάθλοις σοῖς καὶ τὸν ὅμοιον στειλαμένοις δρόμον ὑπὲρ τοῦ ὀρθοῦ λόγου μέχρι καὶ ἐσχάτης ἀναπνοῆς γενόμενος συνόμιλός τε καὶ σύνθρονος ἴθυνε καὶ αὖθις τὰ καθ' ἡμᾶς καὶ ἐν οἷς δεῖ καὶ ὅπως δεῖ ἐμβίβαζε ἀναστρέφεσθαι· οὐ γὰρ δεήσει τινὸς τοῦ μεσεύοντος ἀμέσως τῇ τριάδι καὶ ἀπαρακαλύπτως ἑνούμενος καὶ συνδοξαζόμενος, ὑπὲρ ἧς καὶ δι' ἣν τῆς σὲ λαχούσης τὴν χρόνιον ὑπερορίαν καὶ τὸν ἀπάνθρωπον καὶ ἄφιλον προείλου ἐκτοπισμόν· σοῦ γὰρ μὴ ὄντος οἰακοστρόφου, οὐκ οἴδαμεν ὅπως τὸ τοῦ βίου διαπλευσούμεθα πέλαγος καὶ πῇ ποτ' ἂν καταντήσαιμεν ὄντος παντὸς παρηγορήματος ἔξωθεν. πλήν, οὐχὶ καὶ τῶν ἐλπίδων ἀπογυμνωθέντες θεοῦ διὰ τῆς πρὸς αὐτὸν παρρησίας σου, ἀλλὰ φθάσαιμεν εἰς τὸν ἄκλυστον λιμένα τῆς σωτηρίας ἡμῶν διὰ τῆς πρὸς αὐτὸν ἐντυχίας σου, ἔνθα " αἴθρη πέπταται ' καθαρὰ καὶ " ἀνέφελος ".

12 αὐτοῦ] κ ῶ δ. αὐτοῦ. 16 ἐπανόρθου] κ ῶ δ. ἐπανώρθου. 25 δεήσει] κ ῶ δ. δεήσῃ. 33/34 αἴθρη — ἀνέφελος] Ὀδ. ζ' 43.

9. Ὦ πάθους ἀκαρτερήτου, ὦ πολυστενάκτου ἀκούσματος καὶ θεάματος καὶ οὔ τὴν μνήμην τῆς πικρίας οὐδ' ὁ ξύμπας ἀμαυρώσει αἰών· ἀλλὰ κἂν εἰς λιθώδη φύσιν κατὰ μῦθον μεταμειφθείημεν, καὶ αὖθις ἐκ τῆς τῶν δακρύων καταρροῆς τὰ τῆς συμφορᾶς μηνυθήσεται. φεῦ λόγῳ καὶ ἀρετῇ τοῖς καθ' ἡμᾶς ἀπαρείκαστε καὶ ἀσύγκριτε· ἅπαντα γὰρ συλλαβὼν ἀπέπτης τὰ ἀγαθά, μηδέν τι τοῖς ὀψιγόνοις ἐκλελοιπὼς καὶ τοῖς ὄπισθεν· εἰ γὰρ καὶ ἄλλοτε ἄλλοι ἄξιον δῆθεν σπουδῆς παραδείκνυνται, εἴ τι δήπου καὶ ἔχοιεν, ὅμως σκιαὶ ἀΐσσουσι καὶ φάσματα ἀμαυρὰ καὶ οἷα τὰ τῆς Ἑκάτης μυθεύονται καὶ εἴδωλα μόνον ἀμενηνὰ τὰς τῶν ὁρωμένων ὄψεις πλανῶντά τε καὶ παραφαινόμενα, εἴπερ τέως πρὸς σὲ καὶ τὰ σὰ παραλληλίζοιντο καὶ συγκρίνοιντο· σὺ γὰρ ὥσπερ ἐκ πάντων τῶν ἀγαθῶν συλλεγεὶς καὶ ἀναφυραθεὶς τε καὶ ζυμωθεὶς εἰς μέγα ὑπερήρθης πάσης τῆς ἀρετῆς, καὶ ὅπερ φασὶν Ἑλλήνων παῖδες τὴν Ἀφροδίτην ταῖς χάρισι τοῦ κεστοῦ πάντας ⟨ἐξαρτᾶν⟩ θνητούς τε ἀθανάτους τε, τοῦτο ἐπὶ σοὶ καὶ λίαν ἐπαληθίζεσθαι. ναὶ γὰρ ἐξήρτησας ἅπαντας οὐ δόγμασι μόνον καὶ λόγοις, ἀλλὰ καὶ πράγμασι καὶ οἷς ἂν ὁ θεῖος καὶ θεοῦ γνωρίζοιτο ἄνθρωπος.

10. Ὦ κοινῆς ζημίας, ὦ ἀνατροπῆς σχεδὸν τοῦ παντός, ὦ δεινοῦ δυσπραγήματος· ἀλλὰ γὰρ ὑμεῖς ὁ κράτιστος κλῆρος καὶ λάχος τοῦ μεγάλου, τὸ ἐμοὶ περιεστηκός, οἶδ' ὅτι πεπλήρωκεν ἡ λύπη τὴν καρδίαν ὑμῶν καὶ τῇ τοῦ καλοῦ ποιμένος διαστάσει ἐκόψασθε παθηνάμενοι καὶ δεινοτέραν μακρῷ τῆς νῦν ἐπικειμένης αἰχμαλωσίας ἠγήσασθε τὴν διάζευξιν, ὅπως μὴ λέγοιμι, ὡς κοινῶς ἄρτι πάντες ἀπωρφανίσθημεν, ὡς ἔστιν ἐκ τῶν δακρύων καὶ τῶν σκυθρωπαζόντων προσώπων τεκμαίρεσθαι, καὶ ἄλλοι ἄλλο τι τῶν ἐκείνου χαρίτων ἀπομνημόνευμα φέροντες ἀνεκλαύσατε, οἱ ποιμένες τὸν ποιμένα ἢ ἀρχιποίμενα καὶ τοῦ πρώτου καὶ μεγάλου ἀντίμιμον, οἱ περὶ τὸ θεῖον ἀνάκτορον τὸν κοσμήτορα καὶ ὄντως Ἅγια Ἁγίων τὸ ἱερὸν ἐργασάμενον ἄδυτον ἢ καὶ ἀληθινὴν σκηνήν, ἣν αὐτὸς ἐπήξατο κύριος καὶ οὐκ ἄνθρωπος, ὁπόσοι περὶ τὸν θεωρητὴν βίον ἐσχολάκατε καὶ μονότροπον καὶ οὐδὲ τῆς πράξεως αὐτῆς ἀφιστάμενοι, ἵνα μὴ τὸ τῶν λοξοβλεπούντων πάσχητε καὶ ἀκούητε τὸν ἔμπνουν καὶ ἀμφοτέρων καὶ κινούμενον γενόμενον πίνακα κἂν
116β τῷ κοινῷ τὴν ἄκοινον καὶ ὑψηλὴν || διαγωγὴν ἀσκησάμενον. καὶ πολλοὺς συνθεμένους ἢ συνταξαμένους ὑπερηλάσατο, καθότι μηδ' ἦν ἐν ἐκείνῳ εὑρέσθαι ἀνθρωπίνης ζωῆς ἀποσκίασμα· εἴ τι καὶ γὰρ τοῖς ἐνταῦθα συνέζη, θεῷ τοῦτο

7 εἴ τι] κ ῶ δ. εἴτε. 10 κ ῶ δ. παραλληρίζοιντο. 13/14 Ἀφροδίτην—ἀθανάτους] πρβλ. Ἰλ. Ξ, 214 κέ. || ⟨ἐξαρτᾶν⟩] προσθ. ἡμετέρα εἰς συμπλήρωσιν κενοῦ χώρου ἐν τῷ κώδικι. 19 οἶδ'] κ ῶ δ. εἶδ'. 23 ἄλλοι] κ ῶ δ. ἄλλος. 32 ὑπερηλάσατο] κ ῶ δ. ὑπερελάσατο.

συνέζη καὶ πνεύματι· ἤρα γὰρ μᾶλλον τοῦ ἐρᾶσθαι καὶ τοῦ διψᾶσθαι πλέον κατὰ Παῦλον ὑπερεδίψησε (τοιοῦτον γάρ τοι χρῆμα ψυχὴ ἡ ἅπαξ εἰς τὸν θεῖον κατολισθήσασα ἔρωτα καὶ τῶν γηΐνων ἀπαναστᾶσα μακράν), ὁ πολὺς δὲ καὶ λοιπὸς ὅμιλος τὸν εἴ τι χρηστὸν αὐτοῖς καὶ πρᾶγμα καὶ ὄνομα χρηματίσαντα· οὐ γὰρ τοῖς μὲν προσέκειτο πατρικῶς, τοῖς δ' οὔ, ἐπίσης δὲ πᾶσι καὶ διδασκαλίας κρουνὸν καὶ οὐτινοσοῦν καύσωνος δροσισμὸν καὶ ἀντιληπτικωτάτην χεῖρα ἐπώρεγεν ἐλέγχων, ἐπιτιμῶν, παρακαλῶν, νουθετῶν, διδάσκων καὶ οἰκονομῶν τὰ συνοίσοντα, ὅτι μηδ' ἀντίξους ἦν τῇ τῶν ἠθῶν ἑτερότητι κατὰ τοὺς ἀποξύλους τῶν ἰατρῶν ἐπιβάλλων εὐθὺς καὶ ἀπερισκέπτως τὸν μεσέα σίδηρον ὠμοσαρκοῦσι τοῖς πράγμασιν, ὡς αἵρεσθαι μὲν μειζόνως τὴν ἀπὸ φλεγμονῆς τοῦ σώματος ὄγκωσιν, δριμυτέρας δὲ τὰς ὀδύνας ἐγγίνεσθαι, ἀλλὰ καὶ λόγος ἔμπρακτος ἦν καὶ πρᾶξις ἔννους καὶ ἔλλογος· εἰς ἴσον γὰρ ἀτοπίας συνηλθέτην καὶ ἄμφω, καὶ πρᾶξις ἄλογος καὶ λόγος ἄνους καὶ ἄπρακτος. ἐπ' ἐκείνῳ δὲ οὐκ ἂν εὕροι τις παρεκκλῖνον θάτερον παρὰ θάτερον, ἀλλ' ἐξ ἄκρου εἰς ἄκρον ὁμοτίμως τὰς τῆς ἰσότητος ῥοϊσκομένας γραμμάς· ἄμεινον γὰρ αὐτῷ κατὰ τὸν στοιχειωτὴν Εὐκλείδην τὸν Μεγαρέα πὰρ κεφαλὰν ἑωρᾶσθαι ἢ πράγματι παντὶ εἰπεῖν τι δράσειν ἀσύμφωνον ἐβύοντο μὲν γὰρ αὐτῷ τὰ χείλη κατὰ καιρόν, καὶ ἀνοιγνυμένων δὲ ἐξεφέρετο τούτων εἴ τι σεμνὸν καὶ τοῖς ἁγίοις ἐπιπρεπέστατον· οὐδὲ γὰρ βωμολοχικαῖς γλωσσαλγίαις τὸν λόγον ἐπέχραινεν, ὥς τινες τῶν ταύτην ἀσκησαμένων καὶ τὸ τῆς ἀστειοσύνης ψευδεπιπλάστως ἐπιτιθέμενοι ὄνομα, ταὐτόν τι ποιοῦντες ὡς εἰ Ξενοκράτην πορνείας ἐ⟨νέ⟩γραφον, οὗ καὶ εἶδος μόνον ἐσωφρονίσατο καὶ ἀδικίας Ἀριστείδην τὸν δίκαιον.

11. Ταῦτα τὴν μνήμην κεντρίζει καὶ τῶν ὀφθαλμῶν ἐξακοντίζειν παραβιάζει τὰ δάκρυα καὶ οὐχ οἷός τέ εἰμι κατέχειν ἐμαυτὸν καὶ ταῦτα καὶ ἄλλους παραμυθεῖσθαι πειρώμενον· κατὰ γὰρ τὴν ἀλληλουχουμένην σειρὰν ἢ καὶ κλίμακα ἐξαπτομένων πρὸς ἄλληλα τῶν ἐκείνου κατορθωμάτων τὸ προσληφθὲν μᾶλλον εἰς μεῖζον ὕψος ἀνέλκει καὶ ἀνωφορεῖ, ἐς τὸ ἄκρον διόλου μεθέλκον καὶ προκαλούμενον. καὶ ὡς ἐπὶ τῆς θείας φύσεως οὐκ εἶδε κόρον τὰ ἐλλαμπόμενα τῆς ἐλλάμψεως, οὕτω δὴ καὶ ἐπὶ τῷ μεγάλῳ τῷδε πατρὶ ὅσον ἂν λάβῃς, πλέον προσεπαυξήσει καὶ κατ' ὀλίγον προβαίνων ἐκπέσεις εἰς τὸ ἀόριστον· καὶ ὥς φασιν ἀριθμητικοί, εἰς ὅσα τὸν τέλειον πολυπλασιάσεις ἀριθμόν, εἰς πλέον καὶ πλέον αὐτὸς κεκορύφωται. ἐλλιμενιστέον τοιγαροῦν τὸν λόγον σιγῇ καὶ ταύτῃ προσαπτέον τοῦ λόγου τὰ πείσματα, μὴ καὶ

2 Παῦλον] πρβλ. Κορ. 1, δ' 11. 16 στοιχειωτὴν] κ ῶ δ. στοιχῖωτὴν. 22 ἐ⟨νε⟩γραφον] συμπλ. ἡμετ. βραχέος τόπου διατρήτου. 28 ἀνωφορεῖ] κ ῶ δ. ἀνωφερεῖ.

λάθοιμεν ἔξω τῶν ὅρων τῆς μονῳδίας ἐκπίπτοντες ὡς εἰς σύρτιν τινὰ ἢ ἄμπωτιν καταγόμενοι, ἐν πένθει γεωμετροῦντες καὶ τοῖς ὁρωμένοις ἀοριστα-
νοντες στηρίζοντος τοῦ θεοῦ καὶ τὸ ἡμέτερον ἀσθενὲς ταῖς τοῦ κειμένου εὐχαῖς καὶ τοῖς αὐτοῦ θελήμασιν ἐκβιβάζοντος, ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ
5 καὶ προσκύνησις αἰώνιος. ἀμήν.

2.

ΜΙΧΑΗΛ ΑΚΟΜΙΝΑΤΟΥ ΤΟΥ ΧΩΝΙΑΤΟΥ

ΑΝΕΠΙΓΡΑΦΟΙ ΠΡΟΣ ΤΗΝ ΘΕΟΤΟΚΟΝ ΣΤΙΧΟΙ.

Πολλὰ προσῆξα σὺν πόθῳ τε καὶ πόνῳ
τῷ σῷ λάχει, πάναγνε, καὶ τῷ ποιμνίῳ.
10 ἐκάλλυνά σου τὸν ναόν, πρῶτος πόνος·
ἔπιπλα τιμήεντα καὶ σκεύη φέρω·
ἀγροὺς προσάγω, προξενῶ κτήσεις νέας,
ποίμνια, βουκόλια, πᾶν ζῴων γένος
οἴκους ἀνιστῶ τοὺς πεσόντας τῷ χρόνῳ,
15 ἄλλους νεουργῶ (μαρτυρεῖ πᾶς ὁ βλέπων),
τὸν κλῆρον αὔξω, τοὺς φόρους ἐλαφρύνω
ἢ μᾶλλον εἰπεῖν ἐξανασπῶ ῥιζόθεν.
τοιαῦτα τἀμά, τὰ δὲ σὰ πρός με πλέω
καὶ μείζονα, δέσποινα, καὶ κρείττω λόγου.
20 λύπας ἀφαιρεῖς, συμφορὰς ἀποτρέπεις,
νόσους διώκεις, ἐκ πυλῶν Ἅδου ῥύῃ.
ἐχθρῶν πανουργεύματα καὶ πλοκὰς δόλων
ὡς νῆμα σαθρὸν τῆς ἀράχνης ἐκλύεις.
ἓν λείπεταί μοι τῶν καλῶν τῶν ἐν βίῳ,
25 θανεῖν ὅπου βέλτιον. οὐ γὰρ ἐνθάδε,
ὅπου τελωνῶν ἐστι τὸ κράτος μέγα,
θνήσκοντας ἔνθα τοὺς θεοῦ παραστάτας.
γυμνοῦσι, λακτίζουσι (ὦ θεία δίκη)
καὶ δεύτερον κιρνῶσι θανάτου σκύφον.
30 ἐκεῖ θανοίμην, ἔνθα τὸν πλείω δρόμον
ζωῆς ἐμῆς ἤνυσα μοχθῶν ἐν λόγοις.

1 πόν. 6 Κῶδ. φ. 113β.

ἐνταῦθα ταῦτα καὶ μετὰ ζῆως τέλος.
ῥύου με πυρός, εὐμένιζε σὸν τόκον
καὶ τοῖς χοροῖς σύνταττε τῶν σεσωσμένων.

3.

ΤΟΥ ΜΑΚΡΕΜΒΟΛΙΤΟΥ ΠΡΟΣ ΤΟΝ ΥΠΕΡΤΙΜΟΝ
5 (ΜΗΤΡΟΠΟΛΙΤΗΝ ΑΘΗΝΩΝ
ΝΙΚΟΛΑΟΝ ΤΟΝ ΑΓΙΟΘΕΟΔΩΡΙΤΗΝ).

Ἦν ἄρα καὶ χάρτῃ μαργαρίτης ἐγκυμονούμενος, ἁγιώτατε δέσποτα, καὶ σῆς γλώττης ὑπερτίμου πολυχεύμονος ποταμοῦ Σολομώντειος λίθος ὑπέρτιμος καὶ χαρίτων ὄμβρος ὑποκρυπτόμενος τῇ γραφῇ καί μοι καὶ τοῦτο
10 τῶν ἀπ' αἰῶνος τερατουργημάτων τῆς Θεομήτορος· ἐν Ἀθήναις γὰρ καὶ πάλιν ἐγὼ σῶστρα θύσω τῇ Θεομήτορι χθές που καὶ πρότριτα ῥυσαμένῃ τῶν Ἅδου πυλῶν, καί μοι ταῖς χερσὶ γράμμα τῆς σῆς ἁγιωσύνης ἐντίθεται· πρὸς ὃ δὴ γράμμα, νὴ τὴν τοῦ γράμματος ἡδονήν, ἔνθους ἐγεγόνειν εὐθὺς καὶ σὺν τοῖς ὀφθαλμοῖς τὴν καρδίαν ἐνεπήγην τῷ γράμματι. ἦν γάρ σου τὸ
15 γράμμα χαρίτων λειμών, λωτὸς ἡδονῆς, νέκταρ ἀποστάζον σοφίαν καί σου ταῖς ἀρεταῖς περιχαρακούμενον κύκλωθεν καὶ μόνοις τοῖς περὶ σὲ τὴν σοφίαν τηροῦσιν ἀνόθευτον εἰσιτητὸν καὶ βατόν, ὡς διὰ τῆς θύρας εἰσερχομένοις καὶ μὴ διακλεπτομένοις τὴν εἴσοδον. ὄντως χρυσᾶς τὰς Ἀθήνας εὑρίσκω τῆς σῆς ἁγιωσύνης, ἐν ταύταις γράμμα μεταλλευσάμενος χρυσοῦ τιμιώτερον, λί-
20 θων σαπφείρων πολὺ τιμιώτερον, αὐτοῦ πολυχρυσώτερον Πακτωλοῦ. ὑγείαν σοι καθαρὰν ἐμήνυσέ μοι τὸ γράμμα, διάβασιν ὑγιᾶ περί μου τὴν ψυχὴν διεβίβασεν, ὅλον εἶχε σῶον τὸν ἐν ἀρεταῖς τελειότατον. ἠσπασάμην τὸ γράμμα καί γε γλῶσσαν τὴν σὴν ἐδόκουν ἀσπάζεσθαι, τὴν οὕτω σοφήν, τὴν οὕτως ἡδεῖαν, τὴν ὑπὲρ μέλι καὶ κηρίον γλυκαίνουσαν. ὦ πότε σε καὶ τοῖς
25 ὀφθαλμοῖς εἴδω τὸν ἐμοὶ τὰ πάντα καὶ ἄλλον αὐτόν; εἰ δ' οὐχ ὑπὲρ αὐτόν σε γράφω τῷ γράμματι, ὃν ἔχω πάντως ὑπὲρ αὐτόν, δέδοικα μὴ τῷ μέλιτι τῆς φιλίας ὑποκεκρύφθαι δόξῃ κεντρίον κολακικόν, ὃ φιλίας λειμῶσιν οὐκ ἐβλάστησε πάντοτε. τὴν δὲ περὶ τῆς σῆς πρεσβείας (γνῶσιν) καὶ ὅσα μοι τὸ

4 Κῶδ. φ. 131α—131β. 8 Σολ. λίθος ὑπέρτιμος] πρβλ. Σοφ. ζ', 9. 11 θύσω] κ ῶ δ. θύσων. 24 ὑπὲρ μέλι —γλυκαίνουσαν] πρβλ. Ψαλμ. ριη', 103. 28 γνῶσιν] προσθήκη ἡμετέρα.

---

19 κ ῶ δ. μεταλευσάμενος. 20 τιμιότερον || πακτολοῦ.

γράμμα διεμήνυσεν ἀγαθά, γέγηθα μὲν καὶ αὐτὸς καὶ συγγέγηθα τῷ παντὶ καὶ τῇ πανδήμῳ καὶ κοσμοσωτηρίῳ πανηγύρει συμπανηγυρίζω καὶ αὐτὸς εὐχαριστήριον ὕμνον τῇ Θεομήτορι. ἐμοὶ δ' οὐ νῦν γέγονε ταῦτα μαθεῖν, ἀλλ' ἅμα σὺ περὶ τὴν πρεσβείαν κἀμοὶ κατὰ νοῦν ὡς πέρας αἴσιον εὑρήσει τὰ πράγματα· εἰ μὲν γὰρ βουλὴ τοῦ κρατίστου ἡμῶν αὐτοκράτορος, οὗ καρδία ἐν τῇ χειρὶ τοῦ θεοῦ καὶ ἡ βουλὴ τοῦ θεοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ, εἰ γοῦν ἐκεῖνος ἔτεκε τὴν βουλήν, τοῦ θεοῦ ταύτην ἐμβαλόντος ἐν τῇ καρδίᾳ αὐτοῦ; σὺ δὲ τῆς μεγάλης βουλῆς τῆς τοιαύτης ὑπηρέτης, τίς ἄρα μὴ ταῦτα βλέπων καὶ προφητεύῃ καὶ ὡς πέρας αἴσιον εἴπῃ τοῖς πράγμασιν; οὐδεὶς ἄρα διστάσει τῷ πράγματι, εἰ μὴ καὶ πρὸς τὴν ἡμέραν βλέπων αὐτὴν διψήσειν λέγων τὸν ἥλιον ὑπὲρ γῆς. κἂν γοῦν προνενοήκαμεν, κἂν προμεμαθήκαμεν, κἂν προβλεπτικῶς προορῶμεν τὰ μέλλοντα, εὖγέ σοι καὶ τῆς εὐβουλίας, χάρις σοι τῶν ὑπὲρ ἡμῶν κόπων. κοινούμεθά σοι τὰς ἡδονάς, κἂν μὴ καὶ τοὺς κινδύνους ἐκοινωσάμεθα, συμπνέομέν σοι τὸν ζέφυρον, κἂν μὴ καταιγίδι τῆς θαλάσσης συνεφυσῶμέν σοι τὴν ψυχήν. γένοιτο δέ μοι κοινώσασθαι καὶ λόγου καὶ χάριτος δι' ἐπῶν ὑμετέρων γλωσσῶν, σοῦ τε τοῦ πρεσβευτοῦ τῆς μεγάλης βουλῆς καὶ τοῦ κυρίου μου, τὰ πάντα καλοῦ λογοθέτου καὶ ἔργοις
131β καὶ πράγμασιν· ὃν ὁ θεὸς ἀφορίσας ἐκ κοιλίας μητρὸς ‖ αὐτοῦ, κατὰ τὸν μέγαν ἀπόστολον, εἰς σωτηρίαν ἡμῶν ἐξαπέστειλε τῶν ἀγαπησάντων αὐτόν.

---

9 προφητεύῃ] κῶδ. προφητεύει. 10 διψήσειν λέγων] τόπος οὕτω δύσληπτος εν τῷ κώδικι πιθανῶς ἐκ παραναγνώσεως.

---

1 συνγέγηθα 9/10 δυστάσει. 12 ἐυουλίας.

ς'.

ΙΩΑΝΝΟΥ ΑΠΟΚΑΥΧΟΥ

ΜΗΤΤΡΟΠΟΛΙΤΟΥ ΝΑΥΠΑΚΤΟΥ

ΕΠΙΣΤΟΛΑΙ, ΠΡΑΞΕΙΣ ΣΥΝΟΔΙΚΑΙ ΚΑΙ ΕΜΜΕΤΡΑ.

1.

A 11
B 6β
I 116

Τοῦ Κομνηνοῦ πρὸς τὸν Ναυπάκτου.

Οὐκ οἶδα τίσι τρόποις προήρπασεν ἡμῖν ὁ θεὸς τὴν πανολβίαν ἐκείνην ψυχήν, τὸν θαυμαστὸν Κερκύρων, τὸν Πεδιαδίτην κῦρ Βασίλειον, οὐκ οἶδα τοῦτο καὶ διηπόρημαι· ἄνθρωπος γὰρ ἐκεῖνος οὐχ ὅπως θεωριῶν ὄντως ἀνήρ, ἀλλὰ καὶ τῆς πρακτικῆς σοφίας οὐκ ἀμοιρῶν. μεγάλην οὖν ἡμῖν ἐξ ἡμῶν ἐκεῖνος γενόμενος τὴν δυσθυμίαν ἐνέσταξε καὶ μέγα πένθος ἐγκαταλέλοιπεν. ἐκεῖνος μὲν οὖν προαπῆλθε βίου τοῦ ἀνθρωπίνου, θρόνον δὲ τὸν αὐτοῦ ἕτερος διεδέξατο· δόξας δὲ καὶ αὐτὸς ὡς ἐν ὀνείροις ἱερατεῦσαι συναπῴχετο καὶ αὐτός· κρίματα δὴ ταῦτα, ἅπερ ἀπέκρυψεν ἀφ' ἡμῶν ὁ θεός. κεῖται γοῦν ἐς δεῦρο ἡ τῶν Κερκυραίων ἱερὰ καθέδρα χηρεύουσα καὶ φροντὶς ἡμῖν οὐκ ἐλαχίστη καὶ περὶ τούτου· μεριμνῶμεν γὰρ μετὰ τῶν ἄλλων καὶ περὶ αὐτῶν καὶ τὸ πνεῦμα ἡμῶν σκάλλει παρ' ἑαυτοῖς καὶ μέμηλεν ἀκατάπαυστα. τὸν γοῦν ἱερὸν ἡμῶν μελισσῶνα ἕκαστον παρὰ τῇ ἑαυτοῦ καταδύσει τὸ μέλι συμβλουργοῦντα τῆς ἀρετῆς ὑπαναστῆναι διερεθίζομεν καὶ τὴν πνευματικὴν ταύτην κεναγγίαν δι' ἱερᾶς ψήφου ἀναπληρώσειν ὑμᾶς προκαλούμεθα. σύνελθε

A = κῶδ. Πετρουπ. 251.
I = κῶδ. Ἱεροσολ. πατρ. σύλλ. 276 (Ἱεροσ. Βιβλιοθ. τ. 1, σ. 333—353).
B = κῶδ. Πετρουπ. 250, φ. 6β (τεμάχιον ἄχρι τῶν «σὺν θεῶ», σ. 250 γρ. 3).
11 αὐτῶν I, αὐτοῦ B. 12 τὸ πνεῦμα ἡ. σκάλλει] πρβλ. Ψαλμ. ος', 7.

---

2 τρόποις A, προσώποις IB | ἡμῖν AI, ἡμῶν B. 4 καὶ AI, ἐλλ. B. 9 ἀφ' A, ἐξ JB. 12 ἡμῶν] λείπει τῷ B. 13 ἡμῶν I, ὑμᾶς A, ἡμᾶς B.

οὖν, σεβασμία μοι κεφαλή, μετὰ τῶν ὑπὸ σὲ ἀδελφῶν εἰς τὴν ὑφ' ὑμᾶς χώραν τὴν Ἄρταν κατὰ τὴν ιε' τοῦ μέλλοντος Ὀκτωβρίου μηνὸς καὶ καθίσαντες τὸν οὐκ ἀδόκιμον προχειρίσασθε σὺν θεῷ. ἂν δὲ καὶ τὸ ἐμὸν οὐκ ἀπόβλητον παρ' ὑμῖν, εἰ δὲ καὶ τὰ κοσμικὰ τοῖς ἱεροῖς παραμιγνύειν οὐκ ἀπηγόρευται, συνεισφέρω βουλὴν παρ' ὑμῖν, ἀλλ' οὐ τυραννικήν, ὅτι τέως ἐμοὶ πρόσφορος παρὰ τῇ τοιαύτῃ ψήφῳ λελόγισται ὁ ἐλλογιμότατος χαρτοφύλαξ Ἀθηνῶν καὶ ἡμῖν ἀγαπώμενος, ὁ Βαρδάνης· ἄνθρωπος γὰρ ὁ τοιοῦτος οὐ παντοδαπῷ λόγῳ μόνον ἐνσεμνυνόμενος, ἀλλὰ καὶ βίῳ τὸν λόγον προσεπικοσμῶν καὶ τῳόντι πρὸς τοιαύτην ἱερατείαν κατὰ τὴν ἐμὴν δόξαν ἁρμόδιος. οἶμαι δέ, ὅτι προσῆκον καὶ ἡμῖν φανήσεται, ὅμως ἀλλὰ τρακταῖσατε τὰ τοῦ πράγματος ἐν θεῷ· καὶ ἐκεῖνος, ὃς ἐν γλώτταις πυρίναις (δήλωσις, οἶμαι, τοῦτο τῶν μετὰ μέθεξιν πνευματικῶν καὶ διαδόσεων) τοῖς ἑαυτοῦ θεράπουσι τὴν χάριν διένειμε, χορηγήσαι τὸ ἁπλανὲς καὶ λυχναυγήσαι τοῖς ἀγνοοῦσι τὸ ἄξιον ὑφ' ὑμῖν χειραγωγηταῖς. ἡ ἁγία εὐχή σου εἴη μετ' ἐμοῦ. μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος η'

Ὑπογραφή:

Θεόδωρος ὁ Δούκας

Ὄπισθεν δὲ ἡ ἐπιγραφή:

Τῷ παναγιωτάτῳ δεσπότῃ καὶ ἐν κυρίῳ πατρί μου, τῷ μητροπολίτῃ Ναυπάκτου Θεόδωρος Κομνηνὸς ὁ Δούκας.

2.

B 67α
I 92α

Χρυσόβουλλον ⟨ἐπικυρωτικὸν τῶν κτήσεων τῆς Ναυπάκτου μητροπόλεως καὶ σχετικαὶ πρὸς ταύτας διατάξεις⟩.

Τὰ καλά, εἰ μὲν εἰς θεὸν ἀφορῶσι καὶ περιποίησιν τῶν ἱερῶν ἐκκλησιαστηρίων αὐτοῦ, εὐσεβοῦς ἐστι βασιλέως ἡ τούτων φυλακὴ καὶ συντήρησις· εἰ δὲ ἰδιωτικά εἰσι τὰ καλά, ἡ ἐπ' αὐτοῖς προνοητικὴ ἐπιθήκη φιλοδώρου βασιλέως ἔργον καὶ φιλοτίμου. φιλοτιμία δὲ καὶ φιλοδωρία βασιλικὴ οὐκ ἄν ποτε καὶ εἰς τὴν τῶν ἰδιωτικῶν συντήρησιν καταβαίη, εἰ μὴ τὴν εὐσέβειαν ὁ βασιλεὺς ἐκεῖνος ἔχῃ πλουσίαν ἐν τῇ ψυχῇ καὶ θέμεθλον στερρὸν ὡσανεὶ τῆς φιλοδώρου γνώμης καὶ τῆς φιλοτίμου χειρός· εἰ μὴ γὰρ εὐσεβήσῃ, οὐκ

8 προσεπικοσμῶν I, προσεπικοσμεῖν A. 9 τοιαύτην] ἐκ τοῦ I, λείπει τῷ A. 10 προσῆκον — φανήσεται I, προσήκων φαν. A 11 ἐν] ἐκ τοῦ I, σὺν A. 12 καὶ διαδόσεων] ἐκ τοῦ I, διαβάσεων A. 21/22 ⟨ἐπικυρωτικὸν —διατάξεις⟩ ἡμετέρα προσθήκη = εἰρήσθω δέ, ὅτι τὸ χρυσόβουλλον ἔστιν ἀναμφιβόλως ἐπιταγὴ μὲν Θεοδώρου τοῦ ἤδη αὐτοκράτορος Ῥωμαίων, σύνταγμα δὲ Ἰωάννου τοῦ Ναυπάκτου μητροπολίτου.

11 δὲ οἶμαι A. 24 φυλακὴ I, φυσικὴ A.

ἐλεήσει οὐδὲ φιλοτιμήσεται πάντως, εἰ μὴ ἄρα πρότερον ἐλεήσῃ καὶ συνάγεται τοῦ λοιποῦ τὴν εἰς θεὸν εὐσέβειαν εἶναι φιλοδωρίας καὶ φιλοτιμίας μητέρα. ἡ γοῦν ἐκ θεοῦ βασιλεία μου, εἴ γε καὶ δέοι ταύτην καυχήσασθαι, εὐσεβοῦσα τὰ εἰς θεὸν πολλοῖς ἐκκλησιαστηρίοις αὐτοῦ ἐπεφιλοτιμήσατο τὰ ὠφέλιμα. αὐτὰ ταῦτα ἐπιβραβεύει διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς καὶ τῇ ἁγιωτάτῃ μητροπόλει Ναυπάκτου· κατέμαθε γὰρ αὐτὴν ἐκ τῶν προσόντων ταύτῃ δικαιωμάτων πολυκτήμονα μὲν τὸ πάλαι καὶ πολυπρόσοδον οὖσαν, εἶτα ⟨δὲ⟩ γενομένην ὀλιγοκτήμονά τε καὶ βραχυπρόσοδον οὖσαν ἐκ τοῦ τὸν ἐπὶ τῆς βασιλείας τοῦ ἀοιδίμου προπάππου τῆς βασιλείας μου κῦρι Ἀλεξίου τοῦ Κομνηνοῦ ἐν Ναυπάκτῳ ἱερατεύσαντα προσελθεῖν ἐκείνῳ τῷ τότε καὶ πολλὰ τῶν τῆς ἐκκλησίας ταύτης κτημάτων ἐπικληρῶσαι τῷ δημοσίῳ εἰς ἱκάνωσιν ὧν εἶχε τελῶν καὶ βαρῶν ἡ εἰρημένη μητρόπολις, ἑαυτῷ δὲ περι-
I 92β ποιήσασθαι τὴν ἐκ τούτων ἀπαλλαγὴν καὶ τὴν ἐκ τῆς ‖ τῶν δημοσιακῶν συζητήσεων ὀχληρίας ἐλευθερίαν καὶ ἄνεσιν καὶ τὰ ὀλίγα μετὰ ἀνέσεως τῶν μετὰ κακωτικῆς τῆς περιφορᾶς καὶ τῆς ἐντεῦθεν ὀδυνηρᾶς ζωῆς προτιμήσασθαι. ἀλλ' ὑπορρέων ὁ χρόνος καὶ καταβαίνων εἰς τὰ φαυλότερα τὴν μὲν Ναύπακτον πειρατικῆς χειρὸς ἐποίησεν ἔργον καὶ τὰς ἐκεῖσε τῆς ἐκκλησίας συνεισφορὰς συνεξώρισέ τε καὶ συνωλίγωσε τὰ κατὰ τόπους ἑτέρους ταύτης κτησίδια· ἀλλὰ καὶ ταῦτα ἡ πολυποίκιλος περιφορὰ τοῦ καιροῦ ἐκ πολυανθρωπίας καὶ τῆς ἐγγεγραμμένης τοῖς ἐκκλησιαστικοῖς δικαιώμασι παροικικῆς ποσότητος εἰς ὀλιγανθρωπίαν καὶ στενὸν τὸ ποσὸν σὺν ταῖς ἐκ τούτων συνεισφοραῖς συνέστειλέ τε καὶ περιέκλεισε καὶ γέγονεν ἐκ τούτων τῶν περιστάσεων ἡ πρώην εὐδαίμων αὕτη μητρόπολις δυσδαίμων ἅμα καὶ δυστυχής, ἔχουσά τε τὸ ὑποτεταγμένον ὀλίγον καὶ τὸ ἐκ τούτου προσαγόμενον ὀλιγόποσον. ὁ ἱερὸς αὐτῆς κλῆρος εἰς ἑκατὸν ἀριθμούμενος οὐδὲ εἰς δέκα κατήντησε, καὶ ἂν καὶ οὗτοι ἐξέλιπον, εἰ μὴ ὁ σήμερον φιλοτιμούμενος ἐν ἱεροῖς ἐνεργήμασι τόν τε κλῆρον ἐπηύξησε καὶ διαρίοις ἐκκλησιαστικοῖς φιλοτιμοτέροις τῶν πάλαι τούτους τοὺς κληρικοὺς καὶ δεξιοῦται καὶ πρὸς ὑμνῳδίαν ἐντεῦθεν τοῦ θεοῦ διανίστησι. τὸ μεῖζον ταύτης τῆς ἐκκλησίας καὶ περιστατικὸν καὶ ἐπώδυνον ἡ σήμερον σύγχησις τοῦ καιροῦ καὶ τῆς ἐντεῦθεν ἀνάγκης εἰς δημοσιακὰς ἐπηρείας ταύτης συνελκισμός, ἥτις καὶ τὴν βασιλείαν μου εἵλκυσε πλωΐμους
I 93α ἐπιθεῖναι αὐτῇ διὰ τὴν προκειμένην ‖ καὶ αὐτίκα ναυτικὴν ἐκστρατείαν· ἀλλὰ δυσωπηθεῖσα τὸ δίκαιον καὶ ἐπελθοῦσα τὰ προσόντα τῇ μητροπόλει

8 ⟨δὲ⟩] προσθ. ἡμετέρα

18 κτησείδια I. 30 διμοσιακὰς B. 31 ἥτις] εἴτις B. 31 εἵλκησε B. 32 ἐπιθῆναι BI. 32 καὶ αὐτίκα] ἐκ τοῦ B, τῷ I ἐλλείπει καὶ τῷ Βασιλ.

ταύτῃ διάφορα δικαιώματα, τὰ παντὸς δημοσιακοῦ καὶ τέλους καὶ βάρους καὶ
λειτουργήματος ἐλευθεροῦντα ταύτην τὴν ἐκκλησίαν καὶ αὐτῆς ἐν μέρει τῆς
B 67β ἐξοπλίσεως τῶν πλωΐμων, συγκαταδέχεται μὲν τῷ προπάππῳ ‖ ἐκείνῳ τῆς
βασιλείας μου τῷ Κομνηνῷ κῦρι Ἀλεξίῳ τὴν πρὸς τὸ δημόσιον ἀπόλυσιν
τῶν κτημάτων αὐτῆς ὑπὲρ ἐλευθερίας τε καὶ ἀτελείας καὶ πάσης ἄλλης 5
ἀπαλλαγῆς δημοσιακῶν ζητήσεων, συνεισφέρει δὲ τῇ μητροπόλει ταύτῃ καὶ
δι' αὐτῆς τῇ τιμωμένῃ ἐν ταύτῃ πανυμνήτῳ τοῦ κυρίου Μητρί, δι' ἣν ἔχει
πάντως πρὸς τὸ θεῖον εὐσέβειαν, τὸ ἐπικυρωτικὸν καὶ τὸ βεβαιωτικὸν τῶν
προσόντων ταύτῃ διαφόρων δικαιωμάτων παλαιγενῶν, ὑστερογενῶν βασιλικῶν
προσταγμάτων, διαθηκῶν, δωρεῶν, σιγιλλίων πρακτορικῶν, συνηθειῶν, ἐγγρά- 10
φων τε καὶ ἀγράφων καὶ παντὸς ἑτέρου μερικοῦ καὶ καθολικοῦ δικαιοδοτή-
ματος ἕως ἄρτι προσόντος τῇ μητροπόλει, καὶ διορίζεται τὸ κῦρος ἔχειν
αὐτὰ καὶ τὸ βέβαιον καὶ τὸ ἀσφαλές, ὡς εἰ καὶ παρὰ τῆς βασιλείας μου
ἄρτι πρώτως ἐγένοντο, καὶ προστάσσει ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μήτε
εἰς πλωΐμων δόσιν ἕλκεσθαι τὴν ἁγιωτάτην ταύτην μητρόπολιν μήτε εἰς σι- 15
ταρκισμὸν κάστρου τινὸς μήτε δόσιν οἰκομοδίων ἢ χοιροδεκατίαν ἢ ἀπαίτη-
σιν νομισμάτων ἐν τῇ χώρᾳ κατὰ κέλευσιν τῆς βασιλείας μου γινομένην, ἢ
I 93β εἰς ἄλλην τινὰ ἐπήρειαν καὶ ζημίαν καὶ ἀγγαρείαν ‖ καὶ συζήτησιν δημο-
σιακήν, ὁποίῳ ἂν καὶ καλοῖτο αὕτῃ ὀνόματι νῦν τε οὖσα καὶ ἐπινοηθη-
σομένη ἐσύστερον. εἰ, δέ ποτε ἡ βασιλεία μου τυχὸν διορίσεται ἀπαίτησίν 20
τινα καὶ ἐν ταῖς τῆς μητροπόλεως κτήμασιν ἢ γεννήματος δόσιν ἢ πλωΐ-
μων ἐξέλασιν ἢ ἕτερον ὁποιονδήτι ζήτημα ἐπιζήμιον, ὡς κατὰ λήθην
ἐκτεθειμένη λογισθῆναι ὀφείλει ἡ τοιαύτη τῆς βασιλείας μου πρόσταξις,
κἂν καὶ ῥητῶς ἐγκείμενον ἔχῃ τὸ «καὶ αὐτὰ τὰ χρυσόβουλλα τῆς
βασιλείας μου ἀπρακτεῖν ἐπὶ τῇ συζητήσει ἐκείνῃ»· ὅσον 25
δὲ ἐπὶ τῷ παρόντι χρυσοβούλλῳ λόγῳ αὐτῆς ἐκείνη μᾶλλον ἀπρακτήσει
καὶ τὸ ἀνίσχυρον ἕξει ἡ καταψηφιζομένη ἀνισχυρότητα τοῦ παρόντος χρυ-
σοβούλλου λόγου τῆς βασιλείας μου. καὶ ταῦτα μὲν ἐπὶ τοῖς ἔξω τῆς χει-
ρὸς τοῦ πανευτυχεστάτου δεσπότου καὶ περιποθήτου αὐταδέλφου τῆς βα-
σιλείας μου κῦρι Κωνσταντίνου τοῦ Δούκα διακειμένοις τῆς μητροπόλεως 30
κτήμασι καὶ τηρηθήσεται καὶ γενήσεται. ἵνα δὲ μὴ τὸ τῆς βασιλείας μου ἐπὶ
τῇ μητροπόλει φιλότιμον τὴν ἐκ μέρους ἔχῃ τοῦ ἐπ' αὐτῇ φιλοτίμου παρα-
κοπὴν καὶ προαίρεσιν, προστάσσει καὶ διορίζεται μηδὲ ἐν τοῖς κατὰ Ναύ-
πακτον δικαίοις αὐτῆς ὑφίστασθαί τι κακωτικὸν καὶ ἐπιζήμιον παρὰ τοῦ ἐκεῖ-
αὐταδέλου τῆς βασιλείας μου, ἀλλ' ὡς ἡ βασιλεία μου ἐξήπλωσε τὸ ταύτης

8 ποὸς τὸν B. 11 τε] ἐκ τοῦ I, τῷ B ἑλλ. 21 γενήματος B. 24 ἔχει B.

φιλότιμον ἐπὶ τοῖς ἐκτὸς τῆς Ναυπάκτου καὶ ἐν διαφόροις κατατομαῖς θεω-
I 94α ρουμένοις τῆς μητροπόλεως κτήμασι, τὴν αὐτὴν φιλοτιμίαν ‖ καὶ ἐπὶ τοῖς ὑπ'
αὐτὴν καὶ διαχέει καὶ ἐφαπλοῖ καὶ προστάσσει κατὰ τὴν δοθεῖσαν αὐτῇ βα-
σιλικὴν ἐξουσίαν ἀπὸ θεοῦ μηδὲ τοὺς ἐν τῇ περιχώρῳ τῆς Ναυπάκτου παρ-
5 οίκους αὐτῆς ἢ ἀγγαρείαν ἢ ζημίαν ἢ ὁποιονδήτινα ἕλκυσμὸν παρὰ τοῦ αὐ-
ταδέλφου τῆς βασιλείας μου ὑπομένειν, μὴ τοὺς κληρικούς, μὴ τὰ ὑποζύγια
τούτων, μὴ τοὺς ἐνοίκους, μὴ τὰ βοσκήματα τούτων, μηδὲ εἰς πλωϊμολογίαν
ἕλκεσθαι τοὺς ἁλιεῖς αὐτῆς καὶ τοὺς ἑτέρως αὐτῇ διαφέροντας, μηδὲ τῆς εἰς
θάλασσαν τῶν ἰχθύων ἄγρας κωλύειν αὐτούς, μὴ τοὺς ὑπὸ τὴν μητρόπολιν
10 χειροτέχνας τῶν ὑφασμάτων, μὴ τοὺς σκυτεῖς, μὴ τοὺς ῥάπτας, μὴ τοὺς
ἀτέχνους ἐνοίκους παρὰ τοῦ αὐταδέλφου τῆς βασιλείας μου ἀγγαρεύεσθαι
ἢ μερικῶς ἢ καθόλου, ⟨μὴ⟩ κακοῦσθαι παρ' αὐτοῦ καὶ ἕλκεσθαι ἡ βα-
σιλεία μου διορίζεται. ἀλλ' ὥσπερ αὐτῆς τε ὁ τῆς βασιλείας μου αὐτάδελ-
φος περιπόθητος καὶ οἱ ὑπ' αὐτὸν τεταγμένοι τὰ μακρὰν οὐχ ὁρῶσιν οὐδὲ
15 τὰ πόρρω τῆς Ναυπάκτου διακείμενα βλέπουσιν, οὕτως οὐδὲ τοῖς ἐν αὐτῇ
τῆς μητροπόλεως ἅπασιν εἰς ἀγγαρείαν, εἰς ζημίαν εἰς ἕλκυσμόν, εἰς ἀναι-
σχυντίαν, εἰς κάκωσιν συνόλως ἐπεντρανίουσιν· ἀλλ' ὡς μακρὰν καὶ ταῦτα καὶ
ὄντα καὶ διακείμενα οὐδέποτε οὐμενουν ὑπὸ τοῦ μέρους τοῦ αὐταδέλφου τῆς
βασιλείας μου λιχνευθήσεται· ἃ γὰρ καὶ οἱ προτοῦ βασιλεῖς καὶ ὁ μακρὸς
20 διετήρησε χρόνος ἀζημίωτά τε καὶ ἀναγγάρευτα καὶ τῆς τοῦ δημοσίου χει-
ρὸς τὸ καθόλου διέστησε, ταῦτα κἂν καὶ ὦσιν ἐγγύς, ἀλλὰ διὰ τὸ ἐκ τοῦ
I 94β ‖ δημοσίου ἐλεύθερον ἰσοτυποῦσι καὶ τοῖς μακρὰν καὶ τοῖς πόρρωθεν. καὶ
ταῦτα ἡ βασιλεία μου διορίζεται οὐ παρακόπτουσά τι τῶν ἀνηκόντων δικαίων
τῷ αὐταδέλφῳ αὐτῆς οὐδὲ ζημιοῦσα τοῦτον εἰς ὁτιοῦν, ἀλλὰ τὸ εὐσεβὲς φυ-
25 λάττουσα εἰς θεόν, τὸ ὑποπεπτωκὸς καὶ τὸ ταπεινὸν εἰς τὴν ἀγνῶς τεκοῦ-
σαν αὐτὸν καὶ τὴν τοῦ αὐταδέλφου ταύτης ψυχὴν θεϊκῆς καὶ ἀνθρωπίνης
ἐλευθεροῦσα τῆς κατακρίσεως καὶ βοηθεῖ τῷ ἀδελφῷ ἀρίστην ταύτην βοή-
θειαν, τὴν ἀποχὴν δηλονότι τῶν τῆς Ἐκκλησίας δικαίων καὶ τὴν ἐλευθερίαν
τοῦ ἐντεῦθεν κριματισμοῦ, ὡς αὐτὸς μὲν ταῦτα καὶ βοηθούμενος καὶ φυλάσ-
B 68α σων ‖ ὡς πόλις ὀχυρὰ λογισθήσεται, αὐτὸς δὲ πάλιν ἀντιβοηθῶν τῇ βασι-

30-254,8 ⟨ὡς πόλις—Ῥωμαίων⟩] ταῦτα λείπουσι τῷ B, ὁ δὲ Βασιλειεύσκης προεξέδωκε τὸ τέμαχος τοῦτο ἐξ ἀπογράφου ἐμοῦ αὐτοῦ τοῦ ὅλου χρυσοβούλου ἀπὸ τοῦ ἐν τῇ Κεντρικῇ Πατριαρχικῇ Βιβλιοθήκῃ Ἱεροσολύμων κώδικος 276-ου τῆς πατριαρχικῆς καλουμένης συλλογῆς, φύλλ. 92ν—94β. Πρβλ. Α. Π.-Κεραμέως, Ἱεροσολυμ. Βιβλιοθήκη, τ. 1, σ. 342, ἀρ. θ. 69. 30 ὡς πόλις—βασίλειον] πρβλ. Παρ. ιη, 19.

12 ἢ καθόλου, καθόλου B καὶ Βασιλ. ⟨μὴ⟩] ἡμετ. προσθήκη. 13 αὐτός τε BI, αὐτῆς Βασιλ. 17 ἐπεντρανίσσουσιν] ἐπεντρανήσουσιν BI 18 οὔμενουν BI, ουμενοῦν Βασιλ. 19 πρωτοῦ] πρὸ τοῦ BI.

λείᾳ μου ἐξ ὑπακοῆς, ἐκ τῆς φυλακῆς τῶν προσταγμάτων αὐτῆς, ἀνταποδείξει ταύτην τεθεμελιωμένον βασίλειον. καὶ προσέσται τῇ ἁγιωτάτῃ μητροπόλει Ναυπάκτου εἰς διηνεκῆ τὴν ἀσφάλειαν τὸ παρὸν τῆς βασιλείας μου χρυσόβουλον, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος. μηνὶ Μαΐῳ, ἰνδικτιῶνος $\overline{\alpha^{\text{ης}}}$ ἔτους $\overline{\varsigma\psi\lambda\varsigma^{\text{ου}}}$ (=1228).

Ἡ ὑπογραφὴ διὰ κινναβάρεως.

Θεόδωρος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων.

3.

Τοῦ αὐτοῦ πρὸς τὸν Κομνηνόν, ὅτε κατέσχε τὰ ὑπὸ τὴν ἐκκλησίαν αὐτοῦ. B² 321α

Κράτιστε Δούκα καὶ αὐθέντα μου ἅγιε, " αἱ ὀργαί σου καὶ οἱ φοβερισμοί σου ἐξετάραξάν με, ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ". ἀλλ' ἐγὼ τὰ βαρέα ταῦτα καὶ ἀσυνήθη ἐμοὶ φέρω γενναίως γινώσκων εἰς ἀκριβές, ὡς οὐκ ἀπὸ τῆς σῆς προαιρέσεως ταῦτα γίνεται, ἀλλ' ἐκ συνωθήσεως χαιρεκάκων ἑλκόντων τὴν ἡμετέραν εἰς ἑαυτοὺς καὶ συμπλαττόντων ἀσύστατα, ἵνα μὴ μόνον εὐθυνθῶσιν ἐφ' οἷς κακῶς εἰς ἡμᾶς πράττουσιν ἀλλὰ καὶ νικήσωσιν ἐκ διαβολῆς. καίτοι ἐχρῆν τὴν σὴν ἐξουσίαν πρῶτον κρῖναι, εἶτα διαγνῶναι ἢ καταγνῶναι, ἐρήμην δὲ μὴ καταδικάσαι ἡμᾶς καὶ ὡς ἀπὸ κρίσεως ἀναφανέντα πολλὰ ἡμῖν προστρῖψαι τὰ αἰτιάματα. ἄρα οὐκ ἦν ἀγαθὸς ὁ βασιλεὺς ἐκεῖνος, ὅς, ἡνίκα τις ἐνεκάλει μὴ παρόντος τοῦ ἀντιδίκου, τῇ μιᾷ τῶν χειρῶν θάτερον τῶν ὤτων ἐπεπωμάτιζεν; ἐρωτώντων δέ τινων τὴν αἰτίαν, φυλάσσειν ἔλεγε τῷ διεγκαλουμένῳ εἰς τὴν κἀκείνου ἀκρόασιν· σὺ δὲ καὶ ἄμφω τὰ ὦτα δοὺς τοῖς λέγουσι κατ' ἐμοῦ τί ἐμοὶ ὑπέλιπες εἰς ἀκρόασιν; οὕτως ἐπέκλεισάς μοι καὶ θύραν ἀκροάσεως καὶ ἀπολογίας, μὴ παρόντα καταδικάσας, μὴ ἀπολογησάμενον αἰτιασάμενος· ἀλλὰ τοῦ Εὐαγγελίου ἀκούεις ἐν οἷς δικαίους καὶ ἁμαρτωλοὺς παράγει πρὸς κρίσιν καὶ τοὺς μὲν καλουμένους εἰς βασιλείαν, τοὺς δὲ ἀποπεμπομένους εἰς κόλασιν. διατί; ὅτι ἐκεῖνοι μὲν ἐποίησαν τὰ καὶ τὰ ἀγαθὰ εἰς τοὺς ἐλαχίστους ἀδελφοὺς τοῦ κριτοῦ, οἱ δὲ ἀφιλανθρώπως πρὸς αὐτοὺς

B²= Cod. Barrocianus 121, s. XIII non XIV (H. Coxe, Catal. cod. MSS bibl. Bodl. Pars I. Oxonii 1853, σ. 223, ἀριθ. θ').

P=Petridès (Изв. Русск. Археол. Инст. въ К/полѣ. Софія 1909, σ. 19—13).

10/12 Ψαλμ. οζ', 17—18. 25 Εὐαγγελίου] πρβλ. Ματθ. κε' 31—46

14 συνοθήσεως B². 15 μὴ μόνον μὴ B². 17καταδικάτω B. 23 ἐπέκλεισας] ἀπέκλεισας B².

διετέθησαν· ἀλλ' ἀπολογοῦνται τὰ μέρη, ἀλλ' ἀντακούουσι παρὰ τοῦ κριτοῦ, ἀλλὰ πάλιν ἀπολογοῦνται καὶ αὖθις ἀκούουσι καὶ τελευταῖον μετὰ τοὺς λόγους, μετὰ τὰς ἀπολογίας, μετὰ τὴν δίκην εἰς τὸν ἁρμόζοντα τόπον πρὸς τοῦ κριτοῦ ἀποπέμπονται. ὁ θεὸς δὲ οὐ καρδιογνώστης; οὐκ οἶδε τὰ πάντα καὶ πρὸ γενέσεως αὐτῶν; οὐ κατοικεῖ ἐν ὑψηλοῖς καὶ τὰ ταπεινὰ ἐφορᾷ καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει; ἀλλὰ τί φησιν ἡ Γραφή; " κραυγὴ Σοδόμων καὶ Γομόρρας βοᾷ πρός με. καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ ". καίτοι ἐγίνωσκεν ὁ θεός, ὡς οἱ ἐν Σοδόμοις ἄνθρωποι πονηροὶ καὶ ἁμαρτωλοὶ σφόδρα, ἀλλὰ προσποιεῖται τὴν ἄγνοιαν καὶ καταβαίνει πρὸς Σόδομα διδάσκων ἡμᾶς μὴ κα⟨ταδικάζειν πρὸ δίκης. καὶ⟩ ἀλλαχοῦ ἐπὶ θρόνου καθίζει αὐτὸν ἡ Γραφὴ καὶ κρίνοντα δικαιοσύνην παράγει || καὶ μὴ λαμβάνοντα πρόσωπον ἐνιαχοῦ αὐτὸν παριστᾷ. καὶ σὺ τοίνυν ἐπὶ θρόνου καθίσας τῆς ἐξουσίας μιμοῦ τὸν καθίσαντα καὶ μὴ ἀποφαίνου πρὸ κρίσεως καὶ πρὸ δίκης μὴ καταδίκαζε· ὡς γὰρ κρίνομεν, οὕτω καὶ κριθησόμεθα καὶ ὡς λαλοῦμεν καὶ ἡμῖν λαληθήσεται. ταῦτα καὶ ἐν ὀλίγῳ περὶ δίκης, περὶ ἀποφάσεως, περὶ διαγνώσεως, περὶ καταδίκης καὶ εἶχον παραγαγεῖν, ὅσα κόρον ἐνεποίησαν ἀκοαῖς, εἰ μακρολογεῖν ἤθελον καὶ διδάξαι βαρύ, εἰ καὶ τοῦτο βαρύ, ὡς λαβοῦσαν τύπον θεοῦ, θεοῦ δὲ μόνου τὸ κρίνειν, πρῶτον κρίνειν ὡς ὁ θεός, εἶτα καταδικάζειν, καὶ μὴ ὅτι ἐξουσία ἐστὶ λέγειν ἃ θέλει, καὶ βεβαιοῦν ὅσα βούλεται, καὶ δικαιοῦν οὓς θέλει καὶ οὓς αἱρεῖται καταδικάζειν. ἀλλ' ἐγὼ μὲν καὶ τὰς γραφὰς παραφυλάττω τῆς σῆς ἀντιλήψεως καὶ ἀπολογίαν πρὸς ἕκαστον τῶν αἰτιαμάτων ἀποδώσω τὴν πρέπουσαν· σὺ δὲ ὁ ἱλαρὸς καὶ μειλίχιος παραφύλασσέ μοι ὠτίον ἓν εἰς ἀκρόασιν· νῦν γὰρ οὐκ ἔκρινα δίκαιον ἀπολογήσασθαί σοι διὰ γραμμάτων καὶ περὶ τῶν δεομένων ἐγκλημάτων ζώσης φωνῆς νεκρὰν διὰ γραφῆς ἀπολογίαν ποιήσασθαι. πλήν, εἰ κελεύεις, γενέσθω μέσον ἀμφοτέρων συνθήκη. τί ἔσται τῇ ἐξουσίᾳ κἀμοί, εἰ μετὰ τὰς ἀπολογίας, μετὰ τοὺς λόγους ἢ τὴν μέλαιναν ἢ τὴν νικῶσαν ἀποίσομαι καὶ ἀνάπαλιν; δεδόσθω, ὅτι πταίστης εἰμί· καὶ τίς οἶδεν ἢ ἤκουσεν ἄλλον μαστιγοῦσθαι, πταίσαντος ἄλλου, καὶ τιμωρεῖσθαι τοῦτον, πε-

4 καρδιογνώστης] πρβλ. Πράξ. α', 24. ιε', 8. 4/5 οἶδε — γενέσεως αὐτῶν] Δανιὴλ Th. Su. 35. 5/6 κατοικεῖ — γινώσκει] Ψαλ. ριβ', 5. ρλζ', 6. 6/7 Γραφὴ] Γεν. ιη', 20—21. 8 αὐτῶν] αὐτὴν B². 11 κα⟨ταδικάζειν — καὶ⟩] συμπλήρ. ἐφθαρμένου τόπου P. 11/12 ἐπὶ θρόνου—δικαιοσύνην] πρβλ Ψαλμ. θ', 5. 12/13 μὴ λαμβάνοντα — παριστᾷ] πρβλ. Ἔσθρ. 1, δ', 39 15/16 ὡς γὰρ κρίνομεν — λαληθήσεται] πρβλ. Ματθ. ζ', Λουκ ς', 37. Παρ. κβ', 23.

26 γομόρας B.

παρῳνηκότος ἑτέρου; καὶ ἀποδέχομαι τοῦτον τὸν νόμον, ὅτι ἁμαρτήσαντός μου ἐντεῦθεν ἐκεῖθεν ἄλλος βασανισθήσεται. δίκαιον δέ, ὡς εἴπερ ἐγώ σοι τῷ κυρίῳ ἡμάρτηκα, ἐγὼ κολάζεσθαι ἄξιος, οἱ δ' ὑπὸ τὴν ἐκκλησίαν πένητες διατί; οὓς ἐκτριβῆναι ἐκέλευσας καὶ ἄλλως ὄντας ἐκτετριμμένους ἐκ τῆς ἐνδείας τῶν ζωαρκῶν, ἣν τῶν πέρισυ γεωργημάτων ἡ σπάνις καὶ ἡ τοῦ φοσάτου διέλευσις τοῖς ταπεινοῖς προεξένησαν. καὶ μαρτύρομαί σοι τὴν ἔφορον δίκην, ὡς ἄχρις ὀγδοήκοντα καὶ ἑκατὸν ὑπερπύρων ἡ πᾶσα τῆς ἐκκλησίας ἐστὶν ἀπαίτησις καὶ οἱ τελεσταὶ τῶν τοσούτων πόθεν καταβαλοῦνται χιλιάδα χρυσοῦ; ἐμῷ δὲ λόγῳ παράγω θεόν, ὡς οὐδέποτε εἶδον ὅλην χιλιάδα χρυσοῦ σεσωρευμένην ἐν τόπῳ ἢ εἰς τραπεζίτην ἢ εἰς βαθύπλουτον, καὶ ἂν θέλῃς πιστεύειν τοῖς παρὰ τοῦ σοῦ ἀδελφοῦ καὶ λεγομένοις καὶ γραφομένοις, ἀκόνα σπάθην καὶ καρατόμει, ἀντιδίκου δὲ λόγοις, εἴπω δὲ καὶ ἐπιθέτου βαρέος καὶ λαλοῦντος πρὸς ἀδελφὸν ὑστερότοκον καὶ τῷ πρωτογόνῳ μεγαλαυχοῦντος καὶ αὐτονομοῦντος εἰς ἅπαντα, ὅτι πρῶτος, ὅτι ἀδελφός, ὅτι ἐξουσιαστὴς καὶ ὡς δυστήνων ἄρχει ἡμῶν. καὶ τοῖς τούτου βούλει πιστεύειν; καὶ εἰ ταῦτα παρατηρεῖς, οὐκ οἶδα τίς ὑποστήσεται· καὶ τὸ θάλπον ἡμᾶς, ὅτι ὁ Δούκας καὶ πρᾶος καὶ μισοπόνηρος. ἀλλ' ὃ ἔλεγον, ἴσθω ἡ σὴ ἐξουσία, ὡς παροργίζεις θεὸν καὶ τὴν τεκοῦσαν αὐτὸν παροξύνεις καταλύων ἐν ἀκαρεῖ, ἃ χρόνος μακρὸς καὶ βασιλέων εὐσέβεια συνεστήσατο. καὶ ταύτας ἀποδίδως χάριτας τῷ μεγαλύναντί σε θεῷ, τὴν κατάλυσιν τῶν ἀνακειμένων αὐτῷ; κελεύεις δὲ ταῦτα, ἵνα ἡμᾶς πτωχεύσῃς; ἀλλ' ἡμεῖς καὶ ἄρτον φαγόμεθα καὶ ἱμάτιον περιβαλλόμεθα καὶ μητροπολῖται ἀκούσομεν, εἰ καὶ μὴ πράγματι τέως ὀνόματι ἀληθείας ἐρήμῳ· οἱ δὲ ἀναστεναγμοὶ τῶν πενήτων, αἱ δὲ βάσανοι τούτων, ἡ βαρεῖα λεηλασία, ὁ ἄντικρυς διωγμός, ὁ ὀλοφυρμός, ἡ στενοχωρία, ἡ ἀκόλουθος γυμνητεία, ἡ ἀπεμπόλησις τῶν προσόντων, ἡ ἄδικος ἀπαίτησις καὶ ἀνάφορμος ὑπολαμβάνεις, ὡς οὐκ ἀναβήσεται πρὸς θεὸν μετὰ τῶν ἡμετέρων δακρύων; οὐκ ἔσται θάνατος; οὐκ ἔσται κρίσις; οὐκ ἔσται τῶν πραττομένων ἀπόδοσις; οὐ γέγραπται παρὰ τῇ Σοφίᾳ Σολομῶντος, ὡς τότε στήσεται ὁ ἀδικηθεὶς ἐνώπιον τοῦ ἀδικήσαντος αὐτόν; δέομαί σου, ὦ αὐθέντα ἡμέτερε, ὦ ἐν κυρίῳ υἱέ (ἄμφω γὰρ εἶς, τὸ μὲν διὰ τὴν ἀπὸ θεοῦ ἐξουσίαν, τὸ δὲ ὡς ἐπισκόπων ὄντων ἡμῶν), ἄφες τὴν πρᾶξιν ταύτην, δὸς θεῷ χάριν, ἵνα λάβῃς ἀντίχαριν ζωὴν μακράν, κατ' ἐχθρῶν νίκην. ἀπέστωσαν τοῦ σοῦ γαζοφυλακίου αἱ ἐκ τῶν

1 καὶ] κατὰ B², οὐκ P. 29 Σολομῶντος] Σοφ. ε', 1.

1 πεπαρωνικότος B² 13 τῷ] τῇ B² || βαρέως B².

ἐκκλησιῶν τοιαῦται προσαγωγαί· εἰ γὰρ ἐπίσκοπος τὰ τῆς ἐκκλησίας διδοὺς ἢ συγγενέσι μὴ δεομένοις ἢ ἐξουσίαις ἀδίκοις ἱεροσυλεῖ (οἱ κανόνες λέγουσιν, οὐκ ἐγώ· πτωχικὰ γὰρ τὰ τῶν ἐκκλησιῶν ὀνομάζονται), πόσον ἔσται κατάκριμα τῷ βιαίως ταῦτα καὶ ἀδίκως ἀφαιρουμένῳ; πολλάκις με εἰς ταύτην τὴν ἁμαρτίαν ἡ σὴ ἀγάπη συνήλασε καὶ κατεβαλόμην πολλάκις καὶ χρυσὸν καὶ ὑφάσματα καὶ τὸ ποσὸν τῶν καταβληθέντων εἰς τρεῖς καὶ τεσσαράκοντα καὶ τριακοσίους χρυσοῦς περιΐσταται, μετὰ δὲ τῶν ἀλόγων, ὧν ἀφείλου καὶ ἃ διεφώνησαν ἐν τῇ πρὸ μικροῦ προνομῇ ἐλαυνόμενα διὰ τὸ τῆς ὁδοῦ ἐπιτεταμένον, διὰ τὸ τῶν ποδῶν αὐτῶν ἀστεγάνωτον καὶ εἰς πεντακοσίους ἀναβιβάζεται, κἂν οὐκ ὀκνεῖτε γράφειν ὑμεῖς, ὡς οὐδὲν εἰλήφατε παρ' ἡμῶν, ἀφ' οὗ τῆς ἐξουσίας ἐπέβητε. βρωμάτων δὲ καὶ πομάτων καὶ διαφόρων ζῴων προαγωγάς; τοιούτων ἔσομαι ἄξιος, εἰ ταύτας ἄρτι ἀπαριθμήσομαι καὶ πάλιν διὰ σὲ ἱεροσυλήσω, κἀγὼ μὲν ἱερόσυλος, ἡ ἐξουσία δὲ ἱεροδέκτης ὀνομαθήσεται, ὃ καμὲ φεύγειν ἔδει καὶ ταύτην συμφεύγειν. τὸ γὰρ πῦρ καίει κἂν τις τῇ φλογὶ πλησιάζῃ, κἂν ἅπτηται τῶν ἀνθράκων· ἀλλ' οὕτως ἐσμὲν τοῦ θέλειν οἱ ἄνθρωποι, ὡς καὶ δοκεῖν τὴν φύσιν ἀλλάξασθαι, ἂν ἐξουσίας ἐπιλαβώμεθα. θείων δὲ πραγμάτων διαστολὴν καὶ ἀνθρωπίνων αὐτίκα οὐκ οἴδαμεν. ὁ μὲν οὖν κανὼν τοῖς ἐπισκόποις δίδωσιν ἐξουσίαν μετὰ κυρείας τὰ τῆς ἐκκλησίας οἰκονομεῖν ὡς ἐφορῶντος θεοῦ· ἡμεῖς δὲ φάγους ἡμᾶς ἀποκαλεῖτε καὶ οἰνοπότας καὶ ἀναλωτὰς οὐκ εἰς τὸ δέον καὶ τὸ ὅλον θησαυριστάς· καὶ ἄνω ποταμῶν χωροῦσι πηγαὶ καὶ κρίνουσι τὰ πρόβατα τοὺς ποιμένας καὶ τοὺς ἡγουμένους εὐθύνουσι, δέον αὐτοῖς πείθεσθαι, ἵνα μὴ τούτων καταστενάξωσιν, ἀλλὰ μετὰ χαρᾶς αὐτῶν ὑπερεύχωνται, Παῦλος εἶπε καὶ ὑμεῖς οὐκ ἀκούετε ὁ Πρόδρομος δέ παρα κελεύεται δειασεισμοῦ καὶ συκοφαντίας ἀπέχειν καὶ τοῖς ἰδίοις ὀψωνίοις ἀρκεῖσθαι. στρατιώταις ἢ ἐπισκόποις; καὶ ἔδει καὶ ὑμᾶς ἀκούειν τῆς πρὸς ἡμᾶς προφητικῆς ὑποθήκης καὶ τοὺς ἐπισκόπους ἡμᾶς ταῖς ἐξουσίαις ταύτην ἀναφωνεῖν, κἂν δυσκωφῶσι πρὸς ταύτην, κἂν βαρέως ἀκούωσιν. ἀλλ' ἡ τάξις ἀντέστραπται καὶ κρινόμεθα καὶ λογιστευόμεθα καὶ κατακρινόμεθα καὶ τῶν ἱερῶν καὶ τῶν πτωχικῶν κειμένων εἰς προνομὴν διὰ βραχὺν ἄρτον βοῦν ἐπὶ γλώττης· ἐπίσκοποι φέρομεν. θέλεις ἀκοῦσαι τὸ πᾶν; αἰσθητήριά μου μαιμάσσει ὁρῶντος τοὺς ὑπὸ τὴν Ἐκκλησίαν πτωχοὺς φεύγοντας, τιμωρουμένους, λεηλατουμένους διὰ χρυσόν. εἰ μὲν οὖν ἀκούσεις μου τῆς φωνῆς καὶ στήσεις τὴν συμφοράν, ἔσται σοι πρὸς τῶν πενήτων καὶ πρὸς ἡμᾶς χιλιὰς εἰς εὐχαριστίαν τριακεφάλων

3 πτωχικὰ — ὀνομάζονται] ἴδε Ζωναρᾶ καὶ Βαλσαμῶνος ἑρμηνείαν νθ' ἀποστολικοῦ κανόνος ἐν τῷ Συντάγμ. τῶν θείων κανόνων ὑπὸ Ῥάλλη-Ποτλῆ, τ. 2, σ. 76—77.

πρωτυμωμένων· εἰ δ' οὐκ ἀκούσεις, τὸ μὲν ἐμὸν σιοπῶ, δέδοικα δὲ μήπως ὁ τῶν ἐκδικήσεων παρρησιάσεται κύριος, ὃς οὐκ ἐπιλανθάνεται τῶν πενήτων, ἀλλ' ἀνίσταται καὶ τὴν χεῖρα ὑψοῖ κατὰ τῶν ἀδικούντων τοὺς πένητας· ὁ δ' αὐτὸς ἕνεκα τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσεται, λέγει διὰ Δαυίδ, καὶ οὐ κατὰ ταύτην τὴν ἡμέραν καὶ αὖθις μετὰ καιροῦ παρολκήν, ἀλλὰ νῦν, ὡς τοῦ νῦν τὸν πάντα καιρὸν σημαίνοντος καὶ ὁρίζοντος· ἀρκεῖ ταῦτα ἀνδρὶ γὰρ φρονίμῳ καὶ ὀλίγος λόγος ἀρκέσει.

4.

(*Πρᾶξις συνοδικὴ περὶ τῆς τοῦ δεσπότου Θεοδώρου εἰς βασιλέα ἀναγορεύσεως*).

Παῦλος ὁ θεῖος ἀπόστολος περὶ τῆς εἰς Χριστὸν διαλεγόμενος πίστεως B 58a
"καρδίᾳ" μὲν "φησι πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν". τοῦτο τὸ ἀποστολικὸν οἰκειούμενοι καὶ ἡμεῖς οἱ κατὰ μοῖραν ταύτην τὴν δυτικὴν ἐπίσκοποι πάντες, ὅσοι θρόνων ὑψηλοτέρων καὶ ταπεινοτέρων ὑπάρχομεν πρόεδροι, ὅπερ ἐπιστεύσαμεν εἰς δικαιοσύνην καρδίας τὴν ἀναγόρευσιν δηλαδὴ καὶ στεμματοφορίαν καὶ χρῖσιν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως κῦρ Θεοδώρου τοῦ Δούκα, τοῦτο καὶ στόματι ὁμολογοῦμεν καὶ χειρὶ γράφομεν· αὐτὸς γὰρ ἐγένετο ῥύστης μετὰ θεὸν καὶ σωτὴρ ἡμέτερος καὶ αὐτοτελὴς σωτηρία, πολλοὺς μὲν πόνους ὑπομείνας ἕνεκα τῶν ἐνταῦθα χριστιανῶν, πολλοὺς δὲ ἱδρῶτας κενώσας ὑπὲρ ἡμῶν καὶ (τὸ τοῦ ποιητοῦ ἐγκαίρως εἰπεῖν)· "νύκτας ἀΰπνους ἰαύων" καὶ "ἤματα" διαμετρῶν "αἱματόεντα" ἐκ τῶν πολεμικῶν ἀγώνων καὶ συμπλοκῶν ὑπὲρ ἀφανισμοῦ μὲν τελείου τῶν καταπολεμησάντων ἡμᾶς ἀθέων Λατίνων, ἔτι δὲ καὶ τῶν ἐκ τοῦ Αἵμου Σκυθῶν· Ζυγὸν αὐτὸν ἡ κοινὴ συνήθεια ὀνομάζει. ἐκ τούτων τῶν κόπων, ἐκ τούτων τῶν ἱδρώτων, ἐκ τούτων τῶν ἀγώνων καὶ ἐκ τοῦ πάντα τὰ καθ' ἡμᾶς μέρη ταῦτα τὰ δυτικὰ ἱδρῶσιν ἀμέτροις καὶ πόνων ὑπερβολαῖς ἁπαξάπαντα αἰχμαλωτισθέντα τε καὶ ἀφανισθέντα εἰς τὴν ἀρχαίαν χριστιανικὴν ἀποκαταστήσας διαγωγὴν καὶ κατάστασιν καὶ πολλοὺς μὲν καὶ δυσαρίθμους ἀνακαθάρας ὄχλους Λατινικούς τε καὶ Σκυθικούς, πολλὰ δὲ ἐπισκοπεῖα θεοῦ καὶ ἱερὰ μοναστήρια τῆς Λατινικῆς καὶ Σκυθικῆς λυτρωσάμενος μιαρίας, ἐν τούτοις μὲν τοὺς φυγάδας τοῦ

4 Ἡ πρᾶξις ἐν τῷ κώδικι ἀνεπίγραφος.
9 Παῦλος] Ῥωμ. ι', 10. **19** ποιητοῦ] Ἰλ. Ι 325—6. 27 ὄχλους] ὄχθους B.
23 ἀποκατέστησεν] ἀπεκατέστησεν **B.**

κυρίου ἀρχιερεῖς ἐμπρέπειν ταῖς σφετέραις ἐπισκοπαῖς ᾠκονόμησεν, ἐν τούτοις δὲ τοὺς ἡγουμένους αὖθις ἀπεκατέστησεν, ὡς καὶ τούτους κἀκείνους τῶν οἰκείων προβάτων αὖθις ἀγελαρχεῖν. τὸ δὲ μεῖζον εἰπεῖν καὶ ὃ παρὰ παντὸς ὡμολόγηται στόματος, ὡς διαφόρων βασιλέων ἀπόγονος καὶ εἰς τὴν βασιλικὴν ἀναγωγὴν δικαιούμενος, ὡς στρατιώτης ἔμπυρος, ὡς ἄγρυπνος φύλαξ τὴν τῆς βασιλείας ἀντιμισθίαν ἀντέλαβεν ἐπισκοπικαῖς ὁμολογίαις καὶ λοιπῶν ἱερέων καὶ μοναχῶν καὶ στρατιωτῶν ἐπικρίσεσι καὶ πάντων τῶν ἐνταῦθα χριστιανῶν. καὶ εἰς τὸ τῆς βασιλείας οὕτως ἀναβεβήκει ἀξίωμα, καὶ τοῦτον μόνον βασιλέα ὁμολογοῦμεν καὶ τοῦτον στέφομεν καὶ τοῦτον χρίομεν καὶ τὰ πιστευθέντα παρ' ἡμῶν καὶ ὁμολογηθέντα εἰς δικαιοσύνην, εἰς σωτηρίαν καὶ ταῖς οἰκείαις ὑπογραφαῖς βεβαιούμεθα. μηνί.

5.

B 7β

Πρὸς τὸν κραταιὸν Κομνηνόν.

+ Ἄγλωσσος ὁ γραμματοφόρος, κράτιστε Κομνηνέ, καὶ οὐκ ἄγλωσσος τὴν ἑλληνίδα λεκτικὴν καὶ τὸ ὄργανον· γλῶσσαν δὲ καλοῦμεν καὶ τὴν διάλεκτον καὶ τοῦτο ἐκ τῆς Γραφῆς· "ἐλάλουν" γάρ φησιν ἑτέραις "γλώσσαις" τὰ μεγάλα τοῦ θεοῦ "καὶ προεφήτευον" οἱ ἀπόστολοι. χρῶμαι γοῦν τῷ ἀνδρὶ ὁπόσα καὶ ταῖς περιστεραῖς οἱ κατ' Αἴγυπτον καὶ τῇ τούτου χειρὶ καθὰ κἀκεῖνοι τοῖς τῶν ὀρνέων ποσὶ τὸ γράμμα τοῦτο δεσμήσας τῷ κράτει σου πέπομφα καὶ ἐπεύχομαί σοι πᾶν ἀγαθὸν ἀπὸ θεοῦ καὶ σωτήριον. ἵνα μὴ κατὰ μέρος τὰ πάντα μακρολογῶ, ἀλλὰ συνεσπειραμένως ἐρῶ καὶ κατὰ βραχυλογίαν λακωνικήν, χαῖρε γοῦν, κοινὸν ἀγαθόν, σῶτερ ἡμῶν ἁπάντων, ἦθος ἐλεύθερον, ὄμμα γλυκύ, γλῶσσα γλυκυτέρα καὶ μέλιτος. ταῦτά σοι ὁ κλινήρης γέρων ἐγώ, ὁ φθονηθεὶς ἀδίκως παρὰ τοῦ σοῦ ἀδελφοῦ καὶ μυρία πρὸς αὐτοῦ ἀκούων κακά, αἰσχύνομαι δὲ διὰ τὸ αὐτοῦ εὐγενὲς εἰπεῖν καὶ ψευδῆ, καθὰ δήπου καὶ ἐπὶ τῇ τοῦ Γοριανίτου ὑποθέσει, ὥς γε στοχάζομαι. ὅτε ἀρρωστίαις περιπεσών, αἷς καὶ προκατειχόμην, καὶ ὑπ' αὐτῶν σφιγχθεὶς κραταιότερον ὑπὸ χεῖρας ἔπεσον ἰατροῦ καὶ ἔπινον τοῦντο δὴ τὸ τοῦ ποιητοῦ τὰ φάρμακα ἐπασσύτερα καὶ τὴν τούτου ἀπαλλαγὴν ἡ ἑτέρου πόσις προέφθανεν καὶ εἰς ἐξιτηλίαν ἦλθον ἐσχάτην ταῖς πυκναῖς κενώσεσιν ἐξατονηθείς, ἠγγέλθη [δε] μοι, ὡς ὁ δούκας κῦρις Κωνσταντῖνος τὸν Ἀχελῷον κατα-

11 μηνος τε ὄνομα καὶ κόσμου ἀπὸ κτίσεως ἔτος ἰνδικτιῶνός τε ἀριθμὸς καὶ ἀρχιερέων ὑπογραφαὶ παρελείφθησαν τῷ καλλιγράφῳ Ἰσαάκ. 14 Γραφῆς] Ἡράξ. ιθ', 6. 24 Γοριανίτου] γοριανήτου B. 25 ὅτε] ὅτι B. 28 ἐξιτηλίαν] ἐξιτιλῖαν B 29 [δὲ]] ὀβελιστέον.

λαμβάνει σείων ὄρη, βουνοὺς ἐξιστῶν, λαὸν δειματῶν, σαλεύων τὰ παρακείμενα καὶ τῇ παρουσίᾳ μόνῃ τὰ πάντα στενοχωρῶν. ἀλλὰ τέσσαρές που καὶ πλείονες παρῆλθον ἡμέραι καὶ ὁ μὲν ἔκρινεν, ὁ δὲ Γοριανίτης ἐκρίνετο καί ποτε περὶ δείλην ἀνήρ τις τὴν ἐμὴν προαύλειον ἔκοψεν· ἕκτη δὲ ἦν ἡμέρα καὶ ὁ κόψας τὴν θύραν γραμματοφόρος ἦν τοῦ σοῦ ἀδελφοῦ προκαλουμένου με εἰς τὴν δίκην. ἐμὲ δὲ ἀμίδες εἶχον αὐτίκα καὶ ὑπογάστριοι σκίμποδες καὶ ἡ γαστὴρ ἐκένου καὶ τὸ δυναμοῦν ἐλελοίπει καὶ παρῃτησάμην τὸν σὸν ἀδελφὸν μετεωρίσαι τὴν δίκην ἐπὶ ἡμέρας, ὥς μοι ἀμπνυνθείη τὸ μένος καὶ πρὸς ἐπίβασιν ἵππου δυναμικώτερος ἔσομαι. καὶ ἐποίησεν οὕτως καὶ ἀπῆλθε πρὸς τὰ οἰκεῖα μερίσας μὲν ἐμοὶ ἀνάπαυσιν, τῷ Γοριανίτῃ τὴν τῶν ἀνὰ χεῖρας φροντίδα, ἑαυτῷ δὲ τὴν τῶν ἰδίων τημέλειαν, δι' ἣν τὸ πᾶν παρεκρούσατο. ἡμέραι παρῆλθον καὶ ὁ μὲν Γοριανίτης τῇ σῇ προσέδραμεν ἐξουσίᾳ, ὁ δὲ ἐπανῆκε τὸν μὴ παρόντα κρινούμενος καὶ συνεστήσατο — — — —

6.

Πρὸς τὴν κραταιὰν Δούκαιναν. B 8β

Πολλῶν ἀπολαύσας ἀπὸ σοῦ χαρίτων, ἁγία καὶ κραταιὰ κυρία μου Δούκαινα, διαθέσεως, ἀντιλήψεως, λόγων ἐλευθέρων, ἀσπασμῶν χαριέντων, τῶν ἄλλων ἁπάντων, ὅσα κοσμεῖ τὴν σὴν εὐγενεστάτην ψυχήν, τοῦτο λογίζομαι τῶν ἀγαθῶν τὸ κεφάλαιον, τὸ διαπέμπεσθαί μοι τὰ χαροπὰ καὶ κοινωφελῆ κατορθώματα τοῦ μεγαλουργοῦ καὶ κραταιοῦ Κομνηνοῦ ἐκ γῆς μακρὰν παρὰ τῆς σῆς ὑψηλότητος. ἕτερον εὐεργέτημα τὸ ἰδικῶς καὶ μονοπροσώπως ‖ διαπορθμεύεσθαί μοι ταυτὶ καὶ μὴ κατὰ κοινὴν ἀκοήν· ἄλλο πρὸς τούτοις τὸ μὴ μόνην καθ' ἑαυτὴν ἰδιοῦσθαί σε τὰ τοῦ κοινοῦ εὐεργέτου τροπαιουχήματα, ἀλλὰ καὶ τοῖς φίλοις κατὰ μετάδοσιν αὐτῶν κοινωνεῖν, ὡς εἴ τις μεγάλῳ περιτυχὼν θησαυρῷ οὐχ ἑαυτὸν μόνον ἐκ τούτου ὀλβίσει, ἀλλὰ καὶ τοὺς ἀγαπωμένους πλουτίσει ἐκ διαδόσεως. τὸ δὲ πᾶν εἰπεῖν, ὥσπερ οὐ θέλεις μόνη καὶ ζῆν καὶ ἐνδύεσθαι, ἀλλὰ τὴν χεῖρα ἔχεις ἐπὶ πολλοῖς δεομένοις ὑπηρετοῦσαν τῇ προαιρέσει, οὕτως οὐδ' ἐν ταῖς καινοτερπέσιν ἀκούσμασιν ἀνέχῃ μόνη καὶ ἀκοὴν ἡδύνεσθαι καὶ ψυχήν, ἀλλὰ καὶ τοὺς πρὸς οὓς εὐνοϊκῶς ἔχεις κατὰ λογικὴν μετάδοσιν ἀγαθύνεις. καὶ τὰ μὲν ἀπὸ σοῦ πρὸς ἡμᾶς B 324β B² 325α

6 ἐμὲ] ἐμὴ B. 8 μετεωρίσαι] μετεωρῆσαι B. 10 συνεστήσατο] ὧδε διασπᾶται ὁ λόγος, φύλλου ἐκροέντος πρὸ τοῦ νῦν 8-ου. 27 καινοτερπέσι] B, κοινοτερπέσιν B Bac.

ταῦτα καὶ οὕτως ἔχοντα, ἡμεῖς δὲ τί σοι περὶ πάντων ἀνταποδώσωμεν ἢ τὰς πρὸς θεὸν ἱκεσίας, ὡς ἔχεις ἡ καθαρὰ σελήνη καὶ φωταυγὴς ἐς χρόνους συλλάμποντά σοι μακροὺς τὸν ἥλιον Κομνηνόν, οὗ καὶ ἔργα καὶ ὁμιλία καὶ πρόσωπον τηλαυγῆ πάντα καὶ σελασφόρα τυγχάνουσι; καὶ ἐπαιανίσαμεν κατὰ τὸ εἰκὸς καὶ ἐκροτήσαμεν χεῖρας καὶ τῷ θεῷ ἀνθωμολογησάμεθα τὰ εὐχάριστα, τὸ δὲ παρὸν τοῦ μεγαλουργοῦ Κομνηνοῦ, ὃν εἰς ἥλιον ὁ λόγος ἐτροπολόγησε, λάμποντος εἰς τὰ πρὸς ἡμᾶς ἀνωτερικὰ καὶ φλέγοντος μὲν τοὺς φρυγανώδεις καὶ ὑβριστὰς Ἰταλοὺς καὶ θεοῦ καὶ τῆς πίστεως, φωτίζοντος δὲ τοὺς ἀδελφοὺς ἡμᾶς αὐτοῦ καὶ συγγενεῖς κατὰ σάρκα (ταῦτα δὴ τὰ τοῦ ἀπο-
B 9α στόλου), ὑπὲρ ὧν καὶ προκινδυνεύει καὶ πᾶσαν ὑπομένει ‖ δυσχέρειαν, φόβος ἐνταῦθα, μὴ νέφος βαρβαρικόν ποθεν ἐπελθὸν ζοφώσῃ τὰ καθ' ἡμᾶς ἢ ἀγλὺς ἐκ θαλάσσης ὁμοία παχεῖα καὶ δυσδιάλυτος καὶ τοιούτου φωτοφανοῦς ἡλίου δεομένη πρὸς σκεδασμόν· ἀκούομεν γὰρ ὡς ὁ Μάσος συνελθὼν τῷ Ἐφραΐμ καὶ παχυνθεὶς ὑπ' αὐτοῦ, τὸ δὲ προσθεὶς καὶ ἀφ' ἑαυτοῦ σύνθημα καὶ σκαιώρημα μετὰ τειχομαχικῶν ὀργάνων κατὰ τῶν ἐν ἡμῖν παραλίων κάστρων συνέθετο, καθά ποτε καὶ ὁ γραφικὸς ἐκεῖνος Ἐφραΐμ καὶ ὁ τοῦ Ῥομελίου υἱὸς κατὰ τῆς παλαιᾶς Ἱερουσαλὴμ συνεσκέψατό τε καὶ συνετέλεσαν. ἐντεῦθεν τὰ μὲν παρ' ἡμῖν ἀτείχιστα πάντα, ὅσα τὰς αἰγιαλίους ἀκτὰς στεφανοῖ καὶ τὰ τούτων ἀνώτερα, νυκτὸς μὲν ἀναρριχῶνται σὺν ὑπάρξει πάσῃ πρὸς τὰ πεδία κατολισθαίνουσι καὶ μιμοῦνται δρόμον μυρμήκων ἀγεληδὸν ἀλλήλοις ὑπαντῶντες καὶ ὑπαντώμενοι, ὁ θερισμὸς δὲ πολὺς μέν, οἱ δ' ἐργάται ὀλίγοι· ἄγροικοι γὰρ ὄντες καὶ ἄοπλοι, ἔνιοι δὲ τούτων τῷ ἄρρενι ἀντιδιαιρούμενοι (ὁποῖας γυναῖκας ἔργων ἀνδρικῶν τελεσιουργοὺς καὶ χειρεργάτιδας πάσας ἡ καθ' ἡμᾶς χώρα τρέφει) καὶ καθ' ὥραν ἐλπίζοντες τὴν ἐπέλευσιν ἄλλῃ σκορπίζονται. αἱ πόλεις δὲ τοῖς τείχεσι μὲν θαρροῦσιν, οὖσαι δὲ κένανδροι τὸν περὶ ψυχῆς φόβον ἔχουσιν· οὐδὲ γὰρ οὐδ' εἰ Σεμιράμεια τείχη περιεῖχον αὐτάς, ὅπλων δὲ ἑστέροντο καὶ ἀνδρῶν, τὸ μὴ ἁλώσεσθαι ἔφυγον. καὶ μή μοι λέγε, ὡς ἔστιν ἐνταῦθα ὁ σὸς ἀνδράδελφος καὶ ἡ ὑπ' αὐτὸν στρα-

1 περὶ] B, ὑπὲρ Bac. ‖ ἀνταποδώσωμεν] B ἀνταποδώσομεν B² Bac. 2 ἐς] B εἰς B² Bac. 3 ἔργα] B² Bac. B³ ἔρμα 5 ἀνθωμολογησάμεθα] B, ἀνθωμολογησόμεθα B². 7 λάμποντος] B, λάμποντα B². 8 τῆς] λείπει τῷ B². 9 ἀποστόλου] πρβλ. Ῥωμ. θ', 3. 11 ποθεν] BB² ποθὲν | ζοφώσει η B. 13 σκεδασμὸν] B² Βασιλ., κεδασμὸν B. 16 Ἐφραΐμ — Ῥομελίου υἱὸς] πρβλ. Βασ. 4, ις', 5. Παραλ. 2, κη', 6. Ἡσ. ζ', 1—2 ‖ Ἐφραΐμ] ἐφραὶμ BB². 24 ἐλπίζοντες] ἐλπίζοντας B². 26 Σεμιράμεια τείχη] ἴδε Σουΐδαν ἐν λ. 28 ἡ] τοῦτο ἐλλ. τῷ B προέθηκα πρότερον εἰκαστικῶς (Βυζ. Χρον., τ. 11, 6), ὃ καὶ ἔχει B².

20 κατολυσθαίνουσι B². 21 οἱ δὲ BB². 22 ἀγροῖκοι BB². 25 πόλοις B². 26 σεράμια B. 27 ἁλῶσθαι B².

τιά· καὶ οὗτος γὰρ ἢ ἐκὼν ἢ κατὰ σκῆψιν πρὸς τοὺς περὶ τὴν Νέαν Πάτραν ἀνῆλθε βουνούς, ὀφθαλμοῖς καὶ μόνοις τὴν πόλιν ταύτην ἐπερχόμενος καὶ τούτοις ἐλπίζων τὸ φρούριον λήψεσθαι, καὶ τὰ πλησίον παραδραμὼν τὰ μακρὰν διώκει, καὶ ἀπολύσας τὰ ἐν χερσὶ τὰ ἄγρια ἢ ἐν οἷς κατοικοῦσιν ἄγριοι θῆρες, οἱ Ἰταλοί, ὡς νεοσσιὰν καραδοκεῖ καταλήψεσθαι. καὶ σπεῦσον, κυρία μου, ἢ τὸν ἥλιον Κομνηνὸν ἐπανατεῖλαι τούτοις ἐν μέροισιν ἢ ἀκτῖνα γοῦν στρατιωτικὴν ἀποδιοκεῦσαι τοῖς καθ' ἡμᾶς· εἰ μὴ γὰρ τοῦτο ἢ τοῦτο, καὶ δίχα τῶν ἐλπιζομένων τούτων πραγμάτων μόνῃ τῇ προσδοκίᾳ πάντες συναποψύξομεν.

7.

Τοῦ αὐτοῦ πρὸς τὸν κραταιὸν Κομνηνόν.

B 12β

Θεομεγάλυντε Κομνηνέ, πάντες φησὶν οἱ χείμαρροι . . . . . αὕτη οὐκ ἔστιν ἐμπιπλαμένη ὕδατος· πῶς δὲ καὶ ἔστι ταύτην ὑδάτων ἐμπίπλασθαι . . . . . .
πᾶσαι πηγαὶ || καὶ φρείατα μακρὰ κατὰ τὸν περιηγητὴν Διονύσιον· πέφυκε δέ B 10₂
πως τὸ μέρος πρὸς τὸ ὅλον χωρεῖν, καί πως ἑαυτοῦ πλέον ἔσται τὸ ὅλον τὸ παρ' ἑαυτοῦ εἰσδεχόμενον. καὶ τὴν φυσιολογίαν ταύτην ἐκλάβοιτό τις καθ' ἑτέραν τὴν ἔννοιαν καὶ κατ' ἄλλην λόγου ὑπόθεσιν πρὸς τὴν σὴν κραταιότητα· θάλλασα γὰρ καὶ σὺ παντὸς ἀγαθοῦ καὶ εὐποιΐας καὶ δωρεῶν πολυχανδὲς πέλαγος, καὶ χείμαρροι μὲν πρὸς σὲ οὐκ εἰσρέουσι, πάντες δὲ πάντως ὁπόσους τῆς ἐνδείας χείμαρροι κατασύρουσιν, οἷς καὶ δωρούμενος καὶ εὐεργετῶν αὐτοὺς οὐκ ἐμπίπλασαι. εἷς τούτων καὶ ὁ πανυπέρεντιμότατος ἄνθρωπος πάλαι μὲν βίου ἔχων ἀρκούντως καὶ τιμῆς καὶ περιφανείας ἔν τε βασιλείαις αὐλαῖς ἔν τε ταῖς τοῦ πατριάρχου ἀναστροφαῖς· ἀλλὰ καὶ τούτῳ ῥαγδαῖος ἐπιρρεύσας τῶν ἀριστερῶν πραγμάτων ὁ χείμαρρος πρὸς τὴν τῆς σῆς φιλοτιμίας ἀπέπτυσε θάλασσαν, καὶ νῦν πρὸς σὲ ἔρχεται ἐκεῖνα ζητῶν, ἃ σοὶ μὲν ῥᾴδιον δοῦναι, αὐτῷ δὲ μέγα λαβεῖν. ζητεῖ δὲ εἰς οἰκονομίαν, εἰς διεξαγωγήν, εἰς κυβέρνησιν τὴν ἐκκλησίαν Νέων Πατρῶν, ἣν ἡ σὴ κραταιὰ χεὶρ Ἰταλικῆς χειρὸς ἠλευθέρωσε, καὶ ζητεῖ δῶρον τοῦτο τῷ οἰκείῳ τρόπῳ κατάλληλον ἱερὸς ἀνήρ, δηλαδὴ διοίκησιν ἱεράν. εἰ δὲ καὶ ἄλλως

13 πηγαὶ] λείπει τῷ κώδικι φύλλον μέσον φ. 12β καὶ 13, ἡ δὲ μετὰ τὸ ἀπολεσθὲν ἀκολουθία ἐπὶ τοῦ φ. 10α τὴν ἀρχὴν οὐ διέκρινε Βασιλ. 13 πᾶσαι — φρ. μακρὰ] πρβλ. Ἰλ. Φ 197.
20 πανυπερεντιμότατος] νόει Εὐθύμιον τὸν Τορνίκην.

2 ἀνῆλθον B². 3 παραδραμόντα B². 6 τούτοις τοῖς B². 9 ἐναποψύξομεν B².
19 παρασύρουσιν Bac.

πρέπει ἐπιχειρεῖν, ἐκεῖνα αἰτεῖ, ἅπερ ὁ πρὸς μητρὸς τούτου θεῖος ἐβελτιώσατό τε καὶ συνεστήσατο (κατήγαγον δὲ πρὸς μηδὲν χρόνος ὁ πανδαμάτωρ καὶ ἀπληστία Λατινική), ἱερατεύων ἐκεῖνος παρὰ ταύτῃ τῇ Πάτρᾳ καὶ τιμῶν τὸ λάχος ἢ ὑπὸ τούτου τιμώμενος τῷ κάλλει τοῦ λόγου καὶ τῷ ὕψει τοῦ βίου τὸν λαχόντα τοῦτον κλῆρον τιμῶν. εἰ γοῦν ἀντὶ πατέρων γεννῶνται υἱοί, οὐδὲν καινὸν εἰ καὶ ἀντὶ θείων ἀνεψιοί· ἅμα δὲ καὶ μεγαλυνθήσῃ ἀπὸ ταύτης τῆς πράξεως, τὰ ἱερὰ ταῦτα λάφυρα τῶν πολεμικῶν σου κατορθωμάτων ἀνδράσιν ἱεροῖς καὶ τοῖς ποτὲ τροφίμοις τῆς Ἐκκλησίας καὶ διαπρεπέσι βίῳ καὶ λόγῳ δωρούμενος. ταύτης τῆς Ἐκκλησίας καὶ σύ, μεγαλουργὲ Κομνηνέ, παῖς γνήσιος ἀναγεννηθεὶς ὑπ' ἐκείνης διὰ τοῦ θείου βαπτίσματος καὶ φθάσας εἰς μέτρον ὑπὸ ταύτῃ τροφῷ τῆς ἀνδρικῆς τελειότητος, καὶ δίδου τοῖς ἀδελφοῖς καὶ τέκνοις ταύτης τῆς Ἐκκλησίας τὴν ἀδελφικὴν φιλοστοργίαν καὶ περιποίησιν· τὸ δὲ ἔργον τοῦτο καὶ οἱ τοῖς Ἀσίας ἀποθαυμάζονται, ὡς μὴ μόνον τοῦ βασιλέως ἐκείνης τῶν ἱερωμένων προνοουμένου, ἀλλὰ καὶ τοῦ ἐμοῦ μεγαλουργοῦ Κομνηνοῦ τοὺς αὐτοὺς καὶ τρέφοντος καὶ διοικήσεις ἱερὰς ἀπονέμοντος. ἐγὼ δὲ ὁ ταῦτα γράφων διχόθεν, οἶδα, τὸν ἔπαινον λήψομαι, ὅτι τε ὑπὲρ ἀδελφοῦ πρεσβεύω καὶ ὅτι τὰ μεγαλύνοντά σε καὶ θέλω καὶ πραγματεύομαι· τί δε χρὴ τὸν αὐτοκίνητόν σε πρὸς τὰ καλὰ ἑτεροκίνητον γίνεσθαι καὶ μὴ μόνον εἶναι σοῦ τὸ μεταδοτικὸν καὶ τὸ συμπαθές, ἀλλὰ κἀμὲ τούτου γίνεσθαι συνεργάτην, δέον ὃν μηδενὶ παραχωρεῖν σε πρεσβείων ἐν φιλοτιμίαις, ἐν εὐποιΐαις, ἐν δωρεαῖς, ἐν χρηστότητι; καὶ γένοιτό σοι πολλὰ τὰ καλὰ τῷ ἐμῷ μεγαλουργῷ Κομνηνῷ πληροῦντι προθύμως, ἅπερ ὁ σὸς εὐχέτης ἐγὼ μετὰ θερμότητος ἐξαιτῶ.

8.

B 14α

Τοῦ αὐτοῦ πρὸς τὸν κραταιὸν Κομνηνόν.

+ Ἡμεῖς δέ, κράτιστε Κομνηνέ, οἱ μήτε καθέδραν ἔχοντες μήτε κλῆρον μήτε ναόν, ὡς ἀθροίζεσθαι μὲν ἐν τούτῳ, συμφωνίας δὲ τὰ πρὸς θεὸν ἀναφέρειν ὑπὲρ τῆς σῆς εὐοδώσεως, ἄρα καὶ τοῖς ψυχικοῖς κινήμασιν ἡσυχάζομεν καὶ διὰ τοῦτο οὐκ ἀλαλήτως ὑπερευχόμεθά σου τῆς κραταιότητος;
B 14β καὶ πῶς ἂν ὁ καρδίας | καὶ νεφροὺς ἐτάζων θεὸς ἴλεων ἐφ' ἡμᾶς ἐπιβλέψει οὕτω τοῦ κοινοῦ καταμελοῦντας καλοῦ καὶ μηδὲ κατὰ τὸν ἐντὸς καὶ

1 θεῖος] νόει τὸν Νέων Πατρῶν Εὐθύμιον Μαλάκην. 14 ἀποθαυμάζονται] κατὰ τὸν B. οὐ δὲ ἀποθαυμάσονται. 28 καρδίας — θεὸς] πρβλ. Ψαλμ. ζ', 10.

2 παδαμάστωρ Bac.

ἀθεώρητον ἄνθρωπον ὑπὲρ τοῦ σοῦ κράτους, ὑπὲρ τοῦ σοῦ στρατοῦ ὁμιλοῦντας καὶ διαλεγομένους αὐτῷ, καθά ποτε καὶ Μωϋσῆς ποιεῖν πρὸς τὸν θεὸν ἀναγέγραπται δεόμενος ὑπὲρ τοῦ λαοῦ καὶ τῆς σωτηρίας τοῦ Ἰσραήλ, ἡνίκα καὶ θεὸς ταῖς ἐκείνου κεκρυμμέναις ἱκεσίαις ἐπικαμφθεὶς " τί βοᾶς ", φησί, " πρός με " τῷ νοερῶς ἐντυγχάνοντι; κατὰ ταῦτα καὶ αὐτὸς θεὸν ἐπὶ καρδίαν ἐπικαλοῦμαι σύμμαχον παρεῖναί σοι καὶ συστράτηγον καὶ συμπολεμοῦντα τῷ ἡμετέρῳ δημαγωγῷ καὶ κατὰ Μωσέα καὶ Ἰησοῦν τὰ βάρβαρα καταβάλοντι ἔθνη καὶ τὸν ἡμέτερον πλατύνοντι κλῆρον. καὶ γένοιτο τὰς μὲν ἡμετέρας ταύτας ὑπὲρ σοῦ προσευχὰς κατευθυνθῆναι ὥσπερ θυμίαμα ἐνώπιον τοῦ θεοῦ, σὲ δὲ νικητὴν ἐφ' ἅρματος τροπαίων ὀχούμενον καὶ κεφαλὴν καὶ βραχίονας κατὰ τὸν πάλαι τύπον ὑπὸ πολλῶν στεφανούμενον. παρεδήλωσε δέ μοι τὸ κράτος σου, ὡς ὁρισμὸν ἀπέστειλας τῷ αὐταδέλφῳ σου ὑπὲρ ἀπολυτρώσεως τῶν σῶν μὲν δούλων, ἐμῶν δὲ κληρικῶν· ὁ δὲ τὴν σκληρότητα μιμούμενος Φαραὼ ταπεινοῦν καὶ ἔτι αὐτοὺς ἐν πτωχείᾳ καὶ σιδήρῳ, καὶ δέον εἶναι, λογίζομαι, πληγῆναι τοῦτον καὶ δευτέρᾳ πληγῇ παρὰ σοῦ τοῦ ἡμετέρου δημαγωγοῦ καὶ γενοῦ μὴ μόνον, οἷς ἐφίστασαι λυτρωτής, ἀλλὰ καὶ ὧν ἀφίστασαι ἐλευθερωτής, ἵνα παρ' ἑκατέρου μέρους τὰ τῆς εὐχαριστίας σοι ἀναπέμπονται, καὶ γενοῦ μοι τῷ γέροντι θερμότερος πρὸς ταῦτα ἐπακουός· χαρίσῃ γάρ μοι τὰ μέγιστα ψυχὰς ἀπαλλάξας τυραννικῆς τοιαύτης κακώσεως ἡ ἀντίληψίς σου χαρισθείη μοι πολυχρόνιος.

9.

(*Πρὸς τὸν κραταιὸν Κομνηνόν*).

+ Κράτιστε, θεοκυβέρνητε δέσποτά μου ἅγιε, τοὺς λόγους πτερόεντας γράφουσιν οἱ σοφοί, ὡς τῇ τῶν κινήσεων ταχυτῆτι παραμιλλωμένους τοῖς πτερωτοῖς. ἀλλὰ πρὸς τὴν σὴν ὀξυπετῆ καὶ μεταβατικὴν κίνησιν κινδυνεύουσι τὴν ἕως καὶ δεῦρο πτερονομασίαν ζημιωθῆναι· ποῦ γάρ σε καὶ καταλήψονται ὀλίγου δεῖν τὸ ἀπερίγραπτον ἔχοντα διὰ τὴν ταχινὴν μεταφορὰν καὶ μετάβασιν; οἱ δέ γε ἐμοὶ διπλῇ τὸ ναρκῶδες ἔχουσι καὶ δισκίνητον, ὅτι τε ἐκ σαπροῦ διὰ τὸ γῆρας καὶ διὰ τὸν μικροῦ μαρασμὸν καὶ ὅτι νικῶνται τῇ ὀξυτάτῃ μετακινήσει σου. ἐπεὶ δὲ καλῶς ποιῶν ὁ καιρὸς ἤγαγέν σε πρὸς B 17[3]

4/5 τί βοᾶς — πρός με] πρβλ. Ἔξοδ. ιδ', 15. 9/10 προσευχὰς — ἐνώπιον τοῦ θεοῦ] πρβλ. Ψαλμ. ρμ', 2. 10 ὀχούμενον] ὀχόμενον B. 22 λόγους πτερόεντας] πρβλ. Ἰλ. Χ 375. Ψ 535.

2 παραμιλλωμένους B.

τὴν ἐγγὺς ἡμῶν θάλασσαν, ὡς μετὰ τῶν χερσαίων θηρῶν ἀνθρωποειδῶν καὶ τοὺς παρὰ ταύτῃ κατατροπώσῃ ἐμφωλεύοντας δράκοντας, ἐξείρπυσα καὶ αὐτὸς τοῦ ἐμοῦ φωλεοῦ χελώνης δρόμον πρὸς τὴν σὴν ἐρχόμενος κραταιότητα καὶ ἦλθον μέχρι τοῦ Ἁγίου Γεωργίου· ἀλλ' ὁ πολὺς χειμὼν τόσην μοι ἐνεποίησε τὴν τοῦ κατάρρου βαρύτητα, ὡς ἐγκλεῖσαι οἰκίσκῳ καὶ μηδὲ τὴν τούτου θύραν ἐᾶν παρελθεῖν. ἀλλὰ δέομαί σου μετὰ τῆς μακρᾶς ἀνοχῆς καὶ ὀλίγην ἑτέραν χαρίσασθαί μοι, ὥστε χαυνωθῆναι τὸ πάθος, καὶ αὐτίκα εἰς προσκύνησίν σου καὶ θέαν καὶ ὁμιλίαν ἐλεύσομαι, ὡς κατατρυφῆσαι τῆς γλυκείας ἐμοὶ ὄψεως καὶ λόγων ἀξιωθῆναι μεγαλοπρεπῶν δουκικῶν. ἡ ἀντίληψίς σου πολυχρόνιος.

10.

Πρὸς τὸν κραταιὸν Κομνηνόν.

+ Ἔδει, κράτιστε Κομνηνέ, μὴ τοὺς νεκροὺς ἐρωτᾶσθαι περὶ τῶν ζώντων· μικροῦ γὰρ εἰς νέκρωσιν ἡμᾶς ἡ νόσος κατήγαγε μηδὲ τοὺς τῷ πλείονι μέρει τῶν πνευματικῶν παρακρουσθέντας ἐνεργημάτων περὶ ἐπισκοπικῶν καταστάσεων. ἐπεὶ δὲ Χριστὸς τὰ πρῶτα ἔτι τὸ ἐπισκοπικὸν ἡμῖν ἀποχαρίζεται ὄνομα καὶ ἡ σὴ μεγαλειότης τὸ αὐτὸ φρονεῖ ἐν ἡμῖν, ἀπενείμαμεν διὰ τῆς κεφαλικῆς ἐπικλίσεως τὸ προσῆκον σέβας τῷ σῷ ἐγγράφῳ κελεύσματι δικαίῳ τε ὄντι καὶ καίριον αἴτιον ἐγκείμενον ἔχοντι, τὴν τοῦ Κερκυρόθι λαοῦ ἐπισκοπικὴν καὶ διεξαγωγὴν καὶ κυβέρνησιν, ἀλλὰ καὶ ὁ τῆς συνελεύσεως ὅρος καὶ λίαν ἥμερος καὶ φιλάνθρωπος· ἡμῖν τε γὰρ τοῖς κατακλίτοις ἀνακωχεύσει τὴν νόσον τὸ τεθὲν τοῦ χρόνου μέσον διάστημα καὶ τοῖς ἀδελφοῖς μου πάντως τὸν ἐκ μακρόθεν βάδον πρὸς τὸν ὁρισθέντα τόπον τῆς συνενώσεως· οὕτω τὰ σὰ καὶ φιλάνθρωπα καὶ μετὰ συνέσεως διοικούμενα. εἰ μὲν οὖν θεὸς ὀλιγώσει μοι τὴν ἀπὸ τοῦδε κατάκλισιν καὶ τὸ τῆς Γραφῆς ἐγκαίρως εἰπεῖν ὅλην τὴν κοίτην μου στρέψει ἐν τῇ ἀρρωστίᾳ μου ταύτῃ, καὶ προποδήσω τῶν ἀδελφῶν καὶ δρόμον ὄψεσθε χωλόν, τὸ τῆς παροιμίας· εἰ δὲ σκληρύνων σκληρυνεῖ καὶ παιδεύων παιδεύσει καὶ ἐν ἐλέει ἐλέγξῃ με (οὕτω γὰρ πείθομαι παιδεύειν θεόν· μαστιγοῖ γὰρ πάντα, ὃν παραδέχεται), σώματι μὲν οὐ παρέσομαι, γράμματι δὲ πάντως καὶ γνώμῃ κοινωνήσω τοῖς ἀδελφοῖς. οἷον δέ μοι κόνδυ πικρίας ἔμελλεν ὁ χρόνος οὗτος

23 Γραφῆς] Ψαλμ. μ, 4. 29 κόνδυ πικρίας] πρβλ. Θεοδ. Προδρ. Ῥοδ. ἐκδ. Bois., τ. 1 σ. 58, 62, 101. Εὐμαθ. σ. 145, 262.

21 τὸ — βάδον B. 25 ὄψεσθαι B.

κιρνᾶν, ὅτι καὶ θάνατον ἤκουσα τοῦ μεγάλου Κερκύρων καὶ διάδοχον ἐκείνου προβαλέσθαι μεταπαλοῦμαι.

ὦ Γαῖα μῆτερ Ἡλίου τ' ἀναπτυχαί,
οἵων λόγων ἄρρητον εἰσήκουσ' ὄπα.

ποῖον δυστύχημα μεῖζον ταύτης τῆς ἀκοῆς; ποίαν τῶν συμφορῶν οὐχ ὑπερβάλλει τοῦτο τὸ πάθος; φεῦ, ὁ τῆς σοφίας ἥλιος ὑπὸ γῆν, ἡ τοῦ λόγου λαμπὰς ἐσβέσθη, ἡ τρανὴ καὶ περιττὴ σεσίγηκε γλῶττα. ἴσασι τὰς ἐκείνης προσβολὰς ἱερεῖς ὑψαύχενες Ἰταλῶν, ὅπως ὡς ἀπὸ σφενδόνης τὰς διαλέξεις πέμπουσα ἅπαν ὕψωμα δογμάτων καθῄρει ἀντίθετον καὶ ὡς εἰς χοῦν ἐλέπτυνε τὰς ἐκείνων οἰκοδομάς. ἐκείνην τὴν γλῶτταν ἐχάλκευσε μὲν ἡ χάρις τοῦ πνεύματος, ἐστόμωσε δὲ τὸ πῦρ τῆς σοφιστικῆς καὶ ὡσεὶ βέλος ἐν χειρὶ δυνατοῦ κατὰ τῶν ἐναντίων τούτων ἐκεῖνος ταύτην ἀπετοξάζετο. ταύτην ἀπετοξάζετο. τρὶς μὲν οὖν σεισθῆναι τὴν οἰκουμένην τὰ ἱερὰ διδάσκουσι λόγια καὶ τέταρτον τοῦτο, τοῦτο, τοῦ Βασιλείου πεσόντος. Τοῦτον θρηνείτωσαν μὲν ἐπίσκοποι, ὡς ἀπολωλεκότες τὸν πρόβολον, οἱ ἐν ἐξουσίᾳ τὸν στηριγμόν, οἱ στρατιῶται τὸν ταῖς εὐχαῖς αὐτοὺς ὁπλίζοντα καὶ κρατύνοντα, οἱ βοηθείας ἐπιδεεῖς τὸν ἵλαρὸν μεσίτην καὶ τὸν ταχύν, οἱ πάντες τὸν πάντα πᾶσι γενόμενον ἀποστολικῶς. ἀλλ' ὦ θάνατε ὀλοθρευτὰ τῶν καλῶν, ἀφανιστὰ τῶν κρειττόνων, καὶ τοῦτο πλέον δεκάσας τὰς ψήφους — — — —

11.

Πρὸς τὸν κραταιὸν Κομνηνόν. B 26β

+ Μεγαλουργὲ Κομνηνὲ καὶ προφανῶς θεοφρούρητε, ὅτι καὶ τὴν ἐξουσίαν ταύτην καὶ τὸν ἑξῆς πλατυσμὸν ἀπόνως εἴληφας καὶ χωρὶς αἵματος, στρατηγοῦντός σοι τοῦ θεοῦ καὶ συναρήγοντος ἐν ταῖς πράξεσιν. ὥσπερ δὴ καὶ εἰς τὴν Προσάκου ὑποταγήν, δι' ὃν βασιλεῖς ποτε ἐκστρατεύσαντες καὶ τὴν οἰκουμένην σαλεύσαντες ἤνυσαν πλέον οὐδέν, εἰ μὴ ὅτι μόνον εἰδότες καὶ περιελθόντες τὸ φρούριον τὴν προσεδρίαν κατέλυσαν. τὰ σὰ τίνα; θαύματος γέμοντα ὡς θείας ἐξηρτημένα πάντως δυνάμεως. καὶ ἄλλοι μὲν τῶν ῥητορευόντων περὶ τοῦ πολίσματος τούτου τὰ δοκοῦντα τούτοις κομψεύσονται, ἐγὼ δὲ τὴν πόλιν μὲν οὐκ ἰδών, προφυλακὴν δὲ ταύτην εἶναι μανθάνων καὶ σκέ-

3 ὦ Γαῖα — ὄπα] Εὐριπ. Ἱππόλ. 601. 11 ὡσεὶ βέλος — δυνατοῦ] Ψαλμ. ρκς' 4. 13 τρὶς μὲν οὖν σεισθ. τὴν οἰκουμένην] πρβλ. Παρ. κδ', 56.

2 προσβαλέσθαι B. 12 ἀντίων Βασιλ.

πην, ὡς εἴπῃ τις, τῶν ἐκ θεοῦ πολισμάτων σου, σάκος ἂν τούτων εἴποιμι ταύτην καὶ τοῦ Αἰαντείου ἐκείνου ὀχυρώτερόν τε καὶ κραταιότερον, ὡς προβεβλημένην δὲ τῶν λοιπῶν ἀκολούθως πάντως καὶ Πρόσακος, προφυλακὴν δηλαδὴ καὶ ἰσχυρὰν προασφάλειαν. εἰ δὲ καὶ σάκη μὲν τοῖς ἐντὸς τὰ πολίσματα, ὡς τὰ τῶν ἐναντίων βέλη ἀποκρουόμενα, τοῦτο δὲ τῶν λοιπῶν διὰ θέσιν ὑπέρκειται, δι' ὀχύρωσιν, εἰκότως πρὸς τὰ ἄλλα τοιαῦτα σάκη ὠνόμασται Πρόσακος, τῆς προθέσεως ταύτης διδούσης αὐτῷ τὴν πρὸς τὰ ἄλλα ταῦτα ὑπεροχήν, ὡς τὸ προτρέχειν καὶ προλαμβάνειν καὶ προκαθίζεσθαι. καὶ ἡμῖν μὲν ἔσται τοῦτο, διδόντος θεοῦ, φυλακὴ κατὰ τούτους τοὺς λόγους καὶ ἀσφαλεστάτη συντήρησις, ‖ Θεσσαλονικεῦσι δὲ μέγα τραῦμα καὶ ἀπευκταῖον συν- B 13α
άντημα. ἀλλὰ θεὸς ὁ μέγας καὶ ἰσχυρὸς καὶ τῶν παρὰ σοῦ ἐνεργουμένων ὁ ἀρχιστράτηγος καὶ σὺ αὐτὸς ὁ τοῦ θεοῦ ὑποστράτηγος καὶ τὴν μεγάλην ταύτην πόλιν ὑμετέραν ποιήσεται καὶ ὁ καθήμερος σκόλοψ οὗτος, ὁ Πρόσακος, καὶ Θεσσαλονικεῖς ἀναγκάσει τῇ σῇ ἀρχῇ προστεθήσεσθαι. ἐγὼ δὲ ἤδη τῇ διανοίᾳ καὶ παρὰ τῷ Προσάκῳ εἰμὶ καὶ τῆς τοῦ μύρου ἀποφορᾶς τοῦ ἐν μάρτυσι περιβοήτου Δημητρίου αἰσθάνομαι καὶ καραδοκῶ κεφαλὴν καὶ χεῖρας καὶ ὄμματα ὅσον ὅσον ἀπὸ τούτου χρισθήσεσθαι, τόν τε Πρόσακον αὐτῷ τῷ λογισμῷ περιέρχομαι καὶ κοιλαίνω χεῖρας καὶ πίνω τοῦ ὑπορρέοντος Ἀξειοῦ, ὃν δὴ Βαρδάριον ἡ ἀγελαία γλῶσσα καλεῖ καὶ τὰ παλαιὰ τῶν ποταμῶν ἠγνοηκυῖα ὀνόματα, ποσί τε γηραιοῖς περὶ τὰς ὄχθας τούτου ὀρχοῦμαι τῷ λογισμῷ, ὡς παρὰ τῷ Ἡσιόδῳ νύμφαι ποτὲ ποσὶν ἁπαλοῖς περὶ κρήνην τινὰ βαθεῖαν, ἣν ἐκεῖνος ποιητικεύεται· καὶ ταῖς ἀληθείαις θαυμάσιον, ὡς ἀναρριχᾶται τὸ φρούριον τοῦτο πρὸς ὕψος καὶ ἄνω φέρεται, ποταμὸς δὲ τὴν βάσιν τούτου κάτω κυκλοῖ καὶ περιλορδίζει ταύτην καὶ περισύρεται, ὅθεν ὑδρεύονται μὲν οἱ πολῖται καὶ ἀσφαλῶς βιοῦσι τῇ δαψιλείᾳ τοῦ ὕδατος. τὰ μὲν δὴ ταῦτα τοιαῦτα καὶ πᾶσαν γλῶσσαν εἰς εὐφημίαν σὴν προκαλούμενα, τὰ ⟨δὲ⟩ νῦν ἢ μελετώμενα ἢ τελούμενα νυμφοστολήματα τῶν ἡλιοειδῶν θυγατέρων σου πόσους σοι πλέξουσι τοὺς στεφάνους, ὡς ὑπὲρ ἡμῶν, τοῦ σοῦ κλήρου, πραττόμενά τε καὶ συντελούμενα καὶ ὡς προδήλως ὑπὲρ ἡμῶν καὶ τὴν οἰκείαν ψυχὴν ⟨τίθης⟩, ὃ δὴ καὶ Παῦλος ὁ μέγας ποτὲ ἐκαυχήσατο (ψυχὴ γάρ σοι καὶ σπλάγχνα αἱ κόραι αὗται διὰ τὴν βίαν τῆς φύ-

1-2 σάκος — Αἰαντείου] πρβλ. Ἰλ. Ζ, 222. 12 αὐτὸς] ἑλλ. Βασιλ. 18 περιερχόμενος Βας. 21 Ἡσιόδῳ] Θεογ. 3. 23 ἄνω φέρεται B, ἀναφέρεται Βας. 29 προδίδως Βας. 30 Παῦλος] πρβλ. Θεσ. 1, β', 8.

17 χρησθήσεσθαι B.

σεως), ἀλλὰ καὶ ταῦτα τελέσει θεὸς πρὸς τὸ χρηστότερόν τε καὶ πρεπωδέστερον. σὺ δὲ πολλοῖς ἐπιλάμψας τόποις καὶ κατὰ τὰς τοῦ ἡλίου κινήσεις πρὸς βορρᾶν ἐλθὼν καὶ πρὸς νότον καὶ κυκλεύσας ὡς φωσφόρος οὗτος πολύπλεθρον γῆν ἐλθὲ ποτε πρὸς τὸν τόπον σου τοῦτον δὴ τὸν περὶ ἡμᾶς καὶ ὑμέτερον, ὡς καὶ ἡμεῖς τῶν φωτοβολημάτων σου ἀπολαύσαιμεν καὶ πεφωτισμένον μέρος ἐσοίμεθα καὶ μεγαλυνεῖ σε θεὸς καὶ κραταιώσοι σε ἐπὶ πλέον καὶ τὸ βασιλικὸν καὶ πάτριον ὑποδήσοι σε πέδιλον. ἀλλὰ ταῦτα μὲν οὕτω μοι ηὔχθω, μετάγοντι δὲ τὸ τοῦ νοὸς ἐξεταστικὸν ἀπὸ τῶν καθ' ἡμέραν στρατιωτικῶν ἀριστουργημάτων σου πρὸς τὰς ἐπικρίσεις τῶν ἐπισκόπων, ὅπως τοὺς βίῳ καὶ λόγῳ τῶν λοιπῶν διαφέροντας ἀποδιαστέλλεις τῶν ἄλλων καὶ καθίζεις ἐπὶ θρόνων τῶν ἐπισκοπικῶν, δοκεῖς μοι μιμεῖσθαι τοὺς τοῦ χρυσίου μεταλευτάς, οἱ πολλὴν ἀνορύττοντες γῆν καὶ χοῦν τοσοῦτον ἀνερευνώμενοι οὐ πρότερον τὸ σκαφεῖον ἀποχειρίζονται, πρὶν ἂν τὴν χρυσῖτιν εὕρωσι φλέβαν καὶ τὸ τιμαλφῆ χρυσὸν ἀναλέξωνται· ἢ τρόπον μελίσσης περιίπτασαι μὲν λειμῶνας τοὺς ἱερατικούς, ἀνθολογεῖς δ' ἐκεῖθεν τὰ χρησιμώτατα καὶ σίμβλοις ὥσπερ τοῖς θρόνοις τῶν ἁγίων Ἐκκλησιῶν ἐναποτίθης εἰς μελιττουργίαν πνευματικήν, οὗς καὶ βίος καὶ λόγος τὴν ἀρίστην ταύτην καὶ γλυκεῖαν γεωργικὴν ἐξεπαίδευσεν, ὁποῖος ὁ μακαριώτατος Βουλγαρίας καὶ ὁ νῦν Κερκύρων χειροτονούμενος, ἄνδρε τούτω οὐμενοῦν οὐδαμῶς εἰς βίον, εἰς λόγον τινὸς δευτερεύοντες; ἐκ τούτου καὶ προσφυῶς ἀποκαλῶσε θυμόσοφον, ὅτι στρατιώτης ἀνὴρ καὶ περὶ μάχας ἐπτοημένος καὶ ἀναδεδημένος ὁσημέραι τὰ τρόπαια καὶ τὴν κανονικὴν ἐν τοῖς τοιούτοις ἐπιγινώσκεις διαταγὴν καὶ ὡς ἐκεῖνοι παρακελεύονται τὰ περὶ ἐπισκόπων διενεργεῖν κἀμὲ χειροτονητὴν καθίζεις τῶν ἀξίων ἀνάξιον· ἀλλὰ καὶ ταῦτα ἄριστά τε καὶ τελεώτατα ἔχονται. ἐγὼ δὲ νόσῳ μὲν καὶ γήρᾳ παλαίων, οὐχ ἧττον δὲ καὶ κατὰ τοὺς ὄφεις ὁπόσα καὶ φωλεῷ τῇ κέλλῃ μου ἐνειργόμενος καὶ ὡς ἐκεῖνοι πρὸς κύκλον τῷ χρόνῳ καμπτόμενος, ἀλλὰ δῆτα καὶ τῷ καιρῷ (χειμὼν γὰρ καὶ ὁ γέρων τροχοῦται) καὶ τὸ τῆς κωμῳδίας εἰπεῖν "πέντε σισύραις" διὰ τὸ ψῦχος "ἐγκεκορδυλημένος", ὅμως ὥς τινος ἀκτῖνος ἐπιλαμψάσης μοι τῆς ἀκοῆς τῆς σῆς πλησιότητος ἐξείρπυσα χηραμοῦ καὶ γένωμαι σοῦ ἐχόμενα, τοῦ κοσμολαμποῦς ἡλίου ἡμῶν, καὶ τῇ συνουσίᾳ πλέον θαλπήσομαι καὶ ἀνακινήσω καὶ ἀναζήσω. ἀλλ' ἔοικεν ὡς εὐτυχέστεροι οἱ Ἰλλύριοι τὴν σὴν θέρμην εἰς ἑαυτοὺς μεθελκύσαντες, ὅθεν καὶ ἐπὶ τῆς αὐτῆς ψυχρίας πάλιν ἡμεῖς πρὸς τὰ δυτικώτερα μεταβάντος σου. τί γοῦν κελεύεις; μένειν ἡμᾶς ἐνταυθοῖ καὶ τὴν

21 ἐπτοημένος] ἐπτωημένος B. 28 κωμῳδίας] πρβλ. Ἀριστοφ. Νεφ. 10 || σισύρες B.

σὴν ἐπίλαμψιν καρτερεῖν ἢ συρῆναι πρὸς τὴν ἐξ ἔθους ἡμετέραν κατάδυσιν, ἕως ἂν ἀνακάμψῃς κἀκεῖσε ἐπιλάμπων ἐπιλάμψῃς καὶ πρὸς ἡμᾶς; ἀχθήσομαι γὰρ τῷ κελεύσματί σου καὶ μενῶ ἐν Ἰωαννίνοις καὶ Ἄρτῃ ψυχραινόμενος πλέον διὰ τὸ τῶν τόπων τούτων δυσχείμερον ἢ τὴν ἐμὴν εἰσδύσω κατάδυσιν πρεπωδεστέραν οὖσαν ὡς θερμοτέραν τοῖς γέρουσι;

12.

B 273 ***Πρὸς τὸν κραταιὸν Κομνηνόν, ὅτε τὸν Πλαταμόνα παρέλαβεν καὶ ὑπέστρεψεν.***

Ἐπανῆκες, ὡς ἔμαθον, μεγαλουργὲ Κομνηνέ, καὶ οὐ κεναῖς ταῖς χερσὶν οὐδὲ τὴν ἐκστρατείαν ποιησάμενος ἄπρακτον, ἀλλὰ καὶ μεγάλα πάλιν κατ-
B 28a ωρθωκὼς καὶ νίκας αὖθις ἀναδησάμενος. ὁ δ' αὐτὸς νῦν μὲν ἐπάγεις καὶ || ἀπόλλεις (τὸ τῆς Γραφῆς) τοὺς ὅσοι μᾶλλον τοῖς Ἰταλοῖς ἢ σοι δουλεύειν ἐγνώκασι, νῦν δὲ πᾶν ἄρσεν αἴρεις αὐτῶν, ἀπὸ τοῦ κόσμου δηλονότι καὶ τῆς ζωῆς, ὅσον ὁπλομάχον καὶ ὅσον ἀντίξουν σοι, καὶ τὰ κῶλα τούτων καταστρωννύεις εἰς γῆν, καθά που καὶ θεὸς ἐν ἐρήμῳ ποτὲ τὰ τοῦ ἀγνώμονος Ἰσραήλ. πόλεις δέ, ὅσας αὐτοὶ ἐπολίσαντο πρὸς τὴν σφετέραν ἀσφάλειαν τίθεις εἰς χῶμα καὶ ἀναμοχλεύεις αὐτῶν τὰ θεμέλια· αἱ δὲ οὐδὲ τὴν ἔφοδον καὶ μόνην ὑπενεγκεῖν σου δυνάμεναι ζυγὸν δουλείας ὑπέρχονται καὶ τὸ δεσπόσυνόν σου ἐπαυχενίζονται. ἄλλοι δὲ τῶν θεομισῶν Ἰταλῶν ἐν τούτῳ μέρει μιμοῦνται τοὺς ὄρνιθας· τῶν γὰρ οἰκείων φωλεῶν γινόμενοι ἐκπετήσιμοι ἀπονητὶ πρὸς τοὺς πόνους αὐτῶν εἰσέρχεσθαί σε πρεσβεύουσιν, ὡς ἐν αὐτοῖς ἢ τοὺς ὑπὸ τὴν σὴν δραστήριον χεῖρα οἰκεῖν καὶ καθάπερ στρουθοὺς τὰ ἐκ θελήματος σαρκὸς καὶ γεννᾶν καὶ τρέφειν καὶ αὔξειν ἢ μετὰ τῶν πολισμάτων τούτων καθαίρεσιν τὰ τοῦ ἀγροῦ στρουθία τούτοις ἔχειν ἐννοσσιεύεσθαι. τὸ δέ γε νῦν τελεσθὲν ἢ κατορθωθὲν ἢ πραχθὲν πρὸς ἑαυτὸ τὴν γλῶσσαν μετάγει μου, ὁ ὑπερνεφὴς δηλαδὴ Πλαταμὼν καὶ τὸ κατὰ κύκλον τοῦτο περιγεγραμμένον πολίχνιον, ὅπως καὶ κυκλωθὲν καὶ πολεμηθὲν ἑάλω καὶ τοῦτο καὶ γέγονεν ὑποχείριον, ὡς λέγειν καὶ τοῦτο μετὰ τοῦ θείου Δαυίδ· "κυκλώσαντες ἐκύκλωσάν με", κἂν οὐκ ἠμύναντο τοὺς κυκλώσαντας· οὐδὲ γὰρ "ἐν τῷ ὀνόματι κυρίου" ᾠκεῖτο τὸ πόλισμα, ᾧ σὺ θαρρῶν καὶ ᾧ ὀνόματι στρατηγούμενος ἡμύνω μᾶλλον τοὺς κυκλουμένους τούτους ἀλάστορας. ἅμα δὲ καὶ εἰς πλατυσμὸν τῶν ἔμπροσθεν ἀπὸ θεοῦ σχοινισμάτων σου τὸν Πλατα-

11 Γραφῆς] Ἡσ. κς', 14. 13-15 καταστρωννύεις — Ἰσραήλ] πρβλ. Ἀριθ. ιδ', 15—16. 27 Δαυίδ] πρβλ. Ψαλμ. ριζ', 10, 11. 31 τῶν] κ ῶ δ. τὸν

17 κ ῶ δ. δεσπόσινον.

μόνα τοῦτον ἔχω ὑπολογίζεσθαι· πλατυνῶ καὶ πρὸς σέ φησιν ὁ θεὸς τὰ σχοινίσματά σου καὶ τὴν κληρονομίαν σου· μή ποτε ὁ θεὸς ὁ πάντα ποιῶν, ὁ πάντα δυνάμενος καὶ τὸ τῶν μαρτύρων στέφος, ὁ μέγας Δημήτριος, τὴν γείτονα τῆς Θεσσαλῶν παραδόντες σοι καὶ τὴν ἐντὸς τῆς γειτονουμένης μεγαλουπόλεως εἰσέλευσίν σου προγράφουσιν, ὡς ἔχειν σε λέγειν τῆς τοῦ ἐκεῖθεν μύρου ἀποφορᾶς καὶ ἀπὸ ταύτης αἰσθόμενον· "Πότε καὶ εἰς πραγματικὴν δραμοῦμαι, μάκαρ, τῶν μύρων σου καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριόν σου καὶ ἐξελεύσομαι καὶ περικυκλώσω τὸν τάφον σου καὶ ἅψομαι φῶτα καὶ ἄσομαι ἄσματα καὶ τῷ θείῳ μύρῳ χρισθήσομαι, ὡς καὶ χρῖσμα ἕτερον παρυψώσεως θαρρούντως καραδοκεῖν ἐκ ταύτης τῆς χρίσεως"; ἐγὼ τέως ταύτης τῆς πόλεως ἀκούσας τὴν ἅλωσιν εὐθὺς πρὸς τὴν ἁλιευτικὴν μετήνεγκά μου τὸ λογιζόμενον, ὅπως ὁ ἁλιεὺς πέτρας μὲν ὑπερκάθηται, ἄγκιστρον δὲ χαλᾷ εἰς βυθὸν λεπτῇ μηρίνθῳ παρηρτημένον καὶ τὸν ἐγχάναντα τούτῳ ἰχθὺν ἀμείβων χεῖρα χειρὸς ἀνέλκει καὶ ἐγκολπίζεται. τροπολογείσθω μοι πρὸς πέτραν οὗτος ὁ Πλαταμών, ὅτι καὶ πετρώδης ὁ χῶρος καὶ ἐπὶ πέτρας οὗτος ἀνῳκοδόμηται, εἰς ἁλιέα δὲ ὁ μεγαλουργὸς ἐμὸς Κομνηνὸς τῆς πέτρας ταύτης ὑπερκαθήμενος· θάλασσα δὲ ἥ τε πόλις Θεσσαλονίκη, πόλις πρὸς πλάτος, ἐξηπλωμένη καθά που δὴ καὶ ἡ θάλασσα, πόλις εὐγενὴς εὐγενεῖ πρέπουσα, πόλις Θετταλίας κολωνία, τοῦτο δὴ τὸ παρὰ τοῦ Λουκᾶ ἐν ταῖς Πράξεσιν εἰς σέμνωμα τῆς τῶν Φιλιππησίων ἐκφωνηθέν· ἢ αὐτὰ τὰ μύρα τοῦ μάρτυρος θάλασσα καὶ ταῦτα ὄντα μυρίπνοος καὶ κόσμον ὅλον κυκλοῦντα ὡς τὸν ὠκεανὸν ἀναγράφουσιν· εἰς μήρινθον δέ ἡ τῶν σῶν μεγαλοφυῶν βουλευμάτων παρὰ τῆς Θεσσαλῶν ἐμπλοκή· ἄγκιστρον δὲ ὁ πόθος, ὃν σε ποθοῦσιν οἱ ἐν αὐτῇ ἐπιχώριοι, ὅσοι τῆς ἡμετέρας θρησκείας, ὅσοι τοῦ ἑλληνίζοντος, ὃν ἐκ καλοκαγαθίας αὐτοῖς ἐνεχάλασας. ἄγκιστρον δὲ καὶ τὸν διάπυρον ἔρωτα τοῦ καλοῦ κατονομάζουσιν αἱ Γραφαί, καθά που καὶ τὰ ἐν Βαβυλῶνι παιδία τὰ ἱερὰ τῷ θείῳ πόθῳ ἀγκιστρευόμενα φλογὸς κατετόλμησαν ἐπὶ πήχεις ἡρμένης ἐννέα καὶ τεσσαράκοντα. ἰχθῦς δέ τινας εἴποιμι ἂν ἢ αὐτοὺς τοὺς πολιτευομένους ἐν Θετταλῇ, οἳ καὶ καταπιόντες τὸν πόθον τοῦτον ὡς ἄγκιστρον καὶ ἀναχθείησάν σοι καὶ ἐντεθείησαν ἐν τῷ κόλπῳ σου, τῇ συνοχῇ δηλονότι καὶ τῇ παρὰ σοῦ φυλακῇ, ἐν αἷς σωθήσονταί τε καὶ ζήσονται. ταῦτά σοι πλέκει ἐκ τοῦ παρέργου ὁ σοφιστής, προσκυνήσει δέ σε καὶ ὁ τοῦ λόγου πατὴρ καὶ σοὺς νικοποιοὺς βραχίονας κατασπάσεται.

19 Λουκᾶ] πρβλ. Πράξ. ις'. 12.

14 τροπολογίσθω. 18 εὐγεννῇ 19 κολώνια.

12.

B 32α

Πρὸς τὸν Κομνηνόν.

B² 324α + Ἅγιέ μου αὐθέντα, τὸ προσκυνητόν σου ἐπίταγμα ἐξήγαγέ με τῆς κέλλης μου καὶ τοῦ κλινιδίου με ἀπανέστησεν (ἃ καὶ ἄμφω φίλα τοῖς ποδαλγοῦσι καὶ γέρουσι) καὶ πορευόμενος ἐπορευόμην· ἐβραδυπόρουν μέντοι καὶ σχολαιότερον πρὸς σὲ ἠρχόμην κατὰ τὴν ἐνοῦσάν μοι δύναμιν καὶ ἤλπιζον, ὡς ἐντεύξομαί σοι καὶ προσκυνήσω σε εἰς τὰ Ἰωάννινα ἢ κατὰ βίαν εἰς τὴν Βελάν. ὡς δὲ ἔμαθον, ὅτι ὁ μεγαλοπτέρυγος σὺ καὶ ταχύπτερος ἀετὸς εἰς Δεάβολιν ἐπτερύξω κατὰ τὴν ιγ' τοῦ ἐνεστῶτος μηνός (τετάρτη δὲ ἦν αὐτίκα ἡμέρα), ἐγενόμην παλίνστροφος, οὐκ εὔθυμος μέν, ὅτι τὸ σὸν οὐκ ἠξιώθην ἰδεῖν γλυκύτατον πρόσωπον, ἄλλως δὲ διὰ τὴν νόσον ἀποδεκτὴν ἡγησάμενος τὴν ἐπιστροφήν· ἐπεὶ δὲ κατὰ τὴν ἁγίαν Τεσσαρακοστὴν εἰς Ναύπακτον ἦλθες, ἐπεσκέψω με νοσοῦντα καὶ ἐτίμησας καὶ δέον ἦν εὐγνωμονῆσαί με κατὰ τοῦτο, ἐπέστη δὲ καὶ τὸ ἅγιον Πάσχα καὶ ἔπρεπεν ἐν τῇ ἑορτῇ δεξιωθῆναι ὑπ' ἐμοῦ τὴν σὴν κραταιότητα, συναγαγὼν ἄμφω, τὴν ἐπίσκεψιν καὶ τὴν ἑορτὴν καὶ τὴν ἐνδεχομένην φιλοφροσύνην διπλάσας δύο σοι διπλάρια ἐξάμιτα πέπομφα, τὸ μὲν κόκκινον προσνείμας τῇ πανηγύρει (βασιλὶς γὰρ αὕτη τῶν ἑορτῶν καὶ σὺ βασιλεὺς ἡμέτερος, βασιλικὸν δὲ ἄμφιον καὶ τὸ κόκκινον), τὸ δέ γε κιρρὸν τῇ νόσῳ καὶ τῇ νηστείᾳ (ὠχροὶ γὰρ γινόμεθα καὶ ἐγκρατευόμενοι καὶ νοσοῦντες) καὶ δέξαι τὴν δεξίωσιν εὐγνωμόνως καὶ ἀντιχαρίζου μοι καὶ περιποίησιν καὶ εὐμένειαν. οὐκ ἔδοξέ μοι δὲ εὐπρεπὲς τὸ κελευσθῆναι μὲν ἀναπαύεσθαι ὡς ἄρρωστον καὶ ὡς γέροντα, διὰ δὲ τοῦτο δοῦναι νομίσματα· ταὐτὸν γάρ ἐστι τὸ ἀγοράσαι με τὴν ἀνάπαυσιν. ἐγὼ δέ μοι μαρτύρομαι, ὡς εἰ καὶ νέος ἤμην καὶ εὐσθενὴς καὶ τοὺς μακροὺς ἐκτοπισμοὺς ἡγούμην τρυφήν, οὐδ' οὕτως κατεβαλόμην ἂν τὸ τυχόν, ὡς ἀγοράσαι τὸ ἡσυχάζειν· νῦν δὲ καὶ πλέον κατεγνωσμένον τὸ ἐξωνήσασθαί με τὴν ἐκ τοῦ γήρους καὶ τῆς ἀσθενείας ἀκινησίαν, ὧν ἀδύνατον λυτρωθῆναί με· ὁ χρόνος γὰρ ἐπήγαγε γῆρας καὶ τὸ γῆρας ἀσθένειαν, αὕτη (δὲ) τὸ ἀμετάβατον καὶ ἀκίνητον. ταῦτα δὲ τίς ἀπ' ἐμοῦ ἀφελεῖται, εἰ μὴ θεός; καὶ οὐκ ἔλλογον ἀγοράζειν τὰ ἐκ τοῦ γήρους ταλαιπωρήματα. εἰ δέ τις ἀποξύσει μὲν ἐμοὶ τοῦτο, ποιήσει δέ με νέον ἀκμάζοντα, καταβαλοῦμαι προθύμως καὶ τὸ

5 σχολαιοτέρως B². 6 ἢ κατὰ βίαν εἰς τὴν Βελάν] λείπουσι τῷ B². 8 δεάβολην B². 11 ἐπιστροφὴν] ὑποστροφὴν B². 12 ἐπεσκέψω] ἐπισκέψω B². 15 διπλάσας (=ἐκ τοῦ διπλάζω) B, διπλώσας B². 21 ὡς ἄρρωστον καὶ ὡς B, καὶ ἄρρ. καὶ B². 25 καὶ] λείπει τῷ B². 27 (δὲ)] προσθ. ἡμετ. 28 καὶ οὐκ B, οὐκ B². 29 ἔλλογον B, εὔλογον B².

τελευταῖον χιτώνιον· εἰ δὲ τοῦτο πᾶσιν ἀδύνατον, κατὰ τίνα τρόπον ὠνήσομαι, ὧν ἀποφυγεῖν με ἀδύνατον; λείπεται γοῦν ἐμὲ μὲν ἀεὶ καὶ ὑπερεύχεσθαί σε καὶ δεξιοῦσθαι τὰ δυνατά, τὴν δὲ σὴν κραταιότητα τὴν ἐμὴν περιποιεῖσθαι ἀσθένειαν καὶ μὴ μισθοὺς ἀπαιτεῖν, ὧν λυτροῦσθαι οὐ δύνασαι. τὸ δὲ προκείμενον κοινωφελὲς ἔργον κραταιώσοι ἄνωθεν ὁ θεὸς καὶ εὐλογῶν ⟨ὑμᾶς⟩ εὐλογήσοι καὶ αὔξων αὐξήσοι τὰ σχοινίσματα τῆς κληρονομίας σου. ἀλλ', ὦ γῆρας, ὅ με κοινωφελοῦς ἐστέρησας χαρμονῆς καὶ τῶν εὐγενῶν νυμφοστολημάτων τῆς ἡλιογενοῦς γυναικός· θεὸς δὲ ὅμως αὐτὸς μὲν οἰκείαις ἐπευλογήσοι χερσίν, ἐμοὶ δὲ χαρίσαιτο τὴν σὴν εὐμένειαν καὶ ἀντίληψιν.

13.

Πρὸς τὸν κρατοῦντα. B 50₃

+ Μέγιστε βασιλεῦ καὶ βασιλέων ὑπέρτερε τῶν μὲν ἐγγὺς καὶ ὡς εἰπεῖν συναπτῶν, ὅτι ἐκεῖνοι μὲν κατατρυφῶντες μόνον τῆς βασιλείας καὶ ῥαθυμοῦντες ἐν ταῖς ἀναγκαίαις τῶν πράξεων καὶ ὅσα πολιτείαν καὶ βασιλείαν συνίστησιν ὀπίσω βασιλικῆς φροντίδος ποιούμενοι καὶ βασιλείαν ὁμοῦ καὶ πολιτείαν ἀπώλεσαν· τῶν δὲ κατωρθωκότων μεγάλα καὶ προσκληρωσαμένων πόλεις τῇ βασιλείᾳ καὶ χειρωσαμένων ἐχθροὺς καὶ νικησάντων τοὺς ἀντιμάχους καὶ παρασχομένων ὕλην τοῖς γράφουσι τὰ σφῶν ἀριστεύματα, ὅτι πρὸς ἐκείνους παραμιλλώμενος νικας νικαις προστίθεις, τροπαίοις ἐπιστοιβάζεις μείζω τὰ τρόπαια, ἐξ ὧν ἢ δι' ὧν ὑπολήψεις δίδως, ὡς κἀκείνους ὑπερβαλεῖς καὶ τὰ ἐκείνων ἀποκρύψεις ἀνδραγαθήματα καὶ δώσεις ὕλην τοῖς χρονογράφοις καὶ μόνος ἔσῃ τοῖς λογογράφοις ὑπόθεσις· τίς γὰρ εἶδεν ἄνθρωπον πλανηθέντα ἐκ γῆς καὶ τὸ σωματικὸν ἐφόλκιον περικείμενον, μὴ πόνοις ἥκοντα, κόποις μὴ ἐνδιδόντα, || μὴ βρωμάτων ἢ πομάτων ἡττώμενον, μὴ νικώμενον B 51₁ ὕπνῳ, μὴ καθεύδοντα ἐπὶ κλίνης, ἀλλ' αἰσχυνόμενον ὥσπερ εἴποτε καὶ ὀφθείη μικρὸν ἠρεμῶν καὶ σχεδίου μεταλαμβάνων τῆς βρώσεως; ταῦτα τὰ προκεντήματα τῶν σῶν ἀγώνων, κράτιστε βαλών, καὶ κύκλον διαγράψαι σε κατορθωμάτων ὑπόσχονται, τὸν ἐντελῆ τε καὶ τὸν πληρέστατον· εἰ δὲ καὶ πολὺν ζήσεις χρόνον καὶ προστεθήσεταί σοι ἔτη ζωῆς (ταῦτα δὴ τὰ εὐκταῖα

1 τοῦτο πᾶσιν] καὶ τοῦτο πάλιν B² || κατὰ—ἀδύνατον] ἐλλείπουσι τῷ B². 3 σε B, σου B². 6 ⟨ὑμᾶς⟩] ὁ τοῦ κῶδ. P τόπον ἔχει κενὸν διὰ τὰ ὑ μ ᾶ ς μετὰ τὸ ε ὐ λ ο γ ῶ ν, ὁ δὲ B² τίθησι τοῦτο μετὰ τὸ ε ὐ λ ο γ ή σ ο ι ἀνορθόγρ. ἡ μ ᾶ ς || σχοινίσματα τῆς κληρονομίας σου] πρβλ. Ψαλμ. ρδ', 11. 8 αὐτὸς B, αὐτὸ B², Petr. αὐτὴν. 9 ἐμοὶ B, ἐμὲ B².

23 κ ῶ δ. εἴκοντα. 25 ωφθείη. 28 ὑπόσχωνται.

ἐμοί), τίς ἀμφιβαλεῖ μὴ καὶ γῆν σε πᾶσαν ἢ τὴν πλείστην διαδραμεῖν καὶ ὑποκλῖναι σοι ἔθνη, ὧν νεῦρον μὲν σιδηροῦν ὁ τράχηλος, ἀκλινὴς δὲ πρὸς δουλείαν καὶ πρὸς ὑποταγὴν βασίλειον ἄκαμπτος; τὸ δ' ἀνὰ χεῖρας καὶ τὸ παρὸν θηριομάχει, ἄρκτων ἀγρίων κατάτρεχε καὶ παρδάλεων, ἔξαγε τοὺς ὄφεις τῶν χηραμῶν, ἀπανάστα τὰ θηρία τῶν φωλεῶν, ὁπόσα ταῦτα τὸν Ἕλληνά με καὶ τὸν Γραικὸν τοῖς αὐτῶν ὀδοῦσι κατεμασήσαντο, ἐθανάτωσάν τε τῷ σφετέρῳ ἰῷ καὶ μηδὲ μετὰ θάνατον οἰκτισάμενα διεμερίσαντο καὶ κατέφαγον. ταῦτα καί σε ποιεῖν ἔδει τὸν χειροτονητὸν ἀπὸ θεοῦ καὶ τοὺς τῶν ἡμετέρων ἐπιβάτας παθεῖν, ὅτι κατεδίωξαν πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι· ἀλλὰ συνέθλασε διὰ σοῦ ὁ θεὸς τὰς μύλας τῶν ἀνθρωπομόρφων τούτων λεόντων καὶ εἰς τὸ παντελὲς αὐτοὺς ἀφαντώσειεν, ἵνα σὺ μὲν τὴν εὐφημίαν ἔχῃς εἰς αἰῶνας ἀνάγραπτον, ἐγὼ δὲ τὸ ὑπήκοον τοῦ κακοποιοῦ δεσμοῦ ἀνεθῶ καὶ τὴν προτέραν ἐλευθερίαν εἰς τὸ ἑξῆς ἀδούλωτον ἀπολήψωμαι. γένοιτο ταῦτα καὶ τῆς Ἰταλικῆς μιαρίας καὶ ναοὶ καὶ πόλεις καὶ τῇ βασιλείᾳ, ὅσα ὑπήκοα, τὴν κάθαρσιν καὶ τὸν ἁγιασμὸν ἀντιλάβοιεν. ἐπανατείνοντι δέ μοι παράκλησιν κλῖνον τὸ οὖς σου καὶ εἰσάκουσον τῶν ῥημάτων μου. ὁ τοῦ Ἀγγελοκάστρου καστροφύλαξ, ὁ Ταρωνίτης ὁ Ξένος, ὁ παραλελυμένος, ὁ πολλὰ ἐλεηθεὶς ὑπὸ τῆς σῆς βασιλείας, αἴτησιν δικαίαν αἰτεῖ διὰ τοῦ ἱερέως ἐμοῦ· ἡ αἴτησις δὲ τὴν μὲν σὴν βασιλείαν τὴν ἐπὶ τούτῳ ἀγανάκτησιν μετριάσαι, διορίσασθαι δὲ, ὦ ἂν διαγνῷς τὴν σὴν ψυχὴν ἀγαπᾶν καὶ τὸ ταύτης ἀκριμάτιστον θέλειν, ἐξετάσαι τὰ κατ' αὐτὸν καὶ τῶν κατειπόντων αὐτοῦ καὶ κελεῦσαι γενέσθαι τὰ ἐπὶ τῷ Ταρωνίτῃ τούτῳ ἀνάδικα (διόμνυται γὰρ ψευδῶς εἰσηγηθῆναι τῇ βασιλείᾳ σου κατ' αὐτοῦ καὶ διὰ προαποκειμένην μόνην ἀπέχθειαν), οὐ μόνον δὲ ἀλλὰ καὶ τὰς ὁρισμῷ τῆς σῆς βασιλείας διαστάσας ἀπὸ τούτου γυναῖκας, ἥν τε ἔγνω ἐν βίῳ καὶ ἣν ἐγέννησεν ἐξ αὐτῆς, πάλιν σῇ κελεύσει μετ' αὐτοῦ συνελθεῖν, ὥστε ὑπηρετεῖν αὐτῷ καὶ νοσοκομεῖν ὄντι μικροῦ παραλύτῳ καὶ δεομένῳ ὑπηρετήσεως· καὶ ὡς εἴπω τι καὶ γελεῖον, ὃν ἡ χελώνη δάκῃ, κύριε, μὴ ζήσῃ. καὶ ἄκουσόν μου, δέσποτά μου καὶ βασιλεῦ, καὶ οἴκτειρον ἄνθρωπον δίκαι μὲν αἰτοῦντα, ἐγγὺς δὲ ὄντα θανάτου διὰ τὴν ὁλομελῆ πάρεσιν. τὰ δὲ τοῦ μεγάλου Ἄρτης εἰς τὸν μητροπολίτην νεανιεύματα, τὰς ὕβρεις, τὰς ἑτέρας ἀτιμολογίας, τὰς περιφρονήσεις, τοὺς τωθασμούς, τἄλλ' ὁπόσα ὑπέφρων ἄνθρωπος οὗτος καὶ ἀλαζὼν διαπράττεται καὶ ἀγνοῶν, τίς

2 νεῦρον — τράχηλος] Ἡσαΐου μη', 4. 9/10 κατεδίωξαν — θανατῶσαι] πρβλ. Ψαλμ. ρη', 16.

ἦν χθὲς καὶ τίς ἐγένετο σήμερον, ὡς χθὲς μὲν ὀνηλάτης τοῦ Καλοήθους ἐκείνου καὶ μάγειρος, σήμερον δὲ λαοῦ προεστὼς καὶ χώρας πολυανθρώπου πατήρ, εἰς ταῦτα τὰ ἐξ αὐτοῦ πρὸς ἡμᾶς τοὺς ἀναγωγεῖς, τοὺς παιδευτάς, τοὺς εὐεργέτας καὶ πρώην ἤθελον γράφειν· ἀλλά, πιστεύσατε, ἡσχυνόμην, μήπως τὸ τοῦ Αἰσωπείου ἀετοῦ εὐστόχως ἀποτοξεύσῃ τις εἰς ἐμέ. ἐκεῖνος γὰρ βληθεὶς βέλει καὶ ὀδυνόμενος τῇ πληγῇ, ὡς ἐγνώρισεν ἐν τῷ βέλει πτερὸν ἑαυτοῦ, στενάξας ⟨ἔφη⟩· "τὰ ἐμὰ πτερά με διώκουσι". ταῦτα πάσχω ἐκ τούτου τοῦ ἐμοῦ βέλους καὶ ζῶντος καὶ βασιλεύοντος. ἐπήρθη οὗτος ὁ ἄνθρωπος, νόμους ἐπισκοπικοὺς ἀγνοεῖ, αὐτοχειρὶ τοὺς ἱερέας μαστίζει, ἑτέρων κόπτει τὰ γένεια, ἀδεῶς πάντα πράττει. εἴποτε δέ τις καὶ ψιλὴν προσκύνησιν ἀπονέμῃ μοι, ὅδε θανατᾷ ἐκ τοῦ παραυτὰ κακούμενος, ζημιούμενος, ἀφοριζόμενος, διωκόμενος· οὔτε πατριάρχου ὄνομα ἐν τῇ Ἄρτῃ οὔτε μητροπολίτου θέλει ἀκούεσθαι, ἀεὶ δὲ καιροφυλακεῖ καὶ τὴν αὐτοκεφαλίαν φαντάζεται. ἀλλ' ἐντεύξομαί σου τῇ βασιλείᾳ ἢ προσώπῳ ἢ ἐκθετικωτέρῳ τῷ γράμματι καὶ γνώσει, δέσποτά μου καὶ βασιλεῦ, ὡς οὐ μάτην ἀσχάλλω οὐδὲ λυποῦμαι εἰκῇ. ὡς δὲ ἐγὼ κρίνω, ἐξ ὧν πράττει ἐγγύς ἐστι τοῦ πεσεῖν· ‖ ἡ γὰρ ἄκρατος χεὶρ καὶ ὁ προχεόμενος ἀσχέτως θυμὸς τὴν πτῶσιν τούτου B 51[3] κατεπαγγέλλονται. γένοιντό σου τῇ βασιλείᾳ οἱ χρόνοι μακροὶ καὶ ὕψονταί ⟨σε⟩ λαοὶ καὶ εὐφρανθήσονται ἐπὶ θρόνου κατὰ πόλιν τὴν μεγάλην καθήμενον τοῦ βασιλικοῦ· πέποιθα δέ, ὡς καὶ τὰ καθ' ἡμᾶς ἐπισκέψῃ καὶ κρίσιν ἐξενέγκῃς δικαίαν κατὰ τῶν πολυτρόπως ἀδολεσχούντων καὶ εἰς ἐμὲ ψαλλόντων, ὅ φησιν ἡ Γραφή, οὐ πινόντων μὲν οἶνον, μεθυόντων δὲ τῷ θυμῷ καὶ καρηβαριώντων ἐκ τῆς ἐπάρσεως. προσαναφέρω καὶ ἕτερον· ἡ κατὰ Βόνδιτζα ἐκκλησία σου, ἐν ᾗ τοῦ θεοῦ τιμᾶται ἡ μήτηρ, εἰς οἰκοδομὴν ἕλκεται ὡς εἷς τῶν ἀγελαίων καὶ τῶν ἀγροίκων, καὶ ταῦτα γῆν τὴν ἰδίαν ἐργαζομένη καὶ μὴ τὴν σήν· καὶ μὴ καινίσῃς, δέσποτά μου, τὸ μήπω πραχθέν, μηδὲ δώσῃς τῇ βασιλείᾳ κατάρρησιν ἐκ τοῦ καινίσαι ὃ μὴ κεκαίνισται (τί δὲ τὸ ἐκ τούτου τῷ βεστιαρίῳ σου πρόσθεμα;), καὶ ταῦτα τῶν μὲν κακῶν πεφυκότων ῥιζοῦσθαι ὥσπερ καὶ καταδύεσθαι εἰς βαθύτητα, τῶν δ' ἀγαθῶν φυτευομένων ἐπιπόλαιον, ξηραινομένων δὲ καὶ ταχὺ διὰ τὸ μὴ ἔχειν ⟨τὴν⟩ γῆν ἰκμάδα· ἀλλ' ἐκρίζωσον, βασιλεῦ, καὶ προθέλυμνον ἔκσπασον, ὡς εἰπεῖν καὶ ποιητικῶς, τὸ ῥιζοβόλημα τοῦτο, τὸ τῇ ἐπισκοπῇ σου ἀσύνηθες.

5 Αἰσωπείου ἀετοῦ] πρβλ. Fab. Aes. ἐκδ. Halm. σ. 2, ἀριθμ. 4. 11 ὅδε] κ ῶ δ. ὁ δὲ. 19 ⟨σε⟩ προσθ. ἡμετ. 22 Γραφή] πρβλ. Ψαλμ. ξη', 13 «καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον». 27 δώσῃς] κ ῶ δ. δώσεις. 28 τὸ] κ ῶ δ. τῶ. 31 ⟨τὴν⟩] προσθ. ἡμετ.

14.

⟨*Πρὸς τὴν κραταιὰν Δούκαιναν*⟩.

Δέσποινά μου ἁγία καὶ κραταιά, τὴν προσκυνητὴν γραφὴν τῆς ἁγίας σου βασιλείας ἐδεξάμην ἐν Βονδίτζῃ· ἐν ταύτῃ γὰρ εὑρέθην τῆς μὲν ἀρρωστίας διὰ τῶν εὐχῶν τῆς ἁγίας σου βασιλείας ἀνακτώμενος, μήπω δὲ δυνάμενος εἰς τὴν Ναύπακτον ἀπελθεῖν. καὶ ἀναγνοὺς τὴν γραφὴν ὑπὲρ μὲν τῶν ἐν ταύτῃ φροντίδων τῆς βασιλείας σου τῆς ἐμῆς ζωῆς ἕνεκεν καὶ ὑπερηυξάμην σου καὶ πάντα τὰ σωτήρια ἐξῃτησάμην σοι ἐκ θεοῦ, ἐπὶ δὲ τοῖς ἐπαίνοις ἐβάρυνάς με, καθότι οὐδὲν ἀγαθὸν ἐμαυτῷ συνεπίσταμαι, οὐ πνευματικόν, οὐ σωματικόν, οὐ θεῖον οὐδὲ ἀνθρώπινον· ἢ γὰρ ἂν καὶ ὑγίαινον καὶ εὐρωστότερον εἶχον, καὶ τῆς κατὰ κόσμον εὐθυμίας ἀπήλαυον, νῦν δὲ ψυχὴν μὲν ῥυπαίνων, σῶμα δὲ μολύνων, ἀκολασταίνων γλώσσῃ, ἀδικῶν χειρί, ποσὶ βαδίζων ἐπὶ τὰ χείριστα, δικαίως παροργίζω θεὸν καὶ τὰ κακοῦντα τὸ σῶμα τοῦ παροργισμοῦ ἀντιλαμβάνω παιδεύματα. εἰ γοῦν αὐτὴ ταῖς σαῖς εὐχαῖς ἐπιρρώσεις με (θαρρῶ γὰρ ἐπὶ ταῖς σαῖς προσευχαῖς ὡς ἐπὶ ὁμολογουμένου ἁγίου), πάντως καὶ ἀντιλήψομαι τῶν χρηστοτέρων πρακτέων καὶ θεὸν θεραπεύσω καὶ τότε τοὺς ἐπαίνους ἀληθεῖς ἀποδείξω· ὡς τό γε παρόν, τῆς μὲν ⟨πρὸς⟩ ἐμέ σου εὐνοίας πολλά σοι χρεωστῶ τὰ εὐχαριστήρια, ἐπὶ δὲ τοῖς ἐπαίνοις φράσσω τὸ οὖς· καὶ ἀποδιαιρῶν αὐτοὺς τῆς βασιλικῆς σου εὐνοίας εὑρίσκω τοὺς λόγους ἀπράκτους τέως τὰ εἰς ἐμέ. ἀλλὰ γένοιτό σε πολλὰ τὰ καλὰ καὶ ὁ βίος μακρὸς καὶ ἡ βασιλικὴ ἀξία μακροχρονοῦσα καὶ κατὰ τὴν Βασιλεύουσαν πόλιν τὸ κῦρος ἀπολαμβάνουσα, ὅπου καὶ πόλις ἐκείνη κοσμηθήσεται δι' ὑμῶν καὶ ἀντικοσμήσει τοὺς βασιλεῖς ὡς τῆς βασιλείας ἐπώνυμος. ἐγὼ τέως ἀντὶ πάντων ἀλλάττομαι τὸ ὑμέτερον βασιλεολόγημα· οἷος ἐγνωρίσθην, ὑφ' ὧν ἐτιμήθην καὶ τῇ τῆς βασιλίσσης ἀναδοχῇ ἐμεγαλύνθην ὑπὲρ πολλούς· εἰ γὰρ κρείττων μὲν ψυχὴ σώματος, πρωτεύει δὲ τῶν σαρκικῶν τὰ πνευματικά, ἐκ τοῦ ἀναλόγου τῶν ἐγγιζόντων τῇ βασιλείᾳ σου κατὰ σάρκα ὁ πνευματικὸς ἀνάδοχος προφερέστερος. καὶ τί λέγεις, εἰ κατὰ πόλιν τὴν μεγάλην εἶδον ὑμᾶς ἐπὶ θρόνου μὲν καθημένους τοῦ βασιλείου, τῆς εὐγενείας δὲ καὶ τῆς βασιλείας τὰς μαρμαρυγὰς ἀποπέμποντας κἀμοὶ τὸ τιμητικὸν ἐκεῖθεν καὶ τὸ περιποιητικὸν δαψιλεύοντας. ἄρ' οὐκ ἐκ γέροντος ἐγενόμην τάχα νεάζων καὶ ἐκ χωλοῦ ἐλάφου δίκην ἀλλόμενος καὶ ἐκ νωθροῦ εὐκίνητος καὶ ταχύς, ὅπου γε καὶ τῶν πραγμάτων τοιούτων ἄρτι

17 ⟨πρὸς⟩] προσθ. ἡμετ. 22 ἀντικοσμήσει] κῶδ. ἀντικομήσει. 28 καθημένους] κ ῶ δ. καθημένου.

μὴ ὄντων τὰ ἐκ τῆς βασιλείας σου μεγαλεῖά μοι πλούσια καὶ δαψιλεῖς αἱ περιποιήσεις καὶ τῆς ἐμῆς ζωῆς ἐπιθυμίαι θερμόταται; ἀντὶ τούτων ἁπάντων κληρονομήσαις τῆς βασιλείας χρόνους ἐπιμετρήσαις ἐν ταύτῃ συνούς. ἀνοίξαις σοὺς ὀφθαλμοὺς ἐπὶ τῷ βασιλεῖ καὶ δεσπότῃ μου (βαρεῖ μὲν εἰπεῖν) ἐφ' ὅσους ἔζησε Τιθωνός, εἰ μὴ μῦθος τὸ ἐκείνου μακρόβιον, ἐπὶ τοσούτους δέ, μεθ' οὓς οὐκ ἔστι πλέον λαβεῖν, μηδ' ἀρχομένους ἀπὸ μονάδος || — — —

15.

⟨Πρὸς τὸν κραταιὸν Κομνηνόν⟩.

B 52α

— — — — || περίγειον καταβαίνεις καὶ ὡς ἐκεῖνος πάντας ἕλκεις πρὸς ἑαυτόν, ὅτε πλέον ὑψώθης, ὅτε πλέον ἐμεγαλύνθης· ἐκείνου γὰρ γνησίως κατακούεις τοῦ λέγοντος "ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν". ἀλλ' ἔτι νύσσα λέλειπται τήν σε χρεὼν προμολεύειν· ταύτην δὴ καὶ τρέχε θεῷ συνεργούμενος, τῇ κραταιᾷ χειρὶ συγκροτούμενος, τῷ ὑψηλῷ βραχίονι συνασπιζόμενος· ὁμάλιζε τοὺς ὄχθους, ὁπόσους ἡμῖν Ἰταλικὴ τυραννὶς ἐπεβόθρευσεν, ἀπογνάθου τούτους τοὺς λέοντας, γίνου τῷ ἀλλοφύλῳ ἔθνει νέος Δαυίδ, βάλε ἐν τῷ πολεμικῷ σου καδίῳ τρεῖς λίθους, τῆς ἰσοσθενοῦς τριάδος τὴν δύναμιν, σφενδόνησον αὐτοὺς κατὰ τοῦ ἀλλοφύλου, πλῆξον τοῦτον ἐν τῷ ἀναισχύντῳ μετώπῳ θεοῦ παράταξιν ὀνειδίζοντα, θανάτωσον αὐτὸν ἐκ τοῦ παρευθύ. ἆρον ὄνειδος ἐξ ἡμῶν, ὡς ἐκεῖνος τῶν υἱῶν Ἰσραήλ, καὶ χορευσάτωσαν ἐπὶ σοὶ παρθένοι ψυχαί, "ἐπάταξεν" ἀναψάλλουσαι "ὁ βασιλεὺς ἡμῶν". ἐν μυριάσι, κἂν οὐκ ἐν χιλιάσιν οἱ προσεχῶς πρὸ σοῦ βασιλεῖς, ἀλλ' οὐδ' ἐν ὀλιγοπόσῳ τῷ ἀριθμῷ, καὶ ταῦτα τῆς ὅλης Ῥωμαΐδος κατάρχοντες. γνώτωσαν ἔθνη, ὅτι ὄνομά σοι βασιλικὸν καὶ δραστήριον· "κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου". γίνου τοῖς μὲν ἐχθροῖς "πέλεκυς κόπτων πέτραν", "πῦρ ἐν ἀκάνθαις", ὅ φησιν ἡ Γραφή. ἐπιμέρισον αὐτοῖς καὶ ἡμῖν τὰς ἐνεργείας τῆς σῆς ἐμπύρου κατὰ τῶν παλαμναίων ὁρμῆς, ἐπικληρούμενος ἡμῖν τὸ ταύτης φωτιστικόν, ἐκείνοις δὲ τὸ καυστικὸν αὐτῆς καὶ ὀλέθριον. τὰ μὲν οὖν εὐκταῖά μοι ταῦτα. ἐπιποθία δέ μοι καὶ τῇ σῇ βασιλείᾳ ἐμφανισθῆναι καὶ τὴν ἐκ βαπτίσματος ἀγκαλίσασθαι θυγατέρα ἐμὴν

5 Τιθωνός] πρβλ. Λουκ. Ἐμότ. 50. Σουΐδ. ἐν λ. καταγηράσας. Scholia in Iliadem, τ. 1, σ. 103b, 49-51. 16 βάλε] κ ῶ δ. βάλον || καδίῳ] κ ῶ δ. καδδίω || βάλε — τρεῖς λίθους] πρβλ. Βασιλ. 1, ιζ', 40. 17 σφενδόνησον — ἀλλοφύλου] πρβλ. Βασ. 1, ιζ', 49. 18 θεοῦ παράτ. ὀνειδίζοντα] πρβλ. Βασ. 1, ιζ', 10, 46. 23/24 κρατ. — δεξιά σου] Ψαλμ. πη', 14. 24/25 πέλεκυς κ. πέτραν] Ἱερ. κγ', 29. 25 πῦρ ἐν ἀκάνθαις] Ψαλμ. ριζ', 12.

καὶ ταύτην ἐπικρεμασθῆναί μοι πάλιν ὡς εὐγενῆ τὸν βότρυν ἐν γεραν-
δρίῳ καὶ εἰς ὀσμὴν μύρου δραμεῖν περιβοήτου ἐν μάρτυσι καὶ περιχρίσα-
σθαι ἐξ αὐτοῦ· ἀλλ' ἡ φυσικὴ νόσος, τὸ γῆρας (ἐπαινῶ γὰρ τὸν οὕτως
εἰπόντα) καὶ τὸ ἐπίκτητον γῆρας, αἱ ἀρρωστίαι, ἐμποδοστατοῦσι τῇ προ-
5 θυμίᾳ μου· καὶ τί με δεῖ λοιπὸν πράττειν διπλῷ τῷ γήρᾳ κακούμενον,
εἴ γε μηδὲ τὸν Ἡρακλέα πρὸς δύο λόγος αἱρεῖ; ἀλλὰ καὶ οὕτως ἔχων, μέ-
γιστε βασιλεῦ, τὴν μυθικὴν χελώνην ἀπομιμήσομαι, ἣν Αἴσωπος πλά-
τει ἵππῳ ἐπιδρόμῳ διαμιλλήσασθαι καὶ τοῦτον ὑπερβαλέσθαι σπουδὴν κα-
τατείνασαν. καὶ τοῦ μύθου ὁ νοῦς τῷ ἐν παντὶ σπουδαστῷ, τὸ ἀείπονον
10 ἐνεργέστερον· τοῦτο δὴ καὶ ποιήσω καὶ τοῦ πρὸς τὴν σὴν βασιλείαν σταδιο-
δρομήματος εὐθύωρον ἐπιβήσομαι, εἴ γε σύ, βασιλεῦ, μὴ μακρύνῃς ἐμοὶ
τοῦ δρόμου τὰ στάδια. ὑποποδίσεις δέ τι βραχὺ πρὸς ἡμᾶς ὁ τούτων τῶν
ἡμερῶν καὶ τῆς ἐνεστώσης γενεᾶς ἥλιος, ἃς καταφωτίζων μὴ λίπῃς ἕως
ἅπαν διαλύσεις νέφος Ἰταλικὸν ἐπιπροσθοῦν τῇ λάμψει τῆς ἐκ θεοῦ βα-
15 σιλείας σου· καὶ χαῖρε, κράτιστε βασιλεῦ, πολυχρονίως ζῶν, πολυχρονίως
κατορθῶν, πολυχρονίως ὑψούμενος· ἐμὲ δὲ ἰδὼν τὸ τοῦ Ὁμήρου (οἶδα) ἀνα-
φωνήσεις· "ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν". παραλυπεῖ με καί
τι ἐπισυμβάν, ἡ τῆς τῶν δωρηθεισῶν μοι ἐλαιῶν ἕως πρεσβείου καὶ γήρως
καὶ ὅλης ζωῆς καὶ κατοχῆς καὶ χρήσεως καὶ νομῆς πρός τινα ἐργοδότην ἐξ
20 ὁρισμοῦ σου μετάθεσις, ὡς ἂν ἐμοῦ κρειττόνως ἐργοδοτήσοντος τούτου τῇ
ἐκ θεοῦ βασιλείᾳ σου τὸ ἐξ αὐτοῦ λαμπρὸν περιβόλαιον, καίτοι ἐμοῦ τοὺς
πρεσβυτικοὺς καὶ ἡμετέρους βραχίονας νυκτὸς καὶ ἡμέρας ἐπὶ ἔργον δόντος,
τὰς ὑπὲρ σοῦ φημὶ προσευχάς, τοὺς δὲ πήχεις εἰς ἄτρακτον, τὴν ἀδιάλει-
πτον εἰς θεὸν ὑπὲρ τῆς σῆς βασιλείας περιστροφήν τε καὶ περιδίνησιν καὶ
25 τοὺς τῆς ψυχῆς λεπτοὺς στεναγμοὺς ἐπιπλέκοντος ἀλλήλοις ὡς κρόκην καὶ
στήμονα καὶ τὸ τοῦ σωτηρίου σοι ἐντεῦθεν ἱμάτιον ἐξυφαίνοντος δίπλακος,
μαρμαρέης λαμπρότερον, ἱστουργίας Ἰνδικῆς τιμιώτερον. τοιοῦτος ἐργοδότης ὁ
γέρων ἐγώ, τοιοῦτος ὑφάντης τῆς σωτηρίου περιβολῆς· χωρὶς δὲ τούτων ψυ-
χρὸν καὶ ξηρὸν τὸ γῆρας ὑπὸ τῶν φυσικευομένων ἀνωμολόγηται, τὸ ἔλαιον
30 δὲ ὑγρὸν ὁμοῦ καὶ θερμὸν καὶ πρόσωπον ἱλαρύνον μάλιστα γηραιόν. καὶ ἵνα
τί με βασιλεῦ προμηθέστατε, καὶ ἄθερμον παρῆκας καὶ ἄνυγρον; ὡς ἐγὼ τάχα
θᾶττον θανοῦμαι ἀποβαλὼν τὰς ἐκ τοῦ ἐλαίου ποιότητας, σὲ δ' ἐπιλίπῃ ἡ
B 52β ἐκ || προσευχῶν ἐμὴ βελτίστη ὑφαντικὴ καὶ τὸ σωματικὸν αὐτῆς περιβόλαιον;

9 τῷ] κ ῶ δ. τὸ. 16 Ὁμήρου] Ὀδ. π, 181 || φάνης] κ ῶ δ. φαίνῳ.

19/20 κ ῶ δ. ἐξορισμοῦ·

ἀλλὰ μιμήσομαι, βασιλεῦ κισσὸν καὶ πολύποδα, ὃς περιπλέχθην ἔχεται δένδρου καὶ ῥᾳδίως οὐ διαλύει τὴν ἐμπλοκήν· πολύπους δὲ ἐξελκόμενος τῆς θαλάμης ταῖς πέτραις προσέρχεται καὶ οὐ πρὶν ἀφίεται τῶν πετρῶν, πρὶν ἂν ἢ τὰς κοτύλας ταῖς πέτραις ἐναπομεῖναι ἢ ταύτας ταῖς κοτύλαις συνελκυσθῆναι. ἀναβαίνει δὲ καὶ ἐλαίας, ὡς λόγος, καὶ χερσοβατεῖ ἀποθαλασσούμενος καὶ τῇ αὐτῇ κοιλίᾳ καὶ κεφαλῇ τὸ τῶν ἐλαιῶν καρπὸν ἀποτίθεται. χάρισαι γοῦν ἀνδρὶ γέροντι ὃ ἑκουσίως προεδωρήσω καὶ ποίησόν με κατὰ τοὺς πάλαι παλαιστὰς ἐλαιόδευτον περικρατῶν τὸ γῆρας ἐκ τῆς λιπάνσεως, ὡς τῷ ξηρῷ προσεπιπλέκων ὑγρὸν καὶ θεραπεύων τῷ θερμῷ τὸ ξηρὸν κἀκ τούτων τὸ μακροβιώτερον ἐμοὶ πρυτανεύων καὶ τὸ ὑγιεινότερον χαριζόμενος. ἡ δὲ τῆς Βαρεσόβης ἐπίσκεψις τῆς ἐκ τῆς βασιλείας σου ἐπισκέψεως χρήζει ταπεινωθεῖσα καὶ συντριβεῖσα, ὡς ἐκ τοῦ γειτονήματος αὐτῆς κατενόησα· ἔδωκα δ' ἂν γνώμην ἴσως ἐρωτηθείς, ὡς οὐδένα Λατῖνον κἂν δουλεύῃ μισθοῦ, κἂν τὰ πιστὰ ἐπαγγέλληται, πρέπον εἶναι ἄνδρας Ῥωμαίους ἔχειν εἰς πρόνοιαν· τὸ γὰρ φύσει κατὰ Ῥωμαίων πῶς τὸ φύσει μεταβαλλὸν ἕξιν ταύτην μεταπλασθῇ καὶ τὴν ἐναντίαν ἀντιλάβῃ διάθεσιν; εἴ τι καὶ λέων καὶ πάρδαλις ἡμερούμενα, ὁ μὲν τὸ θυμῶδες ἀποβαλεῖται, ἡ δὲ τὴν δριμύτητα. ἐπίβλεψον οὖν, δέσποτά μου, καὶ ἐπὶ τὴν χώραν σου ταύτην, ὡς δόξει πάντως τῇ βασιλείᾳ σου.

16.

Πρὸς τὴν δέσποιναν κυρὰν Μαρίαν. B 53[3]

Δέσποινά μου ἁγία καὶ κραταιά, εὔχομαι ὑγιαίνειν τὸν κραταιὸν καὶ ἅγιον μου αὐθέντην καὶ βασιλέα καὶ τὴν βασιλείαν σου καὶ τὰ ἐκ θεοῦ δοθέντα σοι τέκνα βασίλεια. ζῶ καὶ αὐτὸς μέχρι τῆς τρισκαιδεκάτης τοῦ Μαρτίου ἀναμείνας ἐν τῇ Ἄρτῃ διὰ τὴν ἀρρωστίαν καὶ τὸν χειμῶνα· παρέμεινα δὲ τὸν τοσοῦτον καιρὸν πάντοθεν· ἀπαράκλητος, ἀπὸ μόνης δὲ τῆς βασιλείας σου διὰ τῶν προσκυνητῶν γραμμάτων σου καὶ τοῦ καλοῦ Μονομάχου παρακληθείς· οὗτος γὰρ πάσης ἐγένετο μοι παρηγορίας καὶ παρακλήσεως αἴτιος ψωμίζων, ποτίζων καὶ πάντων παρηγορούμενος, ἄλλον δέ τινα οὐδὲ παρακαλοῦντα εὗρον οὔτε συλλυπούμενον. ἀλλὰ καὶ αὐτὸς ὁ πολλὰ κακὰ παθὼν ὑπ' ἐμοῦ Ἄρτῆς, ἵνα μὴ καινοτομηθῇ εἰς τὸν μητροπολίτην ἀσταφίδας καὶ κάρυα μόνον με καταλιπὼν εἰς τὸν Ἀχελῷον καὶ ἀλλαχοῦ ὑπεχώρησε, τῷ μὲν φαινομένῳ ἰατρείας χάριν ἔλεγε, τῷ δ' ἀληθεῖ ἵνα μὴ

3 προσέρχεται] κ ω δ. προσέχεται.

τὰ πράσα αὐτοῦ εἰς τὸν μητροπολίτην καινοτομήσῃ. χάρις οὖν τῷ θεῷ καὶ τῇ ἁγίᾳ σου βασιλείᾳ, ὅτι αὐτὸς μὲν ἠλέησέ με, σὺ δὲ διὰ γραμμάτων οὐκ ἐπαύσω παρηγοροῦσά με, καὶ ἀξιώσαι με ὁ θεὸς καὶ ἐν Θεσσαλονίκῃ προσκυνῆσαι τὴν βασιλείαν ὑμῶν καὶ τῆς ἐν τῇ βασιλικῇ στεφηφορίᾳ μὴ στερηθῆναι λαμπρότητος. ἡ ἀντίληψις τῆς βασιλείας σου χαρισθείη μοι πολυχρόνιος. τὴν κυρίαν Εἰρήνην μου ἀπὸ καρδίας ἀσπάζομαι.

17.

(Πρὸς τὸν κραταιὸν Κομνηνόν). B 55[a]

+ Πανευτυχέστατε δέσποτα καὶ αὐθέντα μου ἅγιε, ὑγιαίνειν εὔχομαι τὴν βασιλείαν σου. καὶ αὐτὸς ζῶ κατακείμενος ἐν τῇ μονῇ τῆς Περιβλέπτου καθὼς με ἀφῆκας, πλὴν χωρὶς πόνων, οὗτοι γὰρ ἔλειψαν· ἀργεῖ δὲ ἡ κίνησις διὰ τὴν τῶν γονάτων νάρκωσιν καὶ μικρὸν ὅσον ἔρχομαι καὶ ἐγὼ βασταζόμενος ἐν ξυλοκραββάτῳ, ἵνα μὴ κρεμάσας τοὺς πόδας μου εἰς τὸ ἄλογον πάθω πάλιν τὰ ὅμοια. καὶ κἂν ἐγὼ νοσῶ, ἀλλὰ τὴν βασιλείαν σου ὑγιαίνειν εὔχομαι καὶ εὐθυμεῖν, ἵνα ἔχω παρηγορίαν ἀπὸ σοῦ καὶ ἐν λουτροῖς καὶ ἐν ὀψαρίοις, τέως ἕως ὅτου ζῶμεν· ὀλίγος δέ μοι ὁ βίος ἀπάρτι καὶ ἡ περὶ ἐμὲ φροντίς σου καὶ αὕτη τάχα ὀλιγοήμερος· τοῦτο γὰρ ὁ χρόνος καὶ αἱ ἀρρωστίαι κατεπαγγέλλονται. ὃ δὲ ἀγαθὸν προέθου ποιῆσαι καὶ οἰκονομῆσαι τῇ χώρᾳ τῆς Ἄρτης ἐπισκοπεῖον εἰς αἰώνιόν σου μνημόσυνον, τοῦτο καὶ εἰς ἔργον ἀγαγεῖν προθυμήθητι καὶ ὁ θεός, ἐπεὶ παντὶ τῷ προαιρουμένῳ τὸ ἀγαθὸν συνεργεῖ εἰς τὸ ἀγαθόν, συμπράξει σοι ἐπὶ τούτῳ καὶ μέμνησό μου τῆς ταπεινότητος πολλὰ θέλοντος καὶ τὴν ζωήν σου καὶ τὸ ἀκριμάτιστον τῆς ψυχῆς σου. ἡ ἀντίληψις τῆς βασιλείας σου χαρισθείη μοι πολυχρόνιος.

18.

(Πρὸς τὸν κραταιὸν Κομνηνόν). B 57[a]

+ Ἀναζητεῖ σε ὁ λόγος μου, τὸν βασιλέα μου, τὸν δεσπότην μου· ἡ δέ γε ψυχὴ τὴν νύμφην μιμουμένη τοῦ Ἄσματος ἐρωτᾷ σε· "ποῦ μένεις ὁ νυμφίος; ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ", τούτοις δὴ τοῖς θερινοῖς καταστήμασιν, ὅτε βάλλων ὁ ἥλιος ὑπὲρ κεφαλὴν τὴν ἀκτῖνα καὶ τὸ μεσουράνημα

26 Ἄσματος] πρβλ. Ἆσμα α', 7.

10 ἀφῆκας] κ ω δ. ἠφῆκες.

φαίνων καὶ τῆς σφαίρας διατρέχων τὸ κύρτωμα τὰς μὲν ἡμέρας μακροτέρας ποιεῖ, ἀνιμᾶται δὲ τὰς ὑγρότητας καὶ ξηραίνει τὴν γῆν καὶ ποιεῖ τὸ περιέχον φλογῶδες καὶ τὴν ἐν τοῖς ζῴοις φυσικὴν ἰκμάδα διαφορεῖ καὶ διψαλέα μὲν ἀναλόγως τὰ σώματα τίθησιν, ἐκ τοῦ ἀκολούθου δὲ καὶ ἀμενηνὰ διὰ τὴν ἔκλησιν τῆς ὑγρότητος; ὅτε γοῦν τοιοῦτος καύσων ὁ ἥλιος καὶ θερμὸν ἀέρα εἰσπνέομεν καὶ τρέχομεν ἐντεῦθεν ὑπὸ σκιὰν καὶ πηγὴν καὶ ψυχάζομεν ὑπὸ δένδρον καὶ τῆς πηγῆς ἀρυόμεθα καὶ τὸ τῆς ἀλέας πολὺ ἐκκρουόμεθα, πῶς αὐτὸς ὁ ἀκάμας, ὁ καρτερικός, ὁ φερέπονος ταῖς τῶν ἀέρων μεταβολαῖς καὶ ταῖς ἐναντίαις ἀπομάχῃ ποιότησι, καὶ θέρους μὲν ὑπομένεις τὴν φλόγα, χειμῶνος δὲ διακαρτερεῖς ἀγριότητα, ὡς ἂν εἰ καὶ ξένη φύσις ἐπλάσθης καὶ ἀνδριάντος καρτερίαν ἐπλούτησας; καίτοι ἐκεῖνος ἐξ ὕλης ὁποιασοῦν στερεᾶς τεχνηθεὶς τῷ ἀψύχῳ καὶ ἀναισθήτῳ τῆς ὑπομονῆς ἐκφεύγει τὸν ἔπαινον· ἄνθρωπος δὲ πλασθεὶς ἐκ χοὸς καὶ θείῳ ψυχωθεὶς ἐμφυσήματι, ὡς ἂν καὶ χοῦς τῷ ἐμψυχώματι τιμηθῇ καὶ τὸ σῶμα ταῖς ψυχικαῖς ἐνεργείαις εἰς ὄργανον γένηται καὶ δόξαν οὕτω τῇ φύσει καὶ τοῦ αἰσθητικοῦ ἀπαιτοῦντος χαυνοῦσθαι θέρει, ὑπείκειν χειμῶνι, κόποις ἐνδιδόναι καὶ πόνοις τοῦτο δὴ τὸ σῶμα μηδενὶ τῶν λυπούντων. θέρος δὲ καὶ χειμὼν τὸ σῶμα παραλυπεῖ μηδενὶ τῶν κακούντων, πόνος δὲ καὶ κόπος τοῦτο κακοῖ μηδενὶ τῶν θεραπευόντων, ἄνεσις δὲ καὶ τρυφή, τὰ σώματα θεραπευτικὰ καὶ ὅσα ἕτερα οἰκειοῦντες ἄνθρωποι θελητήρια ἔχομεν, τοῦτο δὴ ἄκαμπτον ὂν ἐν ταῖς μεταβολαῖς τῶν καιρῶν, ἀχείρωτον ταῖς ἀνέσεσι, κόποις καὶ πόνοις καὶ ἀγρυπνίαις ἀδούλωτον. οὐκ οἶδα εἴ τις ἔπαινον προσοίσει τούτῳ τὸν ἄξιον, κἂν εἰ καὶ δέκα στόματα κατὰ τὴν ῥαψῳδίαν πλουτήσῃ, κἂν εἰ καὶ γλώσσας ἰσαρίθμους λάβῃ τοῖς στόμασιν· ὡς ἔγωγε τοῦτο μόνον εἰσφέρω τῷ τοιούτῳ σώματι ἁρμόζον ἐγκώμιον, τὴν τῶν ἐπαίνων ἀδυναμίαν. ἔστι δὲ μεγίστη τῷ ἐγκωμιαζομένῳ ὑπόθεσις τὸ μὴ τοὺς λόγους ἐξισοῦσθαι τοῖς πράγμασι δύνασθαι, μηδὲ τοὺς ἐπαίνους τοῖς κατορθώμασιν. ἀλλὰ σὺ μέν, ὦ βασιλεῦ καὶ σῶτερ ἡμέτερε, τοσοῦτον τὸ ὑπομονητικὸν καὶ τὸ καρτερές, τοσοῦτόν σοι καὶ τοῦ σώματος τὸ πρὸς τὰ δυσχερῆ ἀνυπότακτον καί σου τοῖς πόνοις παρατρυφῶμεν καὶ τοῖς ἀλγεινοῖς ἐνηδόμεθα· ἔδει δὲ καὶ ἡμᾶς ὡς εἰς ἀρχέτυπον ἀφορᾶν τὴν σὴν καρτερίαν καὶ εἰκονουργεῖν ἑαυτοῖς καὶ μιμεῖσθαι τοὺς ὀξυπτέρους, οἳ τὰ γενναιότερα τῶν ὀρνίθων εἰς θήραν τοῖς ἀετοῖς ἀπολείποντες αὐτοὶ τὰ μικρὰ στρουθία θηρεύουσι καὶ περίγεια καὶ τὸ ὅλον οὐκ ἀχρηστεύουσιν, ἀλλὰ καὶ τοῖς κυρίοις καὶ ἑαυτοῖς τὴν δυνατὴν κυνηγεσίαν

23 ῥαψῳδίαν] Ἰλ. Β, 489. 28 ὑπομονητικὸν] κ ω δ. ὑπομενετικὸν.

6 κ ω δ. ἀρρυόμεθα. 10 στερρεᾶς. 11 τεχνιθεὶς. 13 ἐν φυσήματι.

προσάγουσιν. ἔδει γοῦν οὕτω ποιεῖν ἡμᾶς καὶ μὴ σκιατραφεῖσθαι τὸ ὅλον καὶ παντελῶς γυναικίζεσθαι καὶ καταδιώκειν μόνον τὰ ἡβήτερα, ὅτε καὶ ταῦ-
B 573 τα σύγχυσις κοσμικὴ καὶ φορὰ πραγμάτων ἀνώμαλος ἀλλ' ἔστιν οὗ || καὶ πόνων ἐν τῷ μέρει στρατιωτικῶν ἀντιλάβεσθαι, μὴ μέντοι ἀκτὰς τὰς θαλασσίους περισκοπεῖν καὶ συλλέγειν ἐκεῖθεν στρογγύλα βωλάρια, ὅσα τῇ θαλασσίᾳ φορᾷ μεταφερόμενα καὶ μετακινούμενα στρογγύλονται μὲν ἐκ τῆς παρατρίψεως, εἰς παίγνια δὲ τοῖς κοριδίοις ἐπισωρεύονται, μηδ' ἀναπετάζειν ταῦτα πρὸς τὸν ἀέρα καὶ τὴν παλάμην μετάγοντας τὴν καταφορὰν τῶν ἀναρριφέντων δέχεσθαι τῷ καρπῷ καὶ τῷ πλείονι τοῦ ποσοῦ τὴν νίκην ἐπιμετρεῖν, τῷ δὲ καταχθέντι ὀλιγοδόχῳ τῷ ἀντιπαίζοντι τὴν ἧττα ν ἐπιψηφίζεσθαι καὶ τύπτειν οὕτω κονδύλοις περὶ τὸν πῆχυν τοῦ ἡττηθέντος, καὶ ταῦτα μὲν ὅλης διαπαίζειν ἡμέρας, νυκτὸς δὲ χοροῖς περιλορδοῦσθαι καὶ περιστρέφεσθαι καὶ ἄμφω ταῦτα ἐπὶ νυκτῶν ἐνεργεῖν, λαμπαδουχίαν καὶ χοραυλίαν καί που καὶ ὀργὴν ἐπάγειν ἀκάθεκτον ὅσοις καὶ ὅσαις εἰς κόρον ἔφθασε τὸ περὶ χορούς ἐθίζεσθαι πάννυχα, μηδὲ περὶ τῶν γυναικείων κόσμων ἀσχολίαν τρέπειν τὴν πᾶσαν καὶ συνάγειν ἀργυροκόπους καὶ τυραννεῖν τὸν χρυσὸν εἰς ἐνώτια καὶ στρεπτοὺς καὶ καταμάργαρα περιδέραια καὶ πόνον ἔχειν τὸν πανημέριον εἰς τὸ καταμαργαροῦν καὶ καταχρυσοῦν τὸ τῶν ἀνίσων εὐθειῶν ἐμβαδόν, αἳ τοῖς γυναικείοις προσραπτόμεναι ἱματίοις τοὺς πήχεις ἑκατέρους τῶν γυναικῶν τῇ τεχνικῇ παραθέσει καὶ τῇ ἐξάλλῳ αὐγῇ, οὐ μόνον δὲ ἀλλὰ καὶ περὶ τὰ ἄλλα διαπονεῖσθαι, ὅσα ἐν πλέγμασιν, ὅσα ἐν γυναικείων ἐφεστρίδων λαμπρότησι· τὰ δὲ ἐν ὀλιγωρίᾳ τιθέμεναι, ὧν τὴν χρῆσιν καιρὸς ἀπαιτεῖ καὶ ἡ τῶν πραγμάτων κατάστασις ἐφέλκει πρὸς ἑαυτήν. ἀλλὰ ταῦτα μὲν παιζέσθωσαν, οἷς ἡ περὶ ταῦτα νεῦσις, καὶ σπουδαζέσθωσαν, ἡμεῖς δὲ συνταξάμενοι· ἐξεφωνήθη γὰρ τοῖς πᾶσι δεσποτικὸν ἐπιτίμιον, ὅσοις ῥάκος καὶ κουρὰ τριχῶν τὸν βίον διίστησι καὶ ὅσοις πατητὸν τὸ πολίτευμα, μὴ προσαγορείας ἀξιοῦσθαι τὸν μητροπολίτην μηδὲ προσόψεως. καὶ φέρω τὴν ἐπιτίμησιν ἄχρι καὶ τῆς εἰκοστύος τοῦ τρέχοντος Αὐγούστου μηνὸς καὶ εἰμὶ ὡς μὴ ὤν, πρᾶγμα τοῖς φιλοσόφοις ἀπορηθέν· τὸ ὂν καὶ τὸ μὴ ὂν ὡς ὂν ὑπολαμβάνειν ἀδύνατον· ἀλλὰ καὶ φιλοσόφων δόξαι καινοτομοῦνται τῇ αὐτονομίᾳ τοῦ κρίνοντος. τὰ ἐμὰ ὑποζύγια καὶ ἄσαρκα καὶ καταπλῆγμα ἐκ τῆς ὁδοιπορίας γενόμενα πολλάκις τῆς ἐν Ναυπάκτῳ νομῆς ἐδιώχθησαν, κατὰ συγχώρησιν δὲ τῶν ἱπποκόμων καὶ ἔλεον, ἀλλ' οὐ κακὰ δεσποτικὴν εὐσπλαγχνίαν συνεχωρήθησαν νέμεσθαι. ἐκεῖσε δέ, ὅπου πρῶτον ἵππος ἡ δε-

5 στρογγύλα] κ ω δ. στρογγύλια.

2 κ ω δ. σύνχυσις. 22 ὀλιγορία. 27 προσώψεως.

σποτικὴ νεμηθεῖσα καὶ τὴν βοτάνην βρωμησαμένη ἄχρις εἰς ῥίζαν κοπρου μὲν ἐπλήρωσε τὸ πεδίον, χλόης δὲ οὐδὲν ὑπελείπετο· χωρίδιον ὀλιγάνθρωπον ὑπὸ τὴν ἐκκλησίαν μὲν ὄν, τῇ Ναυπάκτῳ δὲ παρακείμενον, πῦρ ἀνάψας κατεπυρπόλησεν, ὡς τοὺς ἐκεῖσε τοιούτους οἰκτροὺς μετὰ τὴν καῦσιν ὁρᾶσθαι, ὁποίους τοὺς ἐκ ναυαγίου περισωθέντας, καπνηροὺς τὴν ὄψιν, κεχρισμένους ἀσβόλῃ, φιλανθρώποις ὀφθαλμοῖς συμπαθείας ἀξίους· οἷς ὁ σῖτος ὑπολέπεπται, οὐ κριθή, οὐ τὸ ἐκ ψιαθίου ὑπόστρωμα, οὐκ ἄλλο οὐδέν, οὐδὲ ξυλίνη ἐγκατοίκησις τοῦ πυρὸς τὴν πενιχρὰν οὐσίαν τῶν ἀθλίων καταφαγόντος. τοῖς ἁλιεῦσι τῆς ἐκκλησίας οὐκ ἀπολέγει μὲν τὸ ὀψώνιον, τὸν εἰς τὴν ἄγραν δὲ πλοῦν ἐσβατον αὐτοῖς γενέσθαι οὐ συγχωρεῖ, ἂν μὴ τῇ τοῦ δεσπότου τραπέζῃ ἐπιμετρῶσιν ἡμερησίους ἰχθῦς. ταῦτα δέσποτά μου βασιλεῦ, καὶ πλείω τούτων καὶ χείρονα οἱ καρποὶ τῆς μοκρᾶς ἐκείνης παραγγελίας καὶ τοῦ χρυσοβούλλου ἡ δύναμις.

19.

B 58α

Τῷ βασιλεῖ.

Ἅγιέ μου δέσποτα καὶ βασιλεῦ θεόσωστε, θεοφρούρητε, πολλά με τὰ πείθοντα ἐκτενέστερον τῆς βασιλείας σου ὑπερεύχεσθαι, τὸ πρᾶον, τὸ ἥμερον, τὸ χάριεν, τὸ ἐλεύθερον, ἡ πρὸς πάντας ἐκ ταπεινώσεως μία καὶ ἡ αὐτὴ συγκατάβασις· καὶ ἄλλος μὲν τυχὸν βασιλεὺς καὶ τὴν ὀφρὺν ἴσως ἄρῃ
B 58β καὶ διὰ λειμμάτων τὰς ὀμυλίας ποιήσεται καὶ ἀγνοήσει ‖ τὴν φύσιν ὡς βασιλέως καὶ ἰδιώτου μία καὶ ἀποστρέψει· τοὺς ὀφθαλμοὺς αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος ἢ καί ποτε καὶ βύσει πρὸς τὰς ἀναφορὰς ἀκοήν, ὡς μὴ φωνῆς ἀκοῦσαι τῶν δεομένων συνάξει τε τὰς ὀφρῦς καὶ χαλάσει τὸ ἐπισκύνιον, ἀξίωμα τὸ βασιλικὸν οἰόμενος παραδεικνύειν ἐκ βλοσυρότητος καὶ τῷ τοιούτῳ τὰς πρὸς αὐτὸν ἐντεύξεις ἐναποκρούεσθαι καὶ τὴν βασιλείαν ἡγήσεται οὐκ ἀρχὴν ὑπερέχουσαν, ὅπερ ἐστὶν ἀλλὰ διαστολὴν τὴν πρὸς τοὺς ἄλλους καὶ ἀποχώρησιν καὶ τῆς φυσικῆς ταὐτότητος ἀποξένωσιν. ἀλλ' οὐ βασιλικως ποιήσει οὗτος ὁ βασιλεὺς οὐδὲ Χριστοῦ μιμήσεται συγκατάβασιν· τὸ γὰρ ἀλλογενές, ὡς ἔοικε, καὶ τὸ κοκκινον, ἥ τε καταμάργαρος ἐσθὴς καὶ ὁ στέφανος τοῦ τοιούτου βασιλέως ὑπεκκρούοντα ἄλλον εἶναι τοῦτον παρὰ τοὺς ἄλλους ὑπόθωνται καὶ φύσιν ἐξηλλαγμένην τε καὶ ἀλλόκοτον. ὁ δὲ τοιοῦτος καὶ ὀργίζεται ταχέως καὶ ἐν σποδιᾷ τῇ ψυχῇ παραφυλάξεται τὴν ὀρ-

8 ἐγκατοίκησις ?] ἐν τῷ κώδ. ἐ γ ν ή ρ ϊ σ ϊ ς, λέξις ἀνύπαρκτος καὶ ἀκατάληπτος. 20 ἀποστρέψει — εἰς τέλος] πρβλ. Ψαλμ. θ', 32. 31 ὀργίζεται] κ ῶ δ. ὀργιεῖται.

γὴν καὶ ὑπανάψει ταύτην μετόπισθεν καὶ τὸν κότον ἐκεῖνον θήσεται εἰς συντέλειαν καὶ τοῖς ὀργισθεῖσι τὸ ἀνταπόδομα ἀνταποδώσεται· καὶ πῶς ὁ τοιοῦτος ἐτυμολογηθήσεται βάσις εἶναι λαοῦ καὶ ἔδρα καὶ στήριγμα τῷ ὑπηκόῳ μὴ προσφερόμενος εὐμενῶς μηδὲ διαλύων ὀργήν, ἀλλ' ὡς ἐν μοχλίῳ τῇ ὀργίλῳ ψυχῇ ὑποσαλεύων οἷον καὶ ὑποσπῶν τοὺς θεμελίους τῆς εἰς αὐτὸν ἀγάπης τῶν ὑπηκόων παρακινῶν τε τούτους καὶ παρασαλεύων ἐντεῦθεν τῆς πρὸς αὐτὸν εὐνοϊκῶς διαθέσεως; ἀλλ' οὐ σὺ τοιοῦτος, ἐξ ἱλαρότητος δέ, ἐξ ἐλευθέρου τοῦ ἤθους, ἐξ ἁπλότητος ψυχικῆς ἕνα τῶν πολλῶν ἡ γῇ σεατὸν καὶ πάντας ἕλκεις εἰς τὴν σὴν ἐπιπόθησιν. καὶ πῶς ἀξίως ἐπαινέσομαί σου τὰ μέτρα τῆς πρὸς ἡμᾶς χριστομιμήτου συγκαταβάσεως; εὖ γὰρ εἰδὼς πηλὸς οὐ διαφέρει πηλοῦ, κἂν ἔξωθεν χρυσῷ περιχρώζηται, τὴν μὲν βασίλειον ἀμπεχόνην φορεῖς, τὴν δ' ἔνδον φύσιν οὐκ ἀγνοεῖς καὶ γίνεταί σοι ἡ γνῶσις αὕτη ἀρχὴ καὶ μέση καὶ τελευτὴ ταπεινώσεως. εἰ δὲ βούλει, καὶ ὥσπερ χρυσῇ σφραγῖδες καὶ ἀργυρᾶ σιδερέα τε καὶ χαλκῇ ἐκτυποῦσαι κηρὸν τὴν μὲν ὕλην διάφορον ἔχουσι, τὸ δ' ἐκτύπωμα οὐ διάφορον· οὕτω βασιλεὺς καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα καὶ ὁ καθ' ἕκαστα· ἔξωθεν μὲν ἁλουργὶς πορφύρα καὶ μάργαροι, ἔσωθεν δὲ διάπλασις ἡ αὐτὴ καὶ τὸ φυσικὸν ἐκσφράγισμα ἀπαράλλακτον. ταῦτα καὶ τὰ πλείω τῶν σῶν, ὁπόσα τὸν τοιοῦτον βασιλέα κοσμοῦσι, καὶ τὰς ὑπὲρ σοῦ εὐχὰς προκαλοῦνταί μου καὶ σιωπῶσα καὶ φθεγγομένη ἔντευξιν γίνομαί σοι τὰ εἰς θεόν. καὶ ἄλλος μὲν ἢ εἶδεν ἢ ἤκουσε τῶν τινα βασιλέων τῷ στήθει θαλαμεύοντα τὴν ὀργὴν σὺ δὲ οὐκ αὐτῆμαρ καταπέττεις τὸν χόλον, ὡς Ὁμήρῳ δοκεῖ, οὐδὲ κοτέεις ἐς χρονικὰ διαστήματα, εὐθύωρον δὲ καὶ ὀργίζῃ καὶ εὐθύωρον συγχωρεῖς. οἶδεν ὃ λέγω ἡ ἐν Ἄρτῃ κατὰ τοῦ Θεσσαλονίκης ὀργή, ἥτις ἀνήφθη μὲν ὡς πυρσός, ἐκ τοῦ πάραυτα δ' ἀπέσβη ὥσπερ σπ,νθήρ· καὶ ὃ περὶ τῶν θαλασσίων κυμάτων φησὶν ὁ Δαυὶδ ⟨" ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων ", ἢ " ἀναβαίνουσιν ὡς ὄρη καὶ καταβαίνουσιν ὡς πεδίον ", τοῦτο καὶ τότε ἦν ἰδεῖν ἐνεργούμενον, ἄναψιν ὀργῆς ἐκφανῆ καὶ σβέσιν ταύτης ἀκόλουθον, ὡς συναφθῆναι ἀλλήλοις κατὰ τὰ ἐν σώμασιν ἀλληλένδετα καὶ τὴν ἀγανάκτησιν καὶ τὸν οἶκτον. βαβαὶ τῆς συντόμου σβέσεως τοῦ τότε θυμοῦ καὶ τοῦ κατὰ ψυχὴν τὴν σὴν κλυδωνίου καὶ τῆς συντρόχου γαλήνης. οὕτω βασίλευε, βασιλεῦ, οὕτως ὀργίζου, οὕτω συγχώρει, ὡς μήτε τὸν κότον παραμένειν ἐν τῇ ψυχῇ καὶ τοῦτ' αὐτὸ κότον ἐκ τοῦ κεῖσθαι παρονομάζεσθαι καὶ τὸν οἶκτον τοῦ τοιούτου πάθους μὴ διαζεύγνυσθαι, ὁποῖα ταῦτα ἐν τῷ ἐμῷ σοι βασιλεῦ κατεῖδον ἐγὼ ἐν τοῖς τοιούτοις καιροῖς πολ-

2 κῶδ. ἀνταπόδωμα.

λάκις παρατυχών. καὶ σὺ μὲν οὕτω ποίει καὶ κυρίου ὀργὴν οὐ φοβηθήσῃ
ποτὲ οὐδ' ἐκ τοῦ κατὰ φύσιν ἀοργήτου ἴδῃς τοῦτον εἰς τὸ παρὰ φύσιν κι-
B 59a νούμενον, τὴν ὀργήν, ἀλλ' ὅλον ἵλεων, ὅλον συμπσθῆ, ὅλον ἀόργητον || τὰ
εἰς σέ. καὶ τὰ μὲν σὰ οὕτως ἔχοι καὶ ἕξοι, ἐμὲ δὲ καὶ ἡ τοῦ Μαρτίου
τρισκαιδεκάτη εἶδε κατὰ τὴν Ἄρταν τῇ κλίνῃ προσηλωμένον· " τὰ γόνατά 5
μου " γὰρ " ἠσθένησαν " οὐκ " ἀπὸ νηστείας ", ὡς ψάλλει Δαυίδ, ἀλλ' ἐκ
μοχθηροτέρας τῆς ὅλης καὶ τῆς ἐξ ἁμαρτημάτων κακώσεως καὶ καθ' ἑαυ-
τὴν μὲν τὴν ποδοκάκην ἐμίσησα, ἠγάπησα δὲ ἄλλως, ὅτι τῶν κατὰ Ναύ-
πακτον ὀδυνῶν ἐπὶ καιρὸν ἐλυτρώσατο καὶ τὸ φεικτὸν καθ' αὐτὸ ἐγένετό
μοι δι' ἕτερον αἱρετόν. καὶ ἀξιωθείην καὶ ἐπιζῆσαι καὶ ἐμοῦ σου βασιλέως 10
αὖθις κατατρυφῆσαι, μηδ' ἐς τοσοῦτον ἐλάσαι με τὸ δυστύχημα ὡς τῆς σῆς
στεφηφορίας ἀπολειφθῆναί με καὶ τῆς χρίσεως, ὦ καλαὶ βασιλεῦ, ὦ τὰ πάν-
τα χρηστέ, ὦ τὰ εἰς ἐμὲ συμπαθέστατε. καὶ ὡς τοῦ εὐχὴν ἐπαναλαβεῖν
δῴη σοι κύριος πάντα τὰ αἰτήματα τῆς καρδίας σου καὶ πᾶσαν τὴν βουλήν
σου πληρώσαι, ἅ εἰσιν, ὡς ἐγὼ εὐστόχως ὑπολογίζομαι, πάντα συμπατῆσαι 15
ἐχθρὸν καὶ γῆν πατῆσαι τῆς Κωνσταντίνου καὶ τὴν ἐν τοῖς ἐκεῖσαι βασι-
λείοις αὐλὴν· ἀκόλουθον δὲ τῷ πατήματι τούτῳ καὶ ἡ ἐπὶ θρόνου τοῦ βα-
σιλικοῦ κάθισις καὶ ὅσα τῇ καταστάσει ταύτῃ ἑπόμενα. ἐμοὶ δὲ γίνου κατά
τε τὸ παρὸν καὶ εἰς τὸ ἑξῆς προνοητικὸς καὶ φιλεύσπλαγχνος· τὸ γὰρ γῆ-
ρας τοῦτο τὸ βαθὺ καὶ λυπρὸν καὶ προνοίας χρῄζει βασιλικῆς καὶ τῆς ἐν- 20
δεχομένης περιποιήσεως.

20.

B 60a *Τῷ κραταιῷ βασιλεῖ.*

Ἡ φωνή σου ἠκούσθη, μέγιστε βασιλεῦ, καὶ ὅσον ὅσον κυρίου χριστέ,
πρὸς τὰ κατώτερα μέρη τῆς γῆς· τοιαύτη γὰρ ἡ Ναύπακτος πρὸς τὰ ἀνω-
τερικώτερα ταῦτα καὶ ὑψηλότερα καὶ ὡς ἐκέλευσας, ἤγειράς με Λάζαρον ἄλ- 25
λον ὡς ἀπὸ τάφου τῆς κλίνης ἐνεθαπτόμην γὰρ ὡσανεὶ τῷ κραββάτῳ διὰ
τὴν ὁλοσώματον πάρεσιν), ὅλα δὲ τὰ τοῦ τότε θαύματος πληρῶν ἐν ἐμοὶ
" λύρατε αὐτὸν " προσεῖπας " καὶ ἄφετε ὑπάγειν " καὶ κατὰ τὸ πρόσταγμά
σου τῶν ἐνταφίων ἀπελύθη δεσμῶν. τίνων τούτων; τῆς ἀκηδίας, τῆς ἐκ τοῦ
γήρως ταλαιπωρίας, τῆς τῶν ποδῶν ἀσθενείας καὶ ἐβάδισεν ὁ νεκρὸς ἄχρι 30
καὶ τοῦ Κίτρους αὐτοῦ· ἕνα δὲ ἀπὸ τῶν ἐμῶν πρὸς τὴν βασιλείαν σου στεί-
λας ἐρωτῶ, " ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ Πάσχα μετὰ τῶν μαθητῶν
μου φάγω "; ἐμοὶ δὲ πάντως εἰσὶ μαθηταὶ οἱ παρ' ἐμοῦ τραφέντες, πάσχα
δὲ ἡ ἀπὸ τῆς μακρᾶς ὁδοιπορίας διάβασις πρὸς τὴν ἐν Θεσσαλονίκῃ ἐλπι-

ζομένην ἀνάπαυσιν ὑπὸ σοῦ. μήτε γοῦν ἀνώγεων ἐστρωμένον καὶ μέγα τῷ
ἀποστόλῳ μου δείξῃς μήτε διωρόφοις οἰκίας καὶ τριωρόφους, τόπον δέ τινα
ἀέρι καταπνεόμενον καὶ τὴν ἐξ ὕδατος γλυκεροῦ παράκλησιν ἔχοντα καὶ χαῖ-
B 60b ρε, κράτιστε θαυματουργὲ βασιλεῦ, ὅτι καὶ νεκροὺς μόνῳ λόγῳ διανιστᾷς ||
5 καὶ μέλη παρειμένα ῥήματα τῷ σῷ ἀρτιεῖς καὶ πλέων ὧδε τοῦ Λαζάρου
τερατουργεῖς· ἐκεῖνος μὲν γὰρ ἐκ τοῦ τάφου πρὸς τὴν ἑαυτοῦ οἰκίαν ἐβάδι-
σεν, ὀλίγον δὲ τὸ ἀπ' ἐκείνου πρὸς τὴν θηθανίαν διάστημα· ἐγὼ δὲ ὁ με-
ταχρόνιος Λάζαρος εἰς Θεσσαλονίκην ἀπὸ Ναυπάκτου " ὁδὸν δολιχὴν ἀργα-
λέην τε ".

21.

B 62b *Τῷ βασιλεῖ.*

Ἡμέρα μία, μέγιστε βασιλεῦ, βίος ὅλος τοῖς πόθῳ κάλνουσιν, ἐγὼ δὲ
λέγω καὶ τὸ βραχὺ διάστατον ἡμιώριον ψυχὴν τοῦ σώματος ἀπαλάττειν τῶν
οὕτω διακειμένων. εἰ γοῦν ἕνι καὶ ζῆν τινα καὶ τὴν ψυχὴν ἀπερεύγεσθαι,
τοῦτο νόμιζε πάσχειν καὶ τὸν Ναυπάκτου ἀποδιαστάντα τῆς βασιλείας σου·
15 δοκῶ μὲν γὰρ συνεῖναί σοι καὶ τοὺς ὀφθαλμοὺς ἐστιᾶν τῇ θεωρίᾳ τῆς βα-
σιλείας σου, ἀπ' αὐτῆς δὲ πάλιν χάριτας ἀντιλαμβάνειν βασιλικὰς καὶ τὴν
ἐγκάρδιον πρόσρησιν. οὕτω ταῦτα φαντάζομαι, οὕτω καὶ ζῶ καὶ τελευτῶ
διὰ σέ· ὅτε μὲν γὰρ οὐκ ἔχω σε ἄντικρυς, τελευτῶ, ὅτε δέ σε φαντάζομαι,
καὶ πνεῦμα συλλέγω καὶ μετὰ τῶν ζώντων εἰμὶ καὶ τάχα παρέοικα τοῖς ἐν
20 ὀνείρῳ πλουτοῦσι καὶ τοῖς δραττομένοις σκιᾶς. γένοιτο δέ μοι διὰ βραχέος
αὖθις προσκυνῆσαι τῷ βασιλεῖ μου καὶ τῶν ὀνείρων ἀπαλλαγῆναι καὶ τῶν
φαντασμάτων ἀπολυθῆναι· ὅπου γὰρ ἥλιος, οὐ σινίσταται νέφος καὶ ἔνθα
συνουσία ἕνι πράγματος, σκιαὶ καὶ ὄνειροι διαλύονται. γένοιτό μοι ταῦτα τὰ
εὐτυχήματαα πολυχρονούσης τῆς βασιλείας σου. ||

22.

25 *Τῷ κραταιῷ βασιλεῖ.*

B 63a || Ἐξέκρουσε τοῦ κατ' αὐτὸν ἁγιωτάτου κελλίου, δέσποτά μου καὶ βασι-
λεῦ, καὶ γυμνὸν καὶ ἀπέρριττον καὶ τὸν ἐν τοῖς πράγμασιν ἐνδέξιον πατέρα
μου, τὸν Στειρίου, ὁ τῆς Λατινικῆς ἐπηρείας βίαιος πάσσαλος· εἰ δὲ πολλὰ
καὶ οὗτος τοὺς Λατίνους ἀντεπασσάλευσε τῇ κατ' αὐτὸν πραγματικῇ δεξιό-
30 τητι, ἀλλ' ὅμως ἴσχυσεν ὁ ἐκείνων καὶ τῆς ἰδίας κέλλης τοῦτον ἐξήγαγεν.
ὁ γοῦν λειπόμενον ἦν, τὸ πρὸς τὴν σὴν βασιλείαν τοῦτον ἀναδραμεῖν, αὐτὸ

τοῦτο κατὰ ἀριστοβουλίαν ἐποίησε πάντως γνοὺς καὶ μαθών, ὡς ὁ ἐμὸς αὐθέντης καὶ βασιλεὺς τὰ πρὸς ἀνάπαυσιν αὐτοῦ καὶ ζωὴν μετὰ βασιλικῆς φιλοτιμίας ἐκπερανοῖ, καὶ δέομαί σου μὴ στραφῆναι τὸν γέροντα τεταπεινωμένον, κατησχυμμένον. τίς δὲ καὶ ἄλλος ὤφθη τῷ προσώπῳ τῆς βασιλείας σου καὶ οὐκ εὐηργετήθη βασιλικῶς; καὶ ὡς ἐξ Ὠκεανοῦ πᾶσαι μὲν πηγαί, πάντα δὲ φρέατα, εἴ τι πειστέον τῷ περιηγησαμένῳ τὴν γῆν, οὕτω κἀκ τῆς σῆς βασιλείας παντοίων εὐεργετημάτων ἀπόρροιαι. καὶ χαρίζου μοι, μέγιστε βασιλεῦ, πᾶσιν ἡμῖν σωτὴρ πρόμαχος, εὐεργέτης πλουτοποιός.

23.

B 63α

Τοῦ αὐτοῦ εὐχὴ πρὸς τὸν βασιλέα.

Ὁ στερεώσας ἐν σοφίᾳ τοὺς οὐρανοὺς καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ὁ διὰ Μωσέως μὲν τὸν Ἀμαλὴκ τροπωσάμενος, διὰ δὲ Ἰησοῦ τοῦ Ναυὴ τὸν Σηὼν καὶ τὸν Ὤγ, βασιλεῖς κραταιούς, διὰ δὲ Γεδεὼν τοὺς Μαδιηναίους, διὰ δὲ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ τὰ μυρία κατεργασάμενος τρόπαια, αὐτὸς ὑποτάξοι καὶ σοὶ τῷ βασιλεῖ ἡμῶν καὶ δεσπότῃ πάντα ἐχθρόν, πάντα πολέμιον καὶ τόξον θείη χαλκοῦν καὶ τοὺς βασιλικούς σου βραχίονας καὶ τοῦ ὑποτεταγμένου σοι φιλοχρίστου στρατοῦ· καὶ διδάξοι τὰς χεῖρας ὑμῶν εἰς παράταξιν καὶ τοὺς δακτύλους εἰς πόλεμον, ὡς ἐνώπιον τῶν ποδῶν σου τοὺς ἐχθροὺς σου πεσεῖν καὶ χοῦν αὐτοὺς λεῖξαι καὶ δοῦναί σοι νῶτα καὶ τὴν ὀργήν σου κατ' αὐτῶν πῦρ αὐτοῖς λογισθῆναι κατακαῖον καὶ ἀφανίζον. γένοιτο ταῦτα ἐν Χριστῷ τῷ θεῷ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

24.

B 64β

Τῷ κραταιῷ βασιλεῖ.

Ὁ παρών, μέγιστε βασιλεῦ, εἴτε καθαρός ἐστιν, εἴτε αἴλουρος εἴτε μικτός, περὶ τούτου τέως οὐ χρεία ζητεῖν, πλὴν ὅτι εἷς ἦν καὶ οὗτος ὡς οὗτοι τῶν ἐν Ναυπάκτῳ φρουρῶν, καὶ χρόνους ἤνυσεν ἐν αὐτῷ περίπου τοὺς εἴκοσιν εἶτα ἔκ τινων ἀναγκῶν καταλιπὼν τὴν φρουρὰν (καὶ λεγέτω οὗτος τοὺς

10 Ὁ στερεώσας — ἑδράσας] πρβλ. Ψαλμ. λβ', 6. ριε', 6. 11 ὁ διὰ Μωσέως — τροπωσάμενος] πρβλ. Ἐξόδ. ιζ', 8—16. 12 Σηὼν καὶ τὸν Ὤγ] πρβλ. Ἀριθ. κα', 21—35. Ἰησ. β', 10. θ', 16 || Γεδεὼν] πρβλ. Κριτ. ζ', 1—25 || Μαδιηναίους] κ ῶ δ. μαδιηνέους.
15 τόξον θείη χαλκοῦν] πρβλ. Ψαλμ. ιζ', 34. 16/17 διδάξοι — πόλεμον] πρβλ. Ψαλμ. ρμγ', 1. 17 ὡς ἐνώπιον — πεσεῖν] πρβλ. Ψαλμ. ρθ', 1. 18 χοῦν αὐτοὺς λεῖξαι] πρβλ. Ψαλμ. οα', 9 || δοῦναί σοι νῶτα] πρβλ. Ψαλμ. ιζ', 41. 19 ὀργήν — κατακαῖον] πρβλ. Ψαλμ. πη', 47.
22 αἴλουρος] κ ῶ δ. ἔλουρος.

25 κ ῶ δ. εἴκοσι.

τῆς ὑποχωρήσεως τρόπους) πρὸς τὴν ἀντίπορθμον ἡμῶν διεπλωΐσατο Πάτραν καὶ μετ' ὀλίγον αὖθις μετήνεγκεν εἰς Ναύπακτον ἐλπίζων καὶ ἐπὶ τῆς τὰ πηδάλια φυλακῆς αὐτοῦ στῆναι καὶ ἐπὶ τοῦ προτέρου ἀποκαταστῆναι μισθοῦ. οὐ προσεδέχθη δὲ παρὰ τοῦ σοῦ ἀδελφοῦ καὶ ἂν κατέλεξα ἔγωγε τὰς εὐλόγους ἀφορμὰς τῆς εἰς Πάτραν ἐνδημίας αὐτοῦ, εἰ μὴ μακρολογεῖν τε ἔμελλον καὶ τὸ πᾶν ἀκαιρολογεῖν ὡς ἐπιληψίμων ἐξηγητής. οὗτος δὲ καθαρῶς ἑλληνίζων αὐτὸς ἐξαγγελεὺς ἐσεῖται τῶν κατ' αὐτόν, τοῦ προσληφθῆναι δὲ τοῦτον ἐσαῦθις ἐν Ναυπάκτῳ φρουρὸν παρὰ τοῦ αὐταδέλφου τῆς σῆς βασιλείας ἐν ἀνελπίστῳ κειμένου· τὸ λοιπόν ἐστιν εὐκατάληπτον, ὡς βασιλικῆς δηλονότι προσλήψεως ἐπιδέεται καὶ περιποιήσεως πάντως τῇ παραδοχῇ ἀκολούθου. χαρίσαιτό μοι ὁ κύριος τὸν βασιλέα μου πολυχρόνιον. ||

25.

B 65β

Πρὸς τὸν βασιλέα.

+ Ἅγιε δέσποτά μου καὶ θεοκυβέρνητε βασιλεῦ, εὐοδοῦ ἀπὸ κυρίου καὶ κατευθύνου καὶ καταπολέμει ἐχθροὺς καὶ ταῖς πόλεσί σου πόλεις προστίθει καὶ τοῖς κατορθώμασί σου σύναπτε κατορθώματα καὶ αὔξανέ σου τὸ λάχος τὸ σὲ καὶ μόνον γνωρίσαντα ῥύστην καὶ προστάτην καὶ φύλακα. καὶ σοὶ μὲν οὕτω θεὸς διδοίη τὰ πράγματα, ἐμὲ δὲ τὸν σὸν εὐχέτην γίνωσκε, δέσποτά μου, πάσῃ ταλαιπωρίᾳ παλαίοντα σώματος καὶ τὸν χρόνον τοῦτον ἤδη τριπλούμενον, ἀφ' οὗ ἐπανῆλθον ἐκ τῶν Σκοπίων. ἐκπολεμωθέντα μοι εὗρον καὶ πολλὰ ἐπάγοντά μοι καὶ διάφορα τὰ νοσήματα, ἐπιβρίσαν δὴ καὶ τὸ γῆρας ἐπὶ τὰς ἀσθενείας προσέθετο. ἀλλ' οὐκ εἰς τέλος ἀθέατος αἰτοῦμαι τῇ βασιλείᾳ σου· ἐνισχύσει γάρ με θεὸς καὶ πρὸς αὐτὸν δραμοῦμαι καὶ βασιλικάς σου κατασπάσομαι χεῖρας. ὁρισμόν σου δὲ προσκυνητὸν μετὰ τοῦ παρόντος δεξάμενος Μοσχοπούλου, παρακελευόμενον περὶ τῆς ἐπισκοπῆς Βελᾶς ὅσα παρακελεύεται, τοῦτο μόνον ἀντιγράφω πρὸς τὸ παρόν, ὅτι ἐβράδυνεν ἡ ἐνθύμησις εὐτρεπισθέντος ἑτέρου πρὸς τὴν αὐτῆς ἐπισκόπησιν. ὅμως δέ, δέσποτά μου, ἐπεὶ ψῆφος μέλλει προβῆναι, μνησθησόμεθα καὶ τοῦ ἱερέως καὶ ἂν ἐπ' αὐτῷ ὁ θεὸς εὐδοκήσῃ, φθόνος οὐδείς. τέως, δέσποτά μου, χθὲς ἐποίησα ἐξ ὁρισμοῦ σου Ἰωαννίνων ἐπίσκοπον καὶ σήμερον πάλιν περὶ ἑαυτὴν ἡ βασιλεία σου καὶ ταύτην ἕλκει τὴν ἐκκλησίαν· ἔοικε δέ, ὡς παντελῶς με ἀναλφάβητον ἔχεις καὶ διὰ τοῦτο τοιούτους μοι διαπέμπεις, ὡς φίλον εἶναι τὸ ὁμοίῳ τὸ ὅμοιον. ταῦτα ὡς ἐν ἀστείσματι· πληροφορήθητι δέ, ὡς εἰσὶ καὶ ἕτεροι τοῦ ἱερέως σου κρείττονες κατὰ γνῶσιν τέως. ὃ δὲ προεῖπον, ἐὰν ἐπ' αὐτῷ εὐδοκήσῃ ὁ κύριος, ἐσεῖται καὶ ὁ Ναυπάκτου τοῦ τῆς

βασιλείας σου ὁρισμοῦ, ἣν καὶ ἀξιώσαι με κύριος ἐν τῷ κατὰ τὴν μεγαλόπολιν βασιλικῷ θρόνῳ καθιδρυμένην ἰδεῖν καὶ τὴν ἐνδεχομένην ἀποδοῦναι ταύτῃ προσκύνησιν.

26.

(*Τεμάχιον ἐπιστολῆς πρὸς Μαρίαν τὴν Δούκαιναν*).

B 69α — — — — || ἄνθρωπος καὶ παραγειτονεύσει αὐτῷ, μῆνα ἕνα οὐ μή τον ὑπομείνῃ· καὶ τούτων ἐχόντων οὕτως εἰς τὴν ἐλεημοσύνην σου ἀπέμεινε, ποῦ νὰ καθίσω, ποῦ νὰ ζήσω. ὁ Χορταΐτης δὲ ἀπὸ τὸν νοῦν μου οὐκ εὐγαίνει οὔτε ἡμέραν οὔτε νύκτα. καὶ προκρίνω δύσβατον ὄρος, χάσμα, κρημνόν, θάλασσαν, ποταμὸν παρασύροντα ἢ τὴν μετὰ τοῦ ἀνδραδέλφου σου πλησιότητα· καὶ λύτρωσαί με ἀπ' αὐτοῦ καὶ τῆς ἀπανθρωπίας αὐτοῦ καὶ τῆς ἀναισχυντίας καὶ δριμύτητος τῶν ἀνθρώπων αὐτοῦ, ὧν πάντων τῆς κακίας λυτρώσαιτό με κύριος ὁ θεὸς φρουρῶν καὶ σκέπων τὴν βασιλείαν ὑμῶν.

27.

B²326α (*Τοῦ αὐτοῦ πρὸς τὸν Κομνηνὸν κῦρ Θεόδωρον*).

Σχηματίζων τὸν λόγον ὁ θεοπάτωρ καὶ βασιλεύς, θεομεγάλυντε Κομνηνέ, πρὸς τὸν θεὸν καὶ πατέρα τάδε λέγει περὶ Χριστοῦ· "τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν". καὶ ταῦτα μὲν ἐκεῖνος προφητεύων ἐφθέγγετο, Χριστὸς δ' ἐς ἐσύστερον ἐπιστὰς τῷ τάφῳ Λαζάρου καὶ μέλλων ἐγείρειν τοῦτον ἐκ τῶν νεκρῶν "Πάτερ εὐχαριστῶ σοι" φησίν, "ὅτι ἤκουσάς μου· ἐγὼ δὲ ἤδειν ὅτι πάντοτέ μου ἀκούεις". καὶ ἔδειξε τὴν προφητείαν Δαυὶδ πληρουμένην ἐπὶ τῶν ἔργων. εὐχαριστῶ σοι κἀγώ, ὅτι ἤκουσάς μου καὶ τὴν ἐπιθυμίαν τῆς καρδίας μου ἔδωκάς μοι· καὶ τῇ κλίνῃ μὲν οὐκ ἐπέστης, ἐν ᾗ κατεκείμην, ὁπόσα καὶ τάφῳ, φωνήσας δέ μοι μακρόθεν τὸ ἐγερτήριον ἔγγραφον ἐκ λάκκου καὶ τάφου ὥσπερ τοῦ κλινιδίου ἀνήγαγές με καὶ προσέταξας ὡσανεὶ τὸ "λύσατε αὐτὸν καὶ ἄφετε ὑπάγειν". καὶ μέντοι καὶ πρὸς ἀγρὸν ἐξῆλθον ἐκ τῆς Ναυπάκτου καὶ ἀηδόνων ἀκούω καὶ ὕδωρ πίνω ψυχρὸν καὶ ὁ χθές που νεκρὸς κινοῦμαι ἄρτι καὶ φθέγγομαι διὰ σοῦ. || εἰ δὲ καὶ μέχρι σοῦ κινηθείην, τοῦτο πάντως καὶ πλέον Λαζάρου καὶ ὄντως ἔσται τεραστιώτερον· ἀλλ' ὥσ-

10 ἀπανθρωπίας] κ ῶ δ. ἀνθρωπίας. 13 Ἡ ἐπιγραφὴ λείπουσα τῷ κώδ. Π εἴληπται ἀπὸ τοῦ B². 15/17 πρβλ. Ψαλμ. κ', 3. 19 Ἰωάν. ια' 41—42. 20 καὶ] ἐκ τοῦ B². 23 φωνήσας Π, φωνὰς B². 24 λύσατε κέ.] Ἰωάν. ια', 44. 28 καὶ πλέον] τὸ κ α ὶ ἐλλείπει τῷ B².

περ ἐδεήθην καὶ ἤκουσάς μου καὶ τὴν φωνήν σου ἀπέστειλας καὶ ἐζώωσας με, ἐπάκουσόν μου καὶ νῦν καὶ πλήρωσον ἃ ὑπέσχου ἐν ἐκείνῳ τῷ γράμματι. || ὑπέσχου δὲ ὡς δι' ἐμὲ καὶ τὴν ἐντολὴν τοῦ θεοῦ πᾶσιν ἀφήσειν καὶ B² 326β πάντας προσδέξασθαι, ὅσοι τῆς ἐμῆς δεηθήσονται μεσιτείας πρὸς τὴν σὴν γαληνότητα. καὶ δέονται ἄρτι ὁ ἱερώτατος οὗτος παρακοιμώμενος καὶ ὁ νεώτερος Ταρωνᾶς, καὶ ὅσοι σὺν αὐτοῖς κατεσχέθησαν· καὶ τῷ θείῳ Δαυὶδ συμβούλῳ χρώμενος Κομνηνὲ μέγιστε, μὴ ἀποδίδου κακὰ τοῖς ἀνταποδιδόασί σοι κακά. καὶ τὸν τῆς συμπαθείας καρπὸν εὐθὺς ἐκεῖνος ἐπισυνάπτει τὸ μὴ ἀποπίπτειν κενὸν ἀπὸ τῶν ἐχθρῶν αὐτοῦ καὶ καταδιώκεσθαι καὶ καταλαμβάνεσθαι μηδὲ τὴν δόξαν αὐτοῦ κατασκηνοῦσθαι εἰς γῆν. ἐπεὶ γοῦν καὶ σοὶ καὶ ἡμῖν πολλοὶ ἐχθροὶ καὶ πολλοὶ οἱ διώκοντες, πάντες δὲ θεῷ σῳζόμεθα διὰ σοῦ, τοῦ Δαυὶδ γενοῦ μαθητὴς ὁ κατ' ἐκεῖνον πρᾶος καὶ ἥμερος, καὶ μηδενὶ ἀποδώσῃς τῶν ἀντὶ ἀγαθῶν ἀποδεδωκότων σοι πονηρά, ἵνα τοὺς ἐχθροὺς σου θήσῃς νῶτον καὶ ἐν τοῖς περιλοίποις σου ἑτοιμάσῃς τὸ πρόσωπόν σου. εἰ δ' ἄρα καὶ ἀληθῶς δικαιοσύνην ἐλάλησας πρὸς ἡμᾶς, ἐλάλησας δὲ τὸ δι' ἡμῶν μεσιτευόντων τοὺς ἐπταικότας προσδέξασθαι, κρίνον εὐθείας ἐν τούτῳ, υἱὲ μεγάλου πατρός, καὶ πάντας δικαίωσον. ὁρᾷς τὸν γέροντα τοῦτον ἐκλείπειν τῷ φόβῳ τὸ μὲν ὡς γέρων, τὸ δ' ὡς ξένος, τὸ δ' ὡς αἰδούμενος τὴν καλὴν αἰδὼ καὶ σωτήριον καὶ ἀνακαμψάτωσαν διὰ τῆς σῆς ἐλεημοσύνης θεῷ εὐχαριστοῦντες καὶ σοί, τῷ μὲν ὡς κινήσαντί σε πρὸς τὴν αὐτῶν ἄφεσιν, σοὶ δ' ὡς θελήσαντι. ἀλλὰ [ ]εῖς πληθύνωμέν σοι εὐχάς, ὡς ἐκ παγίδος ῥύῃ τῶν θηρευόντων σε.

28.

Πρὸς τὸν κραταιὸν βασιλέα. B 77α

Ὡς εὐτυχές μοι τὸ γράμμα τοῦτο, κράτιστε βασιλεῦ, καὶ τῶν πρὸς σέ μου γραμμάτων πάντων εὐδαιμονέστερον· εἰ δὲ καὶ τοῦτο κἀκεῖνα περὶ σὲ τὰ γράμματα ἦν καὶ μίαν πάντα εἶχον ὑπόθεσιν, τὸν ἐμὸν καὶ τότε καὶ νῦν βασιλέα, κἂν εἰς ἐκφανέστερον ἄρτι ἐξήπλωταί σοι ὄνομα τὸ ὑπὲρ πᾶν ἀξιωματικὸν ἀνθρώπινον ὄνομα. ἀλλ' ὅσον τοῦ ἄρχειν ἁπλῶς καὶ τοῦ βασιλεύειν ἐστὶ τὸ διάφορον, τόσον, οἶμαι, καὶ τὰ πρὸς βασιλεῖς πεμπόμενα γράμματα ἀξιωματικώτερα πάντως τῶν πρὸς τοὺς δίχα βασιλικοῦ ὀνόματος χωρῶν καὶ πόλεων ἄρχοντας. οὕτως ἐξηγγελμένον μοι τοῦτο τὸ γράμμα,

2 καὶ νῦν] τὸ κ α ὶ ἐλλείπ. τῷ B. 5 ἄρτι ὁδ (=ὁ δεῖνα)] οὕτω λήγει ἐν τῷ Ἱεροσολ. κώδ. Π, τὸ δὲ λεῖπον προστίθεται ὧδε κατὰ τὸν κώδ. B².

οὕτω μακάριον, οὕτως εὔδαιμον. κἂν ὁ πατὴρ αὐτοῦ δυστυχῇ, μήπω κράτει τῷ σῷ γενόμενος ἐμφανὴς μηδὲ τὴν συνήθη ἀφοσιωσάμενος τούτῳ εὐνοϊκὴν καὶ ὑποπεπτωκυῖαν προσέλευσιν· ἔχει δὲ τὸ μὲν πρόθυμον ἡ ψυχή, τὸ δὲ βαρὺ καὶ γεῶδες αὐτῆς ἐφόλκιον ἀσθενεῖ· καὶ δεσμεῖται τούτῳ δούλῳ δεσπότης καὶ τῶν οἰκείων θελητῶν οὐκ ἔχει ἐντέλειαν. ὦ βίας ταύτης καὶ ἀναρμόστου συναρμογῆς, ὅτι δούλῳ τυραννεῖται δεσπότης καὶ τὸ συνέχειν ταχθὲν συνεχόμενον γίνεται, καὶ τὸ κινοῦν ὑπὸ τοῦ κινουμένου ἐπέχεται καὶ ἀργοῦσιν ἐντεῦθεν τὰ βουλητὰ τῇ ψυχῇ καὶ αὕτη ὥσπερ οἰκετικῶς τῷ δούλῳ πρόσπολος γίνεται· εἰ μὴ γὰρ ταῦτα ἦν καὶ τὸ ἀκόλουθον δίκαιον ἐν ψυχῇ καὶ σώματι ἦν, εἶδεν ἂν πρὸ πολλοῦ καὶ γῇ Θετταλῶν καὶ τὰ ἐπέκεινα ὅρια καὶ δρόμον ἡμῶν τῶν χωλῶν καὶ ὡς ἐλάφους ἀλλομένους τοὺς γέροντας. νῦν δὲ ἀκουσιάζοντος μὲν τοῦ σώματος, ἑκουσιάζοντος δὲ τῆς ψυχῆς δυσὶν ἐγὼ μερίζομαι πάθεσιν καὶ ὁρμῶ μὲν (πάθος γὰρ ψυχῆς ἡ ὁρμή), ἐπέχομαι δὲ τῇ ἀρρωστίᾳ τοῦ σώματος καὶ ἀπροσκύνητος ἐς δεῦρο τὰ εἰς ἐμὲ ὁ κραταιός, ὁ δυνάστης, ὁ ἰσχυρός, ὁ ἀήττητος. εἰ δέ τι δεῖ με τροπολογῆσαι καινότερον, τίς ἐκεῖνος ὁ ἀμπελών, ποία δὲ ἦν ἐπὶ τούτῳ φυλάκισσαν τίθησιν ἡ νύμφη τοῦ Ἄσματος; μήποτε φυλάκισσα μὲν τοῦ σώματος ἡ ψυχή, τοῦτο δὲ ἀμπελών, ὅτι τὸ μὲν ἐκ τῆς ψυχῆς φραγμὸν περιτίθεται, κείρεται δὲ παρὰ τῶν νοῦν ἐχόντων τῷ κριτικῷ τοῦ λογιστικοῦ τὰς ἀνοήτους ἐπιθυμίας ὡς κληματίδας (ἀ)κάρποις, σκάπτεται δὲ σκαφείῳ τοῦ
B 77β λογισμοῦ || λογιζομένου πάντως ὀρθὰ καὶ τὸ σκάμμα τοῦτο βαθύ, ὡς καὶ τὸν καρπὸν ἐνέγκῃ καὶ πέπειρον καὶ ἁδρὸν τὸν βότρυν, λέγω τῆς ἀρετῆς, καὶ τῷ τούτου ἀποθλιμμῷ θεὸν εὐφράνῃ τὰ πρῶτα καὶ καρδίας τῶν ἀνθρώπων τὰ δεύτερα. ναί, ταῦτα καὶ οὕτως ἔδει ποιεῖν καὶ οὕτω τὸν ἀμπελῶνα τοῦτον ἐργάζεσθαι, ἀλλὰ παθαινομένη πάλιν ἐν ἑτέρῳ τόπῳ τοῦ ἄσματος ἡ τροπολογουμένη αὕτη φυλάκισσα (" ἀμπελῶνα ", φησίν, " ἐμὸν οὐκ ἐφύλαξα "), ὡς καὶ ἡ ἐμὴ ψυχὴ τὸ ἑαυτῆς καὶ παρὰ τοῦτο ἄκανθαν μὲν καὶ τρίβολον ἀνατέλλει, τὴν κεντρίζουσαν ἁμαρτίαν, καὶ ταῖς ἀρρωστίαις ὥσπερ χερσομανεῖ καὶ δι' αὐτῶν κλινοπετεῖ καὶ παθαίνεται. ὅθεν καὶ σήμερον μὲν ποδέγραν ἔχει πιέζουσαν, ἐσαύριον δὲ χειραλγίαν φέρει πικραίνουσαν (ἡ δεξιά μοι καὶ γὰρ τὴν ἐνεργητικὴν ἠρνήσατο δύναμιν) καὶ τούτῳ χλωρῷ ξηρῷ ξηρὰ τὰ δηλωθέντα πρύμνα συνήρτηται. ἀλλ' ἡ μὲν ἐμὴ οὕτως ἔχει, ἡ δὲ σή, ὦ δέσποτα καὶ βασιλεῦ ἡμέτερε, ἔθνη ἐξολοθρεύσει (λεγέτω μετ' ἐμοῦ καὶ Δαυίδ) καὶ πολεμίους ἐκβαλεῖται λαοὺς καὶ τοὺς ὁμογενεῖς καταφυτεύσει καὶ ἔμπνους σοι καὶ ῥιζωθήσεται καὶ αὐξηθήσεται ἡ φυτεία σου, ἵνα καὶ ὁ φυτεύσας χαίρῃ καὶ τὴν εὐχαριστίαν τῷ φυτευτῇ προσάγῃ τὸ φύτευμα. ἐγὼ δ' εἰ μὲν ἐπιβιῶ καὶ ὀφθήσομαι τῷ προσώπῳ σου καὶ ἐν τῷ

ὀφθῆναί μοι τὴν δόξαν σου χορτασθήσομαι· εἰ δὲ τῆς ζωῆς ἀνακλωσθῇ μοι ὁ μίτος, ἀλλὰ καὶ τότε οὐκ ἐπιλήσομαί σου οὐδ' ἀνευκτά σοι τὰ ἐξ αὐτῶν, ἀλλὰ τελευταίαν φιλοφροσύνην ἀποπληρώσω σοι τὰς εὐχάς· τὸ δὲ παρὸν τὸ συμπαθὲς χαρίζου μοι καὶ τὸ σύνηθες ἀντιληπτικόν, ἵνα παράκλησιν ἔχω ταῦτα καὶ τῶν ἐμῶν ἀρρωστιῶν καὶ τῶν ἐμῶν κατακλίσεων.

29.

Πρόσταγμα
(τοῦ βασιλέως Θεοδώρου τοῦ Κομνηνοῦ)

Ἁγιώτατε δέσποτα Λαρίσσης, ὁ θαυμάσιος Θαυμακοῦ καὶ τῇ βασιλείᾳ μου ἀγαπώμενος ἐνθένδε τὸν ἐν ἡμῖν ἀπέλιπε βίον· καὶ ἤλγησε μὲν ἡ βασιλεία μου ἐπὶ τῷ θανάτῳ ἐκείνου, ἀναλογισαμένη δὲ ὅμως ὡς οἱ πάντες θανούμεθα καὶ οὐδεὶς ἀνθρώπων ἐκφεύξεται τὸ μὴ ἐπιστρέψαι εἰς γῆν τὸ κοινὸν χρέος, εἰς παρηγόρημα ἔλαβον. ἐπεὶ δ' ἐκεῖνος μὲν ἀπεβίω, ἐξ ἀνάγκης δὲ ἕτερος εἰς τὸν ἐκείνου ἀντικαταστήσεται τόπον, γράφομεν ἀξιωματικῶς τῇ ἁγιωσύνῃ σου, ἵνα ὁ υἱὸς ἐκείνου διάκονος Συμεών, εἴπερ δι' ἀρετὴν καὶ διὰ λόγον ἄξιος ἐπισκοπῆς κριθείη παρὰ τῆς ἁγιωσύνης σου, καταστήσεις αὐτὸν εἰς τὸν τοῦ πατρὸς αὐτοῦ θρόνον, ὡς πληρωθῆναι τὸ γραφικὸν τὸ λέγον ἀντὶ τῶν πατέρων γεννᾶσθαι υἱούς, καὶ ἀποδέξεται τοῦτο ἡ βασιλεία μου. τῆς ἐκκλησίας δὴ καὶ τῶν ὑπ' αὐτὴν εἰς τὰς σὰς ἐλθόντων χεῖρας, πάντως ἐπιμετρήσεις τοῖς τοῦ τεθνηκότος υἱοῖς ἀπὸ τῶν εἰσόδων τῆς ἐκκλησίας κατὰ τὴν ἐνοῦσάν σοι διάκρισιν τὰ ἀνάξια τῶν πόνων αὐτῶν· προστάσσει γὰρ ἡ βασιλεία μου μήτε τὸν πανευτυχέστατον δεσπότην καὶ περιπόθητον αὐτάδελφον τῆς βασιλείας μου κῦρ Μανουὴλ τοῦ Δούκα, μήτε τινὰ τῶν ὑπ' αὐτὸν πόδα τοῖς τῆς ἐκκλησίας ἐμβάλλειν.

Ἐγὼ μέν, ὦ δέσποτα ἅγιε καὶ οἰκουμενικὲ πατριάρχα, κατὰ τὴν σὴν θείαν πρόσταξιν ἐβουλόμην τὰ αὐτόθι καταλαβεῖν καὶ ἰδεῖν τὴν ἱεράν σου μορφήν, καὶ προσκυνῆσαι τὰ ἅγια ἴχνη σου καὶ τὰ προσταττόμενά μοι πληρῶσαι καὶ οὕτω μετὰ τῶν ἐμῶν δεσποτῶν καὶ ἀρχιερέων καλῶς εἰπεῖν καὶ ἀκοῦσαι περὶ τῶν μελλόντων λαληθῆναι καὶ φιλοκρινῆσαι καὶ σπαρτίον θεῖναι καὶ κανόνιον, καὶ εὔξασθαι, ὅπως κύριος ὁ Θεὸς ὡς ἀπὸ μυριάδων ἐκλελογισμένων ἐνδείξηται τὸν μέλλοντα ἄξιον ἐργάτην γενέσθαι τοῦ ἀμπελῶνος Χριστοῦ· ἀλλὰ τὸ τῶν ποδῶν μοι ναρκῶδες καὶ νοερὸν καὶ πάντῃ ἀνώμαλον τοῦ σώματος τοῦτο ἀπείργει. διὸ τὴν ἐμὴν βουλὴν καὶ γνώμην καὶ τὸν σκοπὸν καὶ τὸν λογισμόν, καὶ ἁπλῶς εἰπεῖν πᾶσάν μου τὴν διάθεσιν καὶ τὴν ἐνθύμησιν σοὶ τῷ δεσπότῃ μου καὶ αὐθέντῃ καὶ πατρὶ καλῶς ἀνατίθη-

μι, καὶ στέργω καὶ ἐνστερνίζομαι καὶ ἕπομαι καὶ ἀκολουθῶ πρὸς τὰ σκοπητέα καὶ ἐξεταστέα καὶ τρακταϊστέα καὶ καλῶς τυπούμενα καὶ πραττόμενα παρ' ὑμῶν πάντα, ἢ καὶ μετὰ τῶν ψηφισθέντων καὶ ἕτερά τινα εἰσιν ἄξια λαληθῆναι καὶ πραχθῆναι, πλὴν τοῦ περὶ τῆς ἡμῶν ταπεινότητος. προσκυνῶ οὖν τὴν ἰσαπόστολον καὶ ἀρχιερατικὴν πατριαρχικήν σου μεγαλειότητα ἐγὼ ὁ ταπεινὸς μητροπολίτης Σίδης Κύριλλος, καὶ τοὺς ὡραίους καὶ ἁγιωτάτους πόδας πίπτων εἰς γῆν νοερῶς κατασπάζομαι.

B 35α ***Πρὸς τὸν ἁγιώτατον πατριάρχην.***

+ Ἐνοδίῳ τῷ παρόντι περιτυχών, θεία μοι καὶ ἱερὰ κεφαλή, πατριαρχῶν ἁγιώτατε, ἐνόδιον ὥσπερ σχεδιάζω καὶ τὴν γραφὴν καὶ ἀναλόγως ἐστενωμένην διὰ τὸ στενὸν τοῦ καιροῦ καὶ οὐκ ἐφαπλουμένην εἰς τὸ πλατύτερον· ὅ μοι καὶ μᾶλλον ἦν πρὸς θυμοῦ, ὡς μακροτέρᾳ τῇ διαλέξει τῷ ἐμῷ δεσπότῃ προσομιλήσω, τῆς τε ἀρχαίας ἀναμνήσω φιλίας καὶ συνουσίας καὶ ὅπως ἡ ἁγιότης σου τοῦ μεγίστου ἐπιβᾶσα τῶν θρόνων ἀθρόον ἐκείνων πάντων καὶ παντελῶς, ὡς ἔοικεν, ἐξελάθετο, μήτε γράμματι τὴν εἰς τὸν μέγαν θρόνον ἀνάβασιν τῷ πάλαι φίλῳ γνωρίσασα, σύνηθες ὂν καὶ ταῦτα τοῖς ἑκάστοτε πατριάρχαις γνωρίζειν διὰ γραμμάτων τοῖς ἀδελφοῖς τὴν εἰς τὸν θρόνον τοῦτον σφετέραν πρόοδόν τε καὶ πρόβασιν, μήθ' ὡς ἀδελφοῦ μνημονεύσασα ἴσως διὰ τὸ μέσον ἀμφοτέρων χάσμα πολυβαθές, ὅπερ Ἰταλικὴ τυραννὶς ἡμῖν ἐπεβόθρευσεν· οὐ γὰρ ὑπεροψίαν εἴποιμι ἂν τὴν σὴν σιωπήν, ᾧ καὶ μᾶλλον πιστεύειν πείθουσί με πολλοί. ἅμα δὲ καὶ κατὰ τόλμαν ταύτην προσονειδίσω, μὴ μόνον εὐεργετήσασαν ἡμᾶς ὁπωσοῦν, ἀλλὰ καὶ προσαφελομένην ἣν μοι δέδωκεν ἐξαρχίαν τῶν παρ' ἡμῖν πατριαρχικῶν μοναστηρίων καὶ λοιπῶν ἱερῶν τοιούτων δικαίων ὁ τῆς ὁσίας μνήμης ἁγιώτατος πατριάρχης κῦρ Ἰωάννης ὁ Καματηρός· ὃς ἐξόχως ἐφίλει τὴν σὴν ἁγιότητα καὶ ταῖς ἐκκλησιαστικαῖς προκοπαῖς φιλοτιμεῖσθαι προεθυμεῖτο καὶ ὡς πρέπον οἶμαί ἐστιν ἀπονέμειν καὶ κειμένῳ τὸ προσῆκον σεβάσμιον καὶ τοῖς ἐκείνου θείοις ἐντάλμασιν. ἀλλὰ τὴν μὲν ἀφ' ἡμῶν μετάθεσιν τοῦ ἱεροῦ ἐνεργήματος πρὸς τὸν Σαμψὼν μετεβίβασε, Σαμψὼν ἐκεῖνον, ὃν ἄνδρα μὲν ὀλίγον ἡ φύσις ἐπλάσατο, στατίων δὲ ἡ ἐν τοῖς τῆς Διακονίσσης εἶχε παρακαθήμενον, ἐν ᾗ ἐσυμβολαιογράφει καὶ τῷ τοῦ τόπου ὑπεδρήστευε ταβελλίωνι· ἣν οὔτε ψέγειν ἔχω οὔτ' ἐπαινεῖν. τὴν δὲ σύγκρισιν τῶν προσώπων τῇ διακριτικωτάτῃ μεγαλωσύνῃ σου ἀνατίθημι, εἴ που καλῶς αὕτη γέγονε καὶ πρέπουσα τῇ σοφίᾳ σου, ἢ ὅτι τάχα τῶν ἀγνωμόνων ἡμεῖς· οὕτω γὰρ ὁ Πλάτων ἐκάλει τοὺς γνῶσιν ὅλως μὴ ἔχοντας καὶ τῶν κανόνων ἀνεπιστήμονας.

ὁ δέ, ὡς ἐπ' ἀμφοτέροις ἴσως πλεονεκτῶν, καὶ προτετίμηται καὶ ἐντέταλται, κἂν εἰς οὐδὲν παρείλοντο καὶ ὁ Σαμψὼν καὶ τὸ ἔνταλμα τὴν ἡμετέραν ἐπὶ τοῖς μοναστηρίοις ἐπισκοπήν, οὕτω τῶν πραγμάτων βουλομένων καὶ τοῦ Σαμψὼν μικρόν τι φανέντος καὶ παρὰ πόδας ἀποκρυβέντος. ὃ καὶ τὸν Πυθαγόρα (φασί) ποιῆσαι ποτέ, ἐρωτηθέντα μὲν πόσος ὁ τῶν ἀνθρώπων βίος ἐστί, μικρὸν δὲ φανέντα καὶ πάλιν ἀποκρυβέντα καὶ τοῦ βίου μέτρον τὴν ὀλίγην θέαν πεποιηκότα. ὑπεραπολογοῦμαι δέ σου τὸ ἐπὶ τούτοις ἀγνόημα· εἰ γὰρ ἐγίνωσκες, οὐκ ἄν ποτε τὸν φίλον ἠτίμησας ἀρατῆρα. ἀλλὰ ταῦτα φερέσθω καθὼς δοκεῖ τῷ καιρῷ· δοκεῖ δέ, ὡς καὶ τῇ τῶν πραγμάτων μεταπτώσει δοκεῖ. ἐγὼ δ' οὐκ ἔχω λόγῳ δηλῶσαι, ὁπόσην ἔσχον κατὰ ψυχὴν χαρμονὴν ἐπὶ τῇ σῇ ἀνυψώσει καὶ ὡς εὐθὺς ἐνέπεσέ μοι πρὸς νοῦν τὸ παλαιὸν ἐκεῖνο ἀπόφθεγμα, τότε τὰς πόλεις φάσκον ἕξειν καλῶς, ὅτε φιλοσοφία προσλάβῃ τὸ δύνασθαι. εἰ δὲ κατ' ἄμφω φιλόσοφος ὁ λαβὼν τὴν δύναμιν πρὸς Θεοῦ, τὴν θείαν δηλονότι σοφίαν καὶ μένουσαν καὶ τὴν χαμαὶ συρομένην ταύτην καὶ ῥέουσαν καὶ μεγαλιζομένην διὰ μόνην τὴν στροφὴν καὶ τὰ φθέγματα, τίς οὐκ ἐλπίσειεν, ὡς ἐκ τῶν κοσμικῶν ἐναντίων εἰς τὰ ἐναντία καὶ τὰ χρηστότερα μεταπεσοῦνται τὰ πράγματα, πρὸς τὸν || Θεὸν τῇ ἀρετῇ δυναμουμένου σου καὶ τῇ γνώσει πάντως πρὸς τὴν κοσμικωτέραν διακυβέρνησιν; καὶ σώζοιό μοι ἐς χρόνους, καὶ μέμνησό μου τοῦ πάλαι φίλου καὶ νῦν οὐχ ἧττον φιλοῦντός σε. παρεμπλέκω δέ τι πρᾶγμα καινότερον, οὐκ οἶδ' ὅπως καὶ κατὰ τίνα λόγον ἢ κανόνα παρὰ τῆς σῆς ἁγιωσύνης πραχθέν. B 35β

Ἔστιν ἐνταῦθα καὶ παρ' ἡμῖν μοναχός τις τὸ σχῆμα, ὄνομα Νίκων, εἰ δὲ καὶ τὸν τρόπον, οὐκ οἶδα· Θεὸς οἶδεν. οὗτος αὐτονομίᾳ θέλων συζῆν καὶ ἀνεπισκόπητος εἶναι, ἐνοικεῖ μὲν τῇ παρὰ τῶν ἡμετέρων Μεγάλων Κομνηνῶν, τοῦ τε κῦρ Μιχαὴλ ἐκείνου καὶ τοῦ νῦν κρατοῦντος κῦρ Θεοδώρου, νεουργουμένῃ μονῇ· καθεῖλε δὲ τὸν ἐπὶ σταυροπηγίῳ τοῦ ὑφ' ἡμᾶς συναδελφοῦ ἡμῶν τοῦ Χιμάρας ἀνοικοδομούμενον ναὸν παρὰ τοῦ ἀοιδίμου κῦρ Μιχαὴλ τοῦ Κομνηνοῦ· ἐν ᾧ καὶ ἡ ἐπὶ τῇ καταβολῇ τῶν θεμελίων ἀνεφωνήθη παρὰ τοῦ Χιμάρας εὐχὴ καὶ λείψανα μαρτυρικὰ κατετέθησαν καὶ πάντα τὰ κατὰ τὸν ἐπὶ τοῖς τοιούτοις θεῖον νόμον ἐπισκοπικῶς ἐτελέσθησαν· ἐχόμενα δὲ τούτου καὶ πάνυ τι συνημμένως ἕτερον ἐπὶ σταυροπηγίῳ τῆς σῆς ἁγιωσύνης οἰκοδομεῖ, ὡς πάντως τὴν ἐπισκοπικὴν ἐποπτείαν ἀποφορτίσηται· τοῦτο δὲ οὔτε μοναχοῦ οὔτε ἀνδρὸς ἐπαγγειλαμένου, ὡς οἶμαι, τὰ ταπεινὰ τῷ θεῷ. καὶ τέως ἐψεύσατο· οἱ γὰρ λαμβάνοντες σταυροπήγιον μετὰ τῶν ἄλλων ὧν ἀσφαλίζονται καὶ τοῦτο ἐγγράφονται, τὸ μὴ ἔχειν τὸν κατὰ χώραν ἐπίσκοπον δίκαιόν τι ἐφ' ᾧ τόπῳ τὸ πατριαρχικὸν ζητοῦσι καταπη-

χθήσεσθαι σταυροπήγιον. ἐνταῦθα δὲ καὶ τὸ τοῦ Χιμάρας ἐπισκόπου προανατέτακται δίκαιον, καὶ ὁ Νίκων κατὰ πολλὴν τὴν ἐγγύτητα τῷ προτέρῳ τὸν ἐκ κενῆς ναὸν καινουργῶν, τούς τε λίθους τοῦ ἐπισκοπικοῦ ναοῦ ἀφαιρεῖται καὶ τῷ καινιζομένῳ ἐντίθησι, καὶ τὸν θεμέλιον καταπατεῖσθαι καταλιμπάνει, ἐν ᾧ τὰ ματυρικὰ λείψανα κατετέθησαν. ἐπαύξων δὲ ὁ Νίκων οὗτος τὸ αὔθαδες ἑαυτοῦ καὶ τὸ τῆς ἐπισκοπικῆς χειρὸς παντελῶς ἀφηνιαστικὸν καὶ ἀπόστοργον καὶ τοῦτο τὴν σὴν μεγαλειότητα προσῃτήσατο, ἐξαρχίαν τῶν ἐν Βαγενιτίᾳ μονῶν· ὁ ἡσυχαστὴς τὸν θεατρισμὸν καὶ ὁ ταπεινὰ ὀφείλων φρονεῖν ἐπισκοπικὴν καὶ διεξαγωγὴν καὶ κυβέρνησιν ἔλαβεν ἀκωλύτως, διαγορεύοντος τοῦ ἐνταλτηρίου κατὰ τὴν τοῦ καλογήρου τούτου ἀναφορικὴν αἴτησιν μηδὲ τὸν Χιμάρας αὐτὸν μετόν τι ἔχειν ἐπὶ τῷ ἐκεῖσε μέρει τῆς ἐνορίας αὐτοῦ, ἀλλὰ τὸν Νίκωνα τοῦτον περιπέναι τοῦτο τὸ μέρος καὶ τὸν ἐν αὐτῷ τοῦ ἐπισκόπου λαὸν διακυβερνᾶν καὶ καταβάλλειν πρὸς τὸν ἐπίσκοπον τὸ ἐκεῖθεν κανονικόν, τοῦτο μόνον φιλανθρωπευσαμένου τοῦ γράμματος καὶ τῷ ἐπισκόπῳ ἀπονειμαμένου τὸ ἔλαττον, τὰ κανονικὰ δηλαδή, τὸ δὲ μεῖζον ἀφελομένου, τὴν διδασκαλίαν καὶ τὴν ἐπισκοπικὴν διεξαγωγήν, δι' ἣν τὰ κανονικά. ποῦ ταῦτα γέγραπται; ποῖος τῶν ἱερῶν κανόνων ταῦτα διαγορεύει; ποῖος τῶν νόμων τῆς πολιτείας; τίς δὲ τῶν ἀπελθόντων ἁγιωτάτων πατριαρχῶν τοιαύτην καινοτομίαν ἐκαινοτόμησε; ταῦτα εἰ μὲν διορθώσεται ἡ ἁγιωσύνη σου, ποιήσει πρᾶγμα κανονικὸν καὶ τῆς σῆς μεγαλειότητος ἄξιον· εἰ δέ γε καὶ ἡμᾶς τοὺς ἀνενεγκόντας περὶ τούτου καὶ ἐν τῷ παρόντι παρόψεται καὶ τὴν πρᾶξιν μένειν ἐπὶ χώρας ἐάσει, ἀλλ' ἡμεῖς οὐκ ἐφησυχάσομεν ἀναφέροντες περὶ τούτου τὴν μεγάλην ἁγιωσύνην σου καὶ κατὰ χώραν ἐνταῦθα μετὰ τῶν ἑτέρων συναδέλφων κατὰ τοῦ μὴ καλῶς πραχθέντος ἀγωνιζόμενοι. ἡ ἁγία εὐχὴ τῆς μεγάλης ἁγιωσύνης σου χαρισθείη μοι πολυχρόνιος.

ΠΙΝΑΞ ΟΝΟΜΑΤΩΝ.

ΠΙΝΑΞ ΟΝΟΜΑΤΩΝ.

Ἀαρών 157.
Αββακούμ 113.
Ἀβραάμ 56, 128, 129, 137, 208, 209, 212.
Ἀγγελόκαστρον 273.
Ἅγιον ὄρος 29, 172.
Ἀγαμέμνων 228.
Ἅδης 91, 92, 113, 144, 146, 149, 155, 246, 247.
Ἀερμών 200.
Ἀθανάσιος 21, 27.
Ἀθηνᾶ 104, 243.
Ἀθῆναι (Ἀθηναῖοι) 94, 95, 98, 99, 102, 154, 155, 156, 158, 159, 160, 161, 180, 185, 186, 216, 219, 223, 231, 237, 247, 250.
Αἰακός 99.
Αἴας 228, 229, 267.
Αἴγυπτος (Αἰγύπτιοι) 16, 151, 203, 234, 259.
Αἰθήρ 236.
Αἶμος 258.
Αἴσωπος 274, 277.
Αἴτνη 135, 176.
Αἰτωλοί 150.
Ἀλέξανδρος (ὁ Μακεδών) 104, 151, 166, 167, 169, 171, 172, 175, 180, 186, 222.
Ἀλέξιος (ὁ Κομνηνός) 103, 148, 152, 251, 252.
Ἀλκμαίων 99.
Ἀλφειός (ποταμός) 172, 181.
Ἀμαλήκ 139, 286.
Ἀνακρέων 192.
Ἀνανίας 42.
Ἀνάξαρχος 230.
Ἀναστάσιος 51.
Ἀνδρέας 66.
Ἀνδρομάχη 153.
Ἀνδρόνικος 92, 148, 152.
Ἄννα 62.
Ἀντιόχεια (Ἀντιοχεῖς) 178, 179, 180, 228, 229.
Ἀντίοχος 168.
Ἀντιφῶν 184.
Ἀξειός 267.
Ἀπόλλων 172.
Ἄραβες 181.
Ἀρεβίνδος 80.
Ἀρείου πάγος 160.
Ἀρεταί 122.
Ἄρης 101, 104, 107, 144, 145, 163, 188, 189, 190, 194, 196, 205, 228.
Ἀριάδνη 196.
Ἀριστείδης 245.
Ἀριστοτέλης 159, 171, 183, 209, 213, 215, 231.
Ἀρκάδες 216.
Ἀρμένιοι 34, 37.
Ἄρτα 250.
Ἀρτέμιος 207.
Ἀρτεμίσιον πέλαγος 217.
Ἄρτη 269, 273, 274, 278, 279, 283, 284.
Ἀσία 166, 168, 169, 172, 175, 183, 229, 263.
Ἄτλας 218.
Ἀττική 99, 100, 108, 151, 154, 155, 217.
Αὐσονία (Αὔσονες) 166, 192, 195.

Ἀφροδίτη 197, 244.
Ἀχελῷος 259, 278.
Ἀχιλλεύς 153, 174, 189, 228.
Βαγενιτία 293.
Βαβυλών 146, 167, 178, 270.
Βαρδάνης 235, 250.
Βαρδάριος v. Ἀξειός.
Βαρεσόβη 278.
Βασιλείδης 47.
Βασίλειος 26, 42, 43, 56, 228, 229.
Βέλα 271, 287.
Βελεροφῶν 182.
Βελιάρ 61.
Βερρόη 130.
Βιθυνία 230.
Βίος 200, 201.
Βονδίτζη 275.
Βορέης 109.
Βουλγαρία 268.
Βρεταννοί 225.
Βρύσων 184.
Βύζας 116, 118, 128, 132, 188.
Γαῖα 266.
Γαληνός 213, 216.
Γάγγρα 27.
Γεδεών 239, 286.
Γεργεσηνοί 181.
Γέται 174.
Γεώργιος (ἅγιος) 265.
Γεώργιος (χαρτοφύλαξ) 234.
Γῆ 236.
Γιεζῆ 42, 69.
Γομόρρα 255.
Γοργόνη 112.
Γοριανίτης 259, 260.
Γρηγόριος 229.
Δᾶκες 173.
Δαλμάται 174.
Δαμασκός 180.
Δανιήλ 49.
Δαρεῖος 165, 166, 167, 174, 175.
Δαυίδ 1, 2, 3, 18, 23, 105, 129, 134, 137, 140, 150, 152, 161, 170, 182, 209, 212, 218 258, 269, 276, 283, 284, 286, 288, 290.
Δάφνη 191.
Δεάβολις 271.
Δήλια 211.
Δῆλος 172.
Δημάρατος (Κορίνθιος) 167.
Δημαράτειον 167.
Δημήτριος (μεγαλομάρτυς) 267, 270.
Δημήτριος ὁ Τορνίκης (λογοθέτης) 225.
Δημόκριτος 102, 232.
Δημοσθένης 98, 160, 165.
Διομήδης 189.
Διονύσιος (ἀρχιεπίσκοπος Ἀλεξανδρείας) 47, 48.
Διονύσιος (περιηγητής) 262.
Διὸς ἄκρα 8.
Διοσκοῦροι 152, 155.
Δούκα 234, 254, 256.
Δράκων 239.
Ἑβραῖοι 101.
Ἐδέμ 232.
Ἐζεκίας 167.
Ἑκάτη 244.
Εἰρήνη (κυρία) 279.
Ἕκτωρ 146, 153.
Ἑλένη 180, 210.
Ἐλέου βωμός 99, 160.
Ἑλικών 188, 194, 195, 198.
Ἑλισσαῖος 69, 115, 216.
Ἑλλάς (Ἕλληνες) 110, 145, 150, 167, 172, 216, 217, 228, 239, 244, 273.
Ἑλλήσποντος 169, 171, 175, 216.
Ἐμπεδοκλῆς 112, 225.
Ἐνυώ 189.
Ἐπίκουρος 102.
Ἐπίκτητος 230.
Ἐπιφάνιος 27.
Ἐρατώ 195.
Ἐρετριεῖς 217.
Ἑρμαϊκὴ χέλυς 224.
Ἑρμῆς 163, 164, 196, 240.
Ἔρως 217, 218.
Εὔα 70.
Εὔβοια 200, 211, 212.
Εὐδοκία (ἡ Κομνηνή) 62.
Εὐθύμιος (ὁ Τορνίκης) 98, 103, 198, 208, 211, 212, 213, 217, 226.
Εὐκλείδης (Μεγαρεύς) 245.

Εὔμηλος 183.
Εὔριπος 95, 97, 100, 101, 102.
Εὖρος 109.
Εὐρώπη 183.
Εὐστάθιος (ὁ Θεσσαλονίκης) 92, 98.
Εὐτέρπη 192.
Εὐτρόπιος (εὐνοῦχος) 80 81, 82.
Εὐτύχιος (πατριάρχης) 51.
Ἐφραΐμ 261.
Ζεύς 172, 197, 216, 243.
Ζήνων 51.
Ἡλιάδες 119, 141, 147.
Ἠλίας 49, 69, 79, 80, 212.
Ἥλιος 168, 236.
Ἠλύσιον (πεδίον) 99.
Ἥρα 174.
Ἡράκλειτος 102, 226, 266.
Ἡρακλῆς 162, 173, 204, 222, 226, 277.
Ἡρώδης 10.
Ἡσίοδος 198, 267.
Ἡσαΐας 35, 108, 115, 136, 175.
Ἥφαιστος 174.
Θαβώρ 76.
Θάλεια 190, 191, 192.
Θέμις 122. 129.
Θεμιστοκλῆς 217.
Θεοδόσιος (πατριάρχης) 90.
Θεοδούλη 72.
Θεόδωρος (μεγαλομάρτυς) 45, 97.
Θεόδωρος (ὁ Γραπτός) 9.
Θεόδωρος (ὁ Δούκας) 250, 254, 258, 293.
Θεοτόκος (Θεομήτωρ) 50, 77, 87, 241, 247, 248, 252.
Θεοφάνης (ὁ Γραπτός) 9.
Θεόφιλος (ὁ Ἀλεξανδρείας) 37.
Θεόφιλος (βασιλεύς 8.
Θεσσαλονίκη (Θεσσαλονικεῖς) 15, 94, 98, 267, 270, 279, 283, 284, 285.
Θετταλία (Θετταλοί) 270, 289.
Θῆβαι (Θηβαῖοι) 127, 151, 180.
Θουκυδίδης 175.
Θωμᾶς (ὁ Εὐγενιώτης) 87.
Ἰακώβ 34, 37, 137, 163, 182.
Ἰδομενεύς 228.
Ἰεζεκιήλ 29, 109, 175.
Ἱερεμίας 30, 116, 134, 135, 136, 141, 161, 224, 233.
Ἱεριχώ 60.
Ἱεροβοάμ 111.
Ἱεροσόλυμα (Ἱερουσαλήμ) 7, 41, 116, 147, 157, 261.
Ἰησοῦς Χριστός 11, 15, 19, 22, 41, 49, 51, 54, 55, 59, 66, 68, 69, 71, 72, 73, 76, 82, 83, 86, 90, 91, 101, 107, 108, 109, 110, 111, 119, 122, 130, 150, 170, 173, 180, 181, 183, 210, 223, 227, 225, 239, 241, 258, 264, 265, 282, 286, 288.
Ἰησοῦς ὁ Ναυή 286.
Ἰλιάς 237.
Ἴλιον 216.
Ἰλλύριοι 268.
Ἰνδοί 167, 225.
Ἰόνιος (κόλπος) 175, 186.
Ἰουδαῖοι 108, 214.
Ἰούδας 42, 51, 66, 69.
Ἰουλιανή 80.
Ἱπποκράτης 213, 216.
Ἰσαάκ 137, 212.
Ἰσαάκιος (ὁ Ἄγγελος) 62, 188, 189, 191, 195.
Ἰσμαήλ 107, 108, 111.
Ἰσραήλ 49, 107, 264, 269, 276.
Ἴστρος 174.
Ἰταλία 175, 231.
Ἰώ 191.
Ἰωάννης (ὁ Καματηρός) 292.
Ἰωάννης (ὁ Θεολόγος) 40, 66.
Ἰωάννης (μητροπολίτης Νικαίας) 50.
Ἰωάννης (μόναχος) 1.
Ἰωάννης (ὁ Ναυπάκτου) 234.
Ἰωάννης (Πρόδρομος) 5, 6, 7, 9, 46, 51, 56, 59, 60, 65, 74, 76, 77, 257.
Ἰωάννης (ὁ τῆς Κλίμακος) 21, 26.
Ἰωάννης (Χρυσορρήμων) 32, 33.
Ἰωαννίκιος (μοναχός) 62, 63.
Ἰωάννινα 269, 271, 287.
Ἰώβ 129, 137, 233.
Ἴωνες 226.
Ἰωσήφ 82, 137, 151, 232.
Καλλίας 184.
Καλλίμαχος 146.

Καλλιόπη 189, 190.
Καλλιρρόη 94.
Καλοκαιριός 230.
Καλυδώνιοι 150.
Καρμήλιον 76.
Καρόστιοι 217.
Κασιανός 16.
Κέρκυρα Κερκυραῖοι) 234, 235, 249, 265, 266, 268.
Κιλικία (Κίλικες) 176, 177.
Κίτρος 284.
Κλειώ 190.
Κομνηνός (Κομνηνοί) 135, 142, 143, 144, 145, 146, 147, 148, 150, 151, 152, 153, 154, 254, 259, 260, 261, 262, 263, 264, 265, 266, 269, 270, 271, 276, 279, 288, 290, 293.
Κυκλάδες 221.
Κυκλώπειον 212.
Κυνάγειρος 146.
Κυνοσουρίς 217.
Κύπρος (Κύπριοι) 178, 229.
Κύριλλος (μητροπολίτης) 291.
Κωκυτός 146.
Κωνσταντῖνος 62, 116, 178, 202, 252, 259, 284.
Κωνσταντινούπολις 162.
Λάβαν 182.
Λάζαρος 9, 148, 284, 205, 288.
Λακεδαίμονες (Λακεδαιμόνιοι) 145, 151.
Λαοδίκεια 46.
Λάρισσα 290.
Λάσκαρις 210.
Λαυσαϊκόν 27.
Λευιαθάν 214.
Λευῖται 237.
Λέων (βασιλεύς) 51.
Λέων (Ἱκανάτος) 62.
Λέων (μονασοπριώτης) 91.
Λιβύη 186.
Λουκᾶς 62, 228, 229, 270.
Λυκοῦργος 151.
Λώτ 66.
Μαδιηναῖοι 286.
Μακεδονία (Μακεδόνες) 41, 151, 172, 174, 135.
Μανουήλ 162, 169, 199, 221, 291.
Μαραθών 99, 175.
Μαρία 62.
Μαρία (δέσπινα) 278, 288
Μᾶρκος 100.
Μάσος 261.
Μαχάδιον 8.
Μεγάλη Ἑλλάς 231.
Μέγης 228.
Μελέαγρος 151.
Μελπομένη 194.
Μενέλαος 189.
Μέροψ 216.
Μηνᾶς (πατριάρχης) 51.
Μηριόνης 228.
Μιχαήλ (ὁ Ἀθηνῶν) 234.
Μιχαήλ (Κομνηνός) 293.
Μιχαήλ (Χωνιάτης) 94, 98.
Μοῖραι 161.
Μονὴ Φοβεροῦ 8.
Μονομάχος 278.
Μοσχόπουλος 287.
Μοῦσαι 122, 125, 133, 188, 189, 195, 198, 223, 240.
Μυρμιδόνες 153.
Μωϋσῆς (Μωσῆς) 16, 49, 114, 139, 157, 184, 219, 238, 264, 286.
Ναβουχοδονόσορ 7.
Ναύπακτος 234, 250, 251, 253, 254, 271, 275, 281, 282, 284, 285, 287, 288.
Νεῖλος 241.
Νέμεα 172.
Νέστωρ (Πυλαῖος) 141, 189, 222.
Νηρεύς 153.
Νητρία (ὄρος) 82.
Νικαία (Νικαεῖς) 21, 151.
Νικήφορος (ὁ Βοτανειάτης) 62.
Νικόλαος (πατριάρχης) 51, 62.
Νικόλαος (πιστόφιλος) 221.
Νιόβη 126, 200.
Νότος 109, 166.
Νίκων μοναχός) 293.
Νῶε 67.
Ξάνθος 174.
Ξενοκράτης 245.
Ξενοφῶν 141, 230.

Ξέρξης 165, 169, 171, 175, 180.
Ὀδυσσεύς 212, 234.
Ὀλύμπια 171, 172.
Ὅμηρος 110, 128, 153, 174, 189, 191, 216, 222, 228, 229, 277, 283.
Ὀρέστης 152.
Ὀρφεύς 119, 128, 158.
Οὐράνια 196, 197.
Οὔτις 212.
Παίονες 173, 174.
Πακτωλός 117, 247.
Παλαιστίνη 160.
Παναθήναια 108.
Πάνδαρος 191.
Πανελλήνιον 180.
Παντείχνιον 47.
Πάρις 189.
Πάτραι (Πάτρα) 102, 103, 115, 124, 262, 263, 287.
Παῦλος 2, 10, 11, 23, 32, 33, 41, 56, 78, 88, 106, 111, 121, 159, 160, 185, 211, 228, 229, 239, 241, 242, 245, 257, 258, 267.
Πάφος 228, 229.
Παχώμιος 35.
Πεδιάτης 249.
Πειραιεύς 99.
Πέργη (ἡ Παμφιλίας) 228, 229.
Περίβλιπτος 289.
Περικλῆς 151, 184, 239.
Περίπατος 184.
Περσεύς 183.
Περσεφόνη 135, 155.
Περσίς (Πέρσαι) 107, 108, 110, 111, 145, 148, 152, 165, 166, 167, 168, 169, 170, 181, 182, 183.
Πέτρος (ὁ Ἀλεξανδρείας) 33.
Πέτρος (ἀπόστολος) 66, 67, 119, 239.
Πέτρος (ἅγιος) 77.
Πιερία (Πιερίς) 195, 198.
Πιλάτος 49, 86.
Πίνδαρος 217.
Πλαταμών 269, 270.
Πλάτων 98, 159, 213, 238, 292.
Πλούτων 135, 155, 164.
Πολυκράτης 231.
Πολύμνια 196.
Πρίαμος 174.
Πρόκνα 195.
Πρόσακος 266, 267.
Πρωτεύς 102.
Πυθαγόρας 231, 292.
Πυθία 160.
Πύθια 172, 211.
Πύθων 211.
Πυλάδης 152.
Πυριφλεγέθων 146
Πύρρων 184.
Πῶρος 166, 167.
Ῥαμά 10, 141.
Ῥαχιήλ 10, 141.
Ῥομέλιος 261.
Ῥυνδακός (ποταμός) 106, 146, 147, 148.
Ῥωμαῖς 276.
Ῥώμη (Ῥωμαῖοι) 111, 143, 167, 176, 179, 188, 191, 193, 166, 278.
Σαβαώθ 6.
Σαμουήλ 69, 121.
Σαμψών 205, 292.
Σαμούλ 152.
Σαπφεῖρα 42.
Σαρπεδών 146.
Σατάν (Σατανᾶς) 10, 11, 81.
Σάτυροι 213.
Σειράχ 215.
Σειρήν 131, 232, 234.
Σελήνη 109, 236.
Σεμιράμεια 261.
Σέξτος 184.
Σηών 286.
Σίδη 291.
Σικελία 175, 176.
Σιμόεις 174.
Σινά (Σίναιον) 76, 238.
Σιών 140, 147.
Σκόπια 287.
Σκῦθαι 130, 219, 258.
Σόδομα (Σοδομῖται) 13, 69, 255.
Σολομών 3, 105, 122, 128, 135, 137, 161, 166, 170, 210, 231, 240, 247, 256.
Σόλων 98, 215, 239

Στησικράτης 172.
Στείριος 285.
Στοά (Στωικοί) 184, 219.
Συμεών (θαυματουργός) 28, 36, 74, 77.
Συμεών (διάκονος) 290.
Σφίγξ 211.
Σωκράτης 184, 232.
Ταρωνίτης 273.
Τελχίς 241.
Τερψιχόρα 195.
Τετραδιτῶν αἵρεσις 34, 37.
Τεῦκρος 191, 228.
Τιθωνός 276.
Τιμόθεος (αὐλητής) 104, 222, 223.
Τιμόθεος (μοναχός) 87.
Τίτος 223.
Τριβαλλοί 174.
Τροία 180.
Τροφώνιος 96.
Ὑάκινθος 191.
Ὑπερβόρεοι 225.
Ὑμηττός 94, 161, 191.
Φαέθων 141, 147.
Φαίδων 184.
Φιλήμων 223.
Φίλιππος (ὁ Μακεδών) 104, 185, 186.
Χαιρώνεια 185.
Χάλεπ 180.
Χαλκεῖον 77.
Χαλκίς 211, 212, 217, 220, 230.
Χαμάδιον (Χασμάδιον) 8.
Χαμάκων 199.
Χαναναῖοι 180.
Χάριτες 122, 192.
Χαρώνειον 227.
Χιμάρας 293.
Χορταΐτης 288.
Χούμνου (τὸ λουτρόν) 90
Χριστοφόρος 62.
Χωρήβ 76.
Ὤγ 286.
Ὠκεανός 115, 286.
Ὠσηέ 107, 114.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Σελ.

I. Ὑποτυπώσεις καὶ ἑρμηνεία, περιέχουσα ὡς ἐν συντόμῳ [τὴν μοναχικὴν πολιτείαν καὶ ἄσκησιν?] ἅπασαν, ἀκριβῶς συλλεγεῖσα παρὰ Ἰωάννου ταπεινοῦ μοναχοῦ καὶ παραδοθεῖσα τοῖς ἀδελφοῖς αὐτοῦ τοῖς ἐν τῷ ὄρει τῆς μονῆς τοῦ τιμίου Προδρόμου τοῦ ἐν τῷ Μοναχείῳ 1
II. Εὐθυμίου τοῦ Μαλάκη, μητροπολίτου Νεων Πατρῶν, στίχοι καί τινες τῶν ἐπιστολῶν αὐτοῦ 89
III. Εὐθυμίου Τορνίκη συγγραφαί 103
IV. Εὐθυμίου Τορνίκη ἔμμετρα 189
V. Μιχαὴλ Ἀκομινάτου τοῦ Χωνιάτου, μητροπολίτου Ἀθηνῶν, ἐπιστολαὶ πρὸς Εὐθύμιον τὸν Τορνίκην καὶ πρὸς Ἰωάννην Ἀποκαῦκον, μητροπολίτην Ναυπάκτου 208
VI. Μονῳδία εἰς τὸν τῶν Ἀθηνῶν μητροπολίτην Μιχαὴλ τὸν Χωνιάτην, στίχοι εἰς τὴν Θεοτόκον Μιχαὴλ Ἀκομινάτου τοῦ Χωνιάτου καὶ ἐπιστολὴ τοῦ Μακρεμβολίτου πρὸς τὸν ὑπέρτιμον 236